



PLATONIS
QUAE EXSTANT
OPERA.

ACCEDUNT
PLATONIS QUAE FERUNTUR
SCRIPTA.

AD
OPTIMORUM LIBRORUM FIDEM
RECENSUIT
IN LINGUAM LATINAM CONVERTIT
ANNOTATIONIBUS EXPLANAVIT INDICESQUE
RERUM AC VERBORUM ACCURATISSIMOS
ADIECIT

FRIDERICUS ASTIUS.

TOMUS QUINTUS

POLITIAE LIB. IX—X. TIMAEUM ET CRITIAM CONTINENS.

LIPSIAE MDCCCXXII.
IN LIBRARIA WEIDMANNIA.

Θ.

571 Αὐτὸς δὴ λοιπός, ἦν δ' ἐγώ, ὁ τυραννικὸς ἀνὴρ σκέψα-
σθαι, πῶς τε μεθίσταται ἐκ δημοκρατικοῦ γενόμενός τε
ποῖός τίς ἐστι καὶ τίνα τρόπον ζῇ, ἄθλιον ἢ μακάριον.
Λοιπὸς γὰρ οὖν ἔτι οὗτος, ἔφη. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, ὃ
ποθῶ ἔτι; Τὸ ποῖον; Τὸ τῶν ἐπιθυμιῶν, οἷαί τε καὶ ὅσαι
εἰσίν, οὔ μοι δοκοῦμεν ἱκανῶς διῃρῆσθαι. τούτου δὲ ἐνδεῶς
B ἔχοντος * ἀσαφεστέρα ἔσται ἡ ζήτησις οὗ ζητοῦμεν. Οὐκ-
οῦν, ἦ δ' ὅς, ἔτι ἐν καλῷ; Πάνυ μὲν οὖν· καὶ σκόπει γ'
ὃ ἐν αὐταῖς βούλομαι ἰδεῖν. ἔστι δὲ τόδε. τῶν μὴ ἀναγκαίων
ἡδονῶν τε καὶ ἐπιθυμιῶν δοκοῦσί τινές μοι εἶναι παράνο-
μοι, αἳ κινδυνεύουσι μὲν ἐγγίγνεσθαι παντί, κολαζόμεναι

IX.

Ipſe iam vir tyrannicus, inquam, reſtat ut videamus quomodo e populari prodeat, qualis, quum exſtiterit, ſit et quam vitam degat, miſeram an beatam. Reſtat ſane hoc, inquit. Scin' vero, inquam, quid adhuc deſiderem? Quidnam? Cupiditates quales et quot ſint, non mihi videmur ſatis expoſuiſſe. in quo tamen ſi quid deficit, obſcurior erit eius quod quaerimus inveſtigatio. Nonne, inquit, adhuc opportunum eſt tempus? Sane quidem; et vide quid in illis velim cognoſcere. eſt autem hoc: voluptatum et cupiditatum quae non ſunt neceſſariae videntur nonnullae mihi eſſe a legibus averſae, quae inſint quidem in quoque, caſtigatae vero a legibus et

δὲ ὑπό τε τῶν νόμων καὶ τῶν βελτιόνων ἐπιθυμιῶν μετὰ
λόγου ἐνίων μὲν ἀνθρώπων ἢ παντάπασιν ἀπαλλάττεσθαι ἢ
ὀλίγαι λείπεσθαι καὶ ἀσθενεῖς, τῶν δὲ ἰσχυρότεραι καὶ
* πλείους. Λέγεις δὲ τίνας, ἔφη, ταύτας; Τὰς περὶ τὸν C
ὕπνον, ἦν δ' ἐγώ, ἐγειρομένας, ὅταν τὸ μὲν ἄλλο τῆς ψυ-
χῆς εὕδῃ, ὅσον λογιστικὸν καὶ ἥμερον καὶ ἄρχον ἐκείνου,
τὸ δὲ θηριῶδές τε καὶ ἄγριον, ἢ σίτων ἢ μέθης πλησθέν,
σκιρτᾷ τε καὶ ἀπωσάμενον τὸν ὕπνον ζητῇ ἰέναι καὶ ἀπο-
πιμπλάναι τὰ αὑτοῦ ἤθη. οἶσθ' ὅτι πάντα ἐν τῷ τοιούτῳ
τολμᾷ ποιεῖν, ὡς ἀπὸ πάσης λελυμένον τε καὶ ἀπηλλαγμέ-
νον αἰσχύνης καὶ φρονήσεως. μητρί τε γὰρ ἐπιχειρεῖν * μί- D
γνυσθαι, ὡς οἴεται, οὐδὲν ὀκνεῖ ἄλλῳ τε ὁτῳοῦν ἀνθρώ-
πων καὶ θεῶν καὶ θηρίων, μιαιφονεῖν τε ὁτιοῦν, βρώμα-
τός τε ἀπέχεσθαι μηδενός· καὶ ἑνὶ λόγῳ οὔτε ἀνοίας οὐδὲν
ἐλλείπει οὔτε ἀναισχυντίας. Ἀληθέστατα, ἔφη, λέγεις. Ὅταν
δέ γε, οἶμαι, ὑγιεινῶς τις ἔχῃ αὐτὸς αὑτοῦ καὶ σωφρόνως, καὶ
εἰς τὸν ὕπνον ἴῃ τὸ λογιστικὸν μὲν ἐγείρας ἑαυτοῦ καὶ ἑστιά-
σας λόγων καλῶν καὶ σκέψεων, εἰς ξύννοιαν αὐτὸς αὑτῷ
ἀφικόμενος, τὸ ἐπιθυμητικὸν * δὲ μήτε ἐνδείᾳ δοὺς μήτε E
πλησμονῇ, ὅπως ἂν κοιμηθῇ καὶ μὴ παρέχῃ θόρυβον τῷ
* βελτίστῳ χαῖρον ἢ λυπούμενον, ἀλλ' ἐᾷ *) αὐτὸ καθ' 572
αὑτὸ μόνον καθαρὸν σκοπεῖν καὶ ὀρέγεσθαι του αἰσθάνε-
σθαι ὃ μὴ οἶδεν, ἤ τι τῶν γεγονότων ἢ ὄντων ἢ καὶ μελ-
λόντων, ὡσαύτως δὲ καὶ τὸ θυμοειδὲς πραΰνας καὶ μή τι-
σιν εἰς ὀργὰς ἐλθὼν κεκινημένῳ τῷ θυμῷ καθεύδῃ, ἀλλ'
ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον δὲ κινήσας ἐν ᾧ τὸ
φρονεῖν ἐγγίγνεται, οὕτως ἀναπαύηται, οἶσθ' ὅτι τῆς τ'
ἀληθείας ἐν τῷ τοιούτῳ μάλιστα ἅπτεται καὶ ἥκιστα παρά-
νομοι * τότε αἱ ὄψεις φαντάζονται τῶν ἐνυπνίων. Παντε- B
λῶς μὲν οὖν, ἔφη, οἶμαι οὕτως. Ταῦτα μὲν τοίνυν ἐπὶ
πλέον ἐξήχθημεν εἰπεῖν· ὃ δὲ βουλόμεθα γνῶναι, τόδ' ἐστίν,
ὡς ἄρα δεινόν τι καὶ ἄγριον καὶ ἄνομον ἐπιθυμιῶν εἶδος
ἑκάστῳ ἔνεστι, καὶ πάνυ δοκοῦσιν ἡμῶν ἐνίοις μετρίοις εἶ-
ναι. τοῦτο δὲ ἄρα ἐν τοῖς ὕπνοις γίγνεται ἔνδηλον. εἰ οὖν

*) γρ. ἐῶν.

melioribus cupiditatibus iuvante ratione a quibusdam hominibus vel prorsus discedant vel paucae relinquantur atque imbecillae, in aliis vero fortiores ac plures. Quasnam, inquit, dicis? Eas, inquam, quae in somno excitantur, quum reliquae animi partes dormiunt, quae rationis sunt participes et mansuetae eumque regunt, immanis autem ac fera, vel cibo vel vino onusta, exsultat somnoque depulso studet procedere et cupiditates suas, ut solet, explere, scis omnia eum audere tum facere, quippe omni solutum atque liberatum pudore ac prudentia; neque enim cum matre eum vereri corpus miscere, ut sibi videatur, neque cum quovis alio vel hominum vel deorum vel belluarum, atque etiam trucidare quidvis, nec ullo se abstinere cibo, atque uno verbo neque temeritatis quicquam relinquere neque impudentiae. Verissime, inquit, dicis. Quando vero, opinor, sano quis est statu atque temperato et ita quieti se tradit, si eam partem animi, quae mentis et consili est, excitavit bonisque saturavit et sermonibus et cogitationibus, partem contra ad cupiditates propensam neque inopia enecuit neque satietate oneravit, ut sopiatur nec turbas efficiat optimae parti gaudendo vel dolendo, sed solam eam per se sinat puram contemplari eiusque appetere perceptionem quod ignoret, vel praeteritorum alicuius vel praesentium vel futurorum, eodemque modo etiam iracunda parte sedata ita conquiescit ut animus in neminem iracundia inflammatus sit atque commotus, sed compressis duabus illis partibus, tertia vero illa rationis et mentis erecta quieti se tradit, scis veritatem tum maxime eum attingere minimeque somnianti visa occurrere a legibus aversa. Prorsus quidem, inquit, ita existimo. Et hoc quidem ut diffusius explicaremus inducti sumus; quod autem volebamus cognoscere, hoc est: grave quoddam et ferum et a legibus aversum cupiditatum genus in quoque inesse, etiam in aliquibus de nobis qui admodum moderati videantur esse, quod quidem in somnis

τι δοκῶ λέγειν καὶ ξυγχωρεῖς, ἄθρει. Ἀλλὰ ξυγχωρῶ. Τὸν τοίνυν δημοτικὸν ἀναμνήσθητι οἷον ἔφαμεν εἶναι. ἦν * δέ C που γεγονὼς *) ἐκ νέου ὑπὸ φειδωλῷ πατρὶ τεθραμμένος, τὰς χρηματιστικὰς ἐπιθυμίας τιμῶντι μόνας, τὰς δὲ μὴ ἀναγκαίους, ἀλλὰ παιδιᾶς τε καὶ καλλωπισμοῦ ἕνεκα γιγνομένας ἀτιμάζοντι· ἦ γάρ; Ναί. Ξυγγενόμενος δὲ κομψοτέροις ἀνδράσι καὶ μεστοῖς ὧν ἄρτι διήλθομεν ἐπιθυμιῶν, ὁρμήσας εἰς ὕβριν τε πᾶσαν καὶ τὸ ἐκείνων εἶδος μίσει τῆς τοῦ πατρὸς φειδωλίας, φύσιν δὲ τῶν διαφθειρόντων βελτίω ἔχων, ἀγόμενος ἀμφοτέρωσε * κατέστη εἰς μέσον ἀμφοῖν τοῖν τρό- D ποιν, καὶ μετρίως δή, ὡς ᾤετο, ἑκάστων ἀπολαύων οὔτε ἀνελεύθερον οὔτε παράνομον βίον ζῇ **), δημοτικὸς ἐξ ὀλιγαρχικοῦ γεγονώς. Ἦν γάρ, ἔφη, καὶ ἔστιν αὕτη ἡ δόξα περὶ τὸν τοιοῦτον. Θὲς τοίνυν, ἦν δ' ἐγώ, πάλιν τοῦ τοιούτου ἤδη πρεσβυτέρου γεγονότος νέον υἱὸν ἐν τοῖς τούτου αὖ ἤθεσι τεθραμμένον. Τίθημι. Τίθει τοίνυν καὶ τὰ αὐτὰ ἐκεῖνα περὶ αὐτὸν γιγνόμενα ἅπερ καὶ περὶ τὸν πατέρα αὐτοῦ, ἀγόμενόν * τε εἰς πᾶσαν παρανομίαν, ὀνομα- E ζομένην δ' ὑπὸ τῶν ἀγόντων ἐλευθερίαν ἅπασαν, βοηθοῦντά τε ταῖς ἐν μέσῳ ταύταις ἐπιθυμίαις πατέρα τε καὶ τοὺς ἄλλους οἰκείους, τοὺς δ' αὖ παραβοηθοῦντας· ὅταν δ' ἐλπίσωσιν ***) οἱ δεινοὶ μάγοι τε καὶ τυραννοποιοὶ οὗτοι μὴ ἄλλως τὸν νέον καθέξειν, ἔρωτά τινα αὐτῷ μηχανωμένους ἐμποιῆσαι, προστάτην τῶν ἀργῶν καὶ τὰ ἕτοιμα διανεμομένων * ἐπιθυμιῶν, 573 ὑπόπτερον καὶ μέγαν κηφῆνά τινα· ἢ τί ἄλλο οἴει εἶναι τὸν τῶν τοιούτων ἔρωτα; Οὐδὲν ἔγωγε, ἦ δ' ὅς, ἀλλ' ἢ τοῦτο. Οὐκοῦν, ὅταν δὴ περὶ αὐτὸν βομβοῦσαι καὶ αἱ ἄλλαι ἐπιθυμίαι, θυμιαμάτων τε γέμουσαι καὶ μύρων καὶ στεφάνων καὶ οἴνων καὶ τῶν ἐν ταῖς τοιαύταις ξυνουσίαις ἡδονῶν ἀνειμένων, ἐπὶ τὸ ἔσχατον αὔξουσαί τε καὶ τρέφουσαι πόθου

---

*) ἴσ. γεγονὼς καὶ ἐκ ν.

**) ἴσ. ἔζη.

***) ἴσ. τοὺς δ' αὖ παραβοηθοῦντας, ὅταν ἐλπίσωσιν

manifesto deprehenditur. iam vide num quid videar dicere et tu assentiare. Sane assentior. Popularem vero recordare qualem dixerimus esse. erat autem is parco patre natus et a puero ab illo educatus, qui cupiditates quidem ad quaestum faciendum propensas coleret solas, eas vero quae non sunt necessariae, sed ad iocum et decus spectant, contemneret: nonne? Ita. Consuetudinem vero dum iungebat cum viris politioribus earumque quas modo memoravimus cupiditatum plenis, progrediebatur ad omnem protervitatem illarumque genus odio permotus paternae parsimoniae, ingenium vero quia habebat melius quam corruptores, in utramque partem tractus medius consistebat inter utrasque vivendi rationes, ideoque modice, ut existimabat, utraque usus neque illiberalem neque a legibus aversam degebat vitam, popularis e viro paucorum dominationis cupido factus. Erat sane, inquit, et est hoc de eiusmodi viro iudicium. Pone igitur, inquam, rursus huius iam senioris facti filium iuvenem in ipsius quoque moribus educatum. Pono. Ac pone eadem illa huic accidere, quae eius patri acciderant, ut trahatur in omnem legum violationem, dictam a trahentibus libertatem omnem, et auxilium ferre mediis illis cupiditatibus patrem reliquosque propinquos, illos vero qui contrarium ei ferant auxilium, quum putent graves hi magi et tyranni effectores non aliter se retenturos esse iuvenem, id agere ut amorem aliquem ei iniiciant, praefectum segnium et possessiones dissipantium cupiditatum, volucrem magnumque fucum quendam: an quid aliud censes esse eiusmodi hominum amorem? Nihil equidem, inquit, nisi hoc. Nonne, quum reliquae quoque cupiditates bombum circa eum facientes et odoribus affluentes, unguentis, coronis, vinis ac voluptatibus quae in eiusmodi congressibus agitantur dissolutis usque ad extremum auxerunt et nutriverunt appetitio-

κέντρον *) ἐμποιήσωσι τῷ κηφῆνι, τότε δὴ δορυφορεῖταί τε ὑπὸ μανίας καὶ οἰστρᾷ * οὗτος ὁ προστάτης τῆς ψυχῆς, B καὶ ἐάν τινας ἐν αὑτῷ δόξας ἢ ἐπιθυμίας λάβῃ ποιουμένας χρηστὰς καὶ ἔτι ἐπαισχυνομένας, ἀποκτείνει τε καὶ ἔξω ὠθεῖ παρ' αὑτοῦ, ἕως ἂν καθήρῃ σωφροσύνης, μανίας δὲ πληρώσῃ ἐπακτοῦ. Παντελῶς, ἔφη, τυραννικοῦ ἀνδρὸς λέγεις γένεσιν. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ τὸ πάλαι διὰ τὸ τοιοῦτον τύραννος ὁ Ἔρως λέγεται; Κινδυνεύει, ἔφη. Οὐκοῦν, ὦ φίλε, εἶπον, καὶ μεθυσθεὶς ἀνὴρ τυραννικόν τι φρόνημα * ἴσχει; Ἴσχει γάρ. Καὶ μὴν ὅ γε μαινόμενος καὶ ὑποκεκινηκὼς οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν ἐπιχειρεῖ τε C καὶ ἐλπίζει δυνατὸς εἶναι ἄρχειν. Καὶ μάλ', ἔφη. Τυραννικὸς δέ, ἦν δ' ἐγώ, ὦ δαιμόνιε ἀνήρ, ἀκριβῶς γίγνεται, ὅταν ἢ φύσει ἢ ἐπιτηδεύμασιν ἢ ἀμφοτέροις μεθυστικός τε καὶ ἐρωτικὸς καὶ μελαγχολικὸς γένηται. Παντελῶς μὲν οὖν.

Γίγνεται μέν, ὡς ἔοικεν, οὕτω ὁ τοιοῦτος ἀνήρ· ζῇ δὲ δὴ πῶς; Τὸν τῶν παιζόντων, ἔφη, τοῦτο * σὺ καὶ ἐμοὶ D ἐρεῖς. Λέγω δή, ἔφην. οἶμαι γάρ, τὸ μετὰ τοῦτο ἑορταὶ γίγνονται παρ' αὐτοῖς καὶ κῶμοι καὶ θάλειαι **) καὶ ἑταῖραι καὶ τὰ τοιαῦτα πάντα, ὧν ἂν Ἔρως τύραννος ἔνδον οἰκῶν διακυβερνᾷ ***) τὰ τῆς ψυχῆς ἅπαντα. Ἀνάγκη, ἔφη. Ἆρ' οὖν οὐ πολλαὶ καὶ δειναὶ παραβλαστάνουσιν ἐπιθυμίαι ἡμέρας τε καὶ νυκτὸς ἑκάστης, πολλῶν δεόμεναι; Πολλαὶ μέντοι. Ταχὺ ἄρα ἀναλίσκονται, ἐάν τινες ὦσι πρόσοδοι. Πῶς δ' οὔ; Καὶ μετὰ τοῦτο * δὴ δανεισμοὶ καὶ τῆς οὐ- E σίας παραιρέσεις. Τί μήν; Ὅταν δὲ δὴ πάντ' ἐπιλίπῃ, ἆρα οὐκ ἀνάγκη τὰς μὲν ἐπιθυμίας βοᾶν πυκνάς τε καὶ σφοδρὰς ἐννενεοττευμένας, τοὺς δ' ὥσπερ ὑπὸ κέντρων ἐλαυνομένους τῶν τε ἄλλων ἐπιθυμιῶν καὶ διαφερόντως ὑπ' αὐτοῦ τοῦ Ἔρωτος, πάσαις ταῖς ἄλλαις ὥσπερ δορυφόροις ἡγουμένου, οἰστρᾶν καὶ σκοπεῖν τίς τι ἔχει, ὃν δυνατὸν ἀφελέσθαι ἀπατήσαντα ἢ * βιασάμενον; Σφόδρα γ', ἔφη. Ἀναγ- 574 καῖον δὴ πανταχόθεν φέρειν, ἢ μεγάλαις ὠδῖσί τε καὶ ὀδύναις ξυνέχεσθαι. Ἀναγκαῖον. Ἆρ' οὖν, ὥσπερ αἱ ἐν αὐ-

*) ἴσ. πόθον, κέντρον. **) γρ. θαλίαι.
***) γρ. διακυβερνώῃ.

nem et aculeum indiderunt fuco, tum satellitem se ei adiungit insania et furit hic animi praefectus, et si opiniones in se aliquas deprehendit et cupiditates pro frugalibus habitas et adhuc verecundas, de medio eas tollit et foras ex se pellit, dum se exsolverit temperantia, insania vero compleverit assumpta. Prorsus, inquit, tyrannici viri dicis ortum. Num vero, inquam, etiam antiquitus hanc ob causam tyrannus Amor perhibetur? Est sane ita, inquit. Nonne, amice, inquam, etiam ebrius vir tyrannicum quendam animum habet? Habet vero. Et sane qui furit menteque permotus est non modo hominibus, verum etiam diis conatur imperare seque id posse existimat. Sane quidem, inquit. Tyrannicus vero, inquam, o praestantissime vir, plane exsistit, quum vel natura vel studiis vel utroque ebriosus et amatorius et insanus exsistit. Prorsus res se sic habet.

Exsistit quidem, ut patet, ita huiusmodi vir; vitam vero qualem degit? Ut ludentes dicunt, inquit, hoc tu mihi quoque narrabis. Narro igitur. arbitror enim, dies festos celebrari apud eos et comissationes et epulas lautiores et amicas et omnia eiusdem generis, quorum quidem animum Amor tyrannus intus habitans gubernat universum. Necesse est, inquit. Nonne igitur multae vehementes adnascuntur cupiditates in singulos dies et noctes, multarum rerum indigentes? Multae vero. Cito vero consumuntur si qui sunt reditus. Quidni? Posthac igitur mutuationes reique familiaris deminutiones. Sane quidem. Quum vero omnia deficiunt, nonne necesse est cupiditates clamorem tollere frequentes ac vehementes in nido delitescentes, et illos tamquam a stimulis agitatos quum a ceteris cupiditatibus tum maxime ab ipso Amore, omnes reliquas tamquam satellites ducente, furere et quaerere quis quid habeat, quem spoliare possit defraudans vel cogens? Admodum, inquit. Oportet igitur eos undique arripere, aut magnis doloribus et cruciatibus affici. Oportet. Nonne vero,

τῷ ἡδοναὶ ἐπιγιγνόμεναι τῶν ἀρχαίων πλέον εἶχον καὶ τὰ
ἐκείνων ἀφῃροῦντο, οὕτω καὶ αὐτὸς ἀξιώσει νεώτερος ὢν
πατρός τε καὶ μητρὸς πλέον ἔχειν, καὶ ἀφαιρεῖσθαι, ἐὰν τὸ
αὑτοῦ μέρος ἀναλώσῃ, ἀπονειμάμενος τῶν πατρῴων; Ἀλλὰ
τί μήν; ἔφη. Ἐὰν δὲ δὴ αὐτῷ μὴ ἐπιτρέπωσιν, ἆρα * οὐ B
τὸ μὲν πρῶτον ἐπιχειροῖ ἂν κλέπτειν καὶ ἀπατᾶν τοὺς γο-
νέας; Πάντως. Ὁπότε δὲ μὴ δύναιτο, ἁρπάζοι ἂν καὶ βιά-
ζοιτο μετὰ τοῦτο; Οἶμαι, ἔφη. Ἀντεχομένων δὴ καὶ μαχο-
μένων, ὦ θαυμάσιε, γέροντός τε καὶ γραός, ἆρ' εὐλαβηθείη
ἂν καὶ φείσαιτο μή τι δρᾶσαι τυραννικόν *); Οὐ πάνυ, ἦ
δ' ὅς, ἔγωγε θαῤῥῶ περὶ τῶν γονέων τοῦ τοιούτου. Ἀλλ',
ὦ Ἀδείμαντε, πρὸς Διός, ἕνεκα νεωστὶ φίλης καὶ οὐκ ἀναγ-
καίας ἑταίρας γεγονυίας τὴν πάλαι φίλην * καὶ ἀναγκαίαν C
μητέρα, ἢ ἕνεκα ὡραίου νεωστὶ φίλου γεγονότος, οὐκ ἀναγ-
καίου, τὸν ἄωρόν τε καὶ ἀναγκαῖον πρεσβύτην πατέρα καὶ
τῶν φίλων ἀρχαιότατον δοκεῖ ἄν σοι ὁ τοιοῦτος πληγαῖς τε
δοῦναι καὶ καταδουλώσασθαι ἂν αὐτοὺς ὑπ' ἐκείνοις, εἰ εἰς
τὴν αὐτὴν οἰκίαν ἀγάγοιτο; Ναὶ μὰ Δί', ἦ δ' ὅς. Σφό-
δρα γε μακάριον, ἦν δ' ἐγώ, ἔοικεν εἶναι τὸ τυραννικὸν
υἱὸν τεκεῖν. Οὐ πάνυ γε, ἔφη. Τί δ', ὅταν δὴ τὰ πα-
τρὸς καὶ μητρὸς * ἐπιλείπῃ τὸν τοιοῦτον, πολὺ δὲ ἤδη ξυν- D
ειλεγμένον ἐν αὐτῷ ᾖ τὸ τῶν ἡδονῶν σμῆνος, οὐ πρῶτον
μὲν οἰκίας τινὸς ἐφάψεται τοίχου ἤ τινος ὀψὲ νύκτωρ ἰόν-
τος τοῦ ἱματίου, μετὰ δὲ ταῦτα ἱερόν τι νεωκορήσει; καὶ
ἐν τούτοις δὴ πᾶσιν, ἃς πάλαι εἶχε δόξας ἐκ παιδὸς περὶ
καλῶν τε καὶ αἰσχρῶν, τὰς δικαίας **) ποιουμένας, αἱ
νεωστὶ ἐκ δουλείας λελυμέναι, δορυφοροῦσαι τὸν Ἔρωτα,
κρατήσουσι μετ' ἐκείνου· αἳ πρότερον μὲν ὄναρ ἐλύοντο ἐν
ὕπνῳ, ὅτε ἦν * αὐτὸς ἔτι ὑπὸ νόμοις τε καὶ πατρὶ δημο- E
κρατούμενος ἐν ἑαυτῷ, τυραννευθεὶς δὲ ὑπὸ Ἔρωτος, οἷος
ὀλιγάκις ἐγίγνετο ὄναρ, ὕπαρ τοιοῦτος ἀεὶ γενόμενος ***),
οὔτε τινὸς φόνου δεινοῦ ἀφέξεται οὔτε βρώματος οὔτ' ἔρ-
γου, ἀλλὰ * τυραννικὸς †) ἐν αὐτῷ ὁ Ἔρως ἐν πάσῃ ἀν- 575

*) ἄλλ. τῶν τυραννικῶν. **) γρ. τὰς δίκας.
***) ἄλλ. γιγνόμενος. †) ἄλλ. τυραννικῶς.

quemadmodum voluptates in eo posterae plura appetebant quam priores hasque spoliabant, ita etiam ipse iunior plura habere contendet quam pater et mater eosque spoliare, quum partem suam consumpserit, paterna bona ad se vindicans? Quidni? inquit. Parentes vero si ei non permittant, nonne primum furabitur eosque defraudabit? Prorsus ita. Quodsi non potuerit, rapiet et vi auferet deinde? Arbitror, inquit. Resistentibus igitur ac repugnantibus, o praestantissime, sene et anicula, num reverebitur et tyrannicis abstinebit actionibus? Non sane, inquit, equidem bene spero de huius parentibus. Et hercle, Adimante, propter amicam recens dilectam nec necessariam dudum dilectam et necessariam matrem, vel propter formosum recens dilectum nec necessarium deformem et necessarium patrem senem et amicorum antiquissimum videtur tibi hic verberaturus illorumque servitio subiecturus esse, si eandem in domum secum duxerit? Sane quidem hercle, inquit. Admodum fortunatum, inquam, videtur esse tyrannicum filium procreare. Non sane, inquit. Quid vero, si paterna et materna bona eum deficiunt, copiosum vero iam collectum est in eo voluptatum examen, nonne primum quidem domus alicuius adorietur parietem vel sero noctis proficiscenti pallium detrahet, deinde vero templum exspoliabit? et in his quidem omnibus quas pridem tenebat sententias a pucro de rebus honestis ac turpibus, pro iustis illas quidem habitas, nuper servitute liberatae Amoris satellites superabunt cum ipso; quae prius quidem specie liberabantur in somnis, quum ipse adhuc legibus et patri obediret, populari in se imperio subiectus, Amoris vero tyrannidi subiectus, postquam, qualem se raro praebuerat specie, vero talis semper factus est, neque dira aliqua caede abstinebit neque heluatione neque facinore, sed tyrannicus in eo Amor in quavis imperii ac legum dissolutione vivens,

αρχίᾳ καὶ ἀνομίᾳ ζῶν, ἅτε αὐτὸς ὢν μόναρχος, τὸν ἔχοντά τε αὐτὸν ὥσπερ πόλιν ἄξει ἐπὶ πᾶσαν τόλμαν, ὅθεν αὑτόν τε καὶ τὸν περὶ αὑτὸν θόρυβον θρέψει, τὸν μὲν ἔξωθεν εἰσεληλυθότα ἀπὸ κακῆς ὁμιλίας, τὸν δ' ἔνδοθεν ὑπὸ τῶν αὐτῶν τρόπων καὶ ἑαυτοῦ ἀνεθέντα καὶ ἐλευθερωθέντα· ἢ οὐχ οὗτος ὁ βίος τοῦ τοιούτου; Οὗτος μὲν οὖν, ἔφη. Καὶ ἂν μέν γε, ἦν δ' ἐγώ, ὀλίγοι οἱ τοιοῦτοι ἐν πόλει ὦσι * καὶ τὸ ἄλλο πλῆθος σωφρονῇ, ἐξελθόντες ἄλλον τινὰ δορυ- B φοροῦσι τύραννον ἢ μισθοῦ ἐπικουροῦσιν, ἐάν που πόλεμος ᾖ· ἐὰν δ' ἐν εἰρήνῃ τε καὶ ἡσυχίᾳ γένωνται, αὐτοῦ δὴ ἐν τῇ πόλει κακὰ δρῶσι σμικρὰ πολλά. Τὰ ποῖα δὴ λέγεις; Οἷα κλέπτουσι, τοιχωρυχοῦσι, βαλαντιοτομοῦσι, λωποδυτοῦσιν, ἱεροσυλοῦσιν, ἀνδραποδίζονται, ἔστι δ' ὅτε συκοφαντοῦσιν, ἐὰν δυνατοὶ ὦσι λέγειν, καὶ ψευδομαρτυροῦσι καὶ δωροδοκοῦσιν. Σμικρά γ' *), ἔφη, κακὰ λέγεις, ἐὰν * ὀλίγοι ὦσιν οἱ τοιοῦ- C τοι. Τὰ δὲ σμικρά, ἦν δ' ἐγώ, πρὸς τὰ μεγάλα σμικρά ἐστι, καὶ ταῦτα δὴ πάντα πρὸς τύραννον πονηρίᾳ τε καὶ ἀθλιότητι πόλεως **), τὸ λεγόμενον, οὐδ' ἴκταρ βάλλει· ὅταν γὰρ δὴ πολλοὶ ἐν πόλει γένωνται οἱ τοιοῦτοι καὶ ἄλλοι οἱ ξυνεπόμενοι αὐτοῖς καὶ αἴσθωνται ἑαυτῶν τὸ πλῆθος, τότε οὗτοί εἰσιν οἱ τὸν τύραννον γεννῶντες μετὰ δήμου ἀνοίας, ἐκεῖνον ὃς ἂν αὐτῶν μάλιστα αὐτὸς ἐν αὑτῷ μέγιστον καὶ * πλεῖστον ἐν τῇ ψυχῇ τύραννον ἔχῃ. Εἰκότως γ', D ἔφη· τυραννικώτατος γὰρ ἂν εἴη. Οὐκοῦν ἐὰν μὲν ἑκόντες ὑπείκωσιν, ἐὰν δὲ μὴ ἐπιτρέπῃ ἡ πόλις, ὥσπερ τότε μητέρα καὶ πατέρα ἐκόλαζεν, οὕτω πάλιν τὴν πατρίδα, ἐὰν οἷός τ' ᾖ, κολάσεται ἐπεισαγόμενος νέους ἑταίρους, καὶ ὑπὸ τούτοις δὴ δουλεύουσαν τὴν πάλαι φίλην μητρίδα τε, Κρῆτές φασι, καὶ πατρίδα ἕξει τε καὶ θρέψει. καὶ τοῦτο δὴ τὸ τέλος ἂν εἴη τῆς ἐπιθυμίας τοῦ τοιούτου ἀνδρός. * Τοῦτο, ἦ δ' ὅς, E παντάπασί γε.

Οὐκοῦν, ἦν δ' ἐγώ, οὗτοί γε τοιοίδε γίγνονται ἰδίᾳ καὶ πρὶν ἄρχειν; πρῶτον μέν, οἷς ἂν ξυνῶσιν, ἢ κόλαξιν

---

*) ἀλλ. γάρ.
**) γρ. πόλεως παραβαλλόμενα.

quippe qui ipse solus imperet, eum qui ipso tenetur tamquam civitatem in omnem inducet audaciam, unde et se ipsum et turbam satellitum suorum nutriet, tam extrinsecus ingressam e mala consuetudine, quam intrinsecus ab eisdem moribus et ab ipso remissam atque liberatam; an non haec est huiusmodi viri vita? Haec sane, inquit. Iam si exiguus, inquam, eorum numerus in civitate et reliqua multitudo rationem sequitur, emigrantes alii se satellites adiungunt tyranno vel mercede auxiliantur, sicubi bellum geritur; sin vero in pace et tranquillo sunt, ipsa in urbe facinora committunt exigua multa. Qualia tandem dicis? Velut furantur, parietes perfodiunt, crumenas desecant, spoliant, sacra auferunt, in servitutem abducunt, nonnumquam calumniantur, si dicendo valent, falsa testimonia dicunt et largitionem accipiunt. Exigua quidem, inquit, facinora dicis, si pauci sunt tales. Exigua vero, inquam, cum magnis collata exigua sunt, et haec quidem omnia, si pravitatem ac miseriam spectas, ne accedunt quidem ad tyrannum. quando enim multi in civitate exsistunt tales aliique hos sequentes suamque animadvertunt multitudinem, tum hi sunt qui tyrannum gignunt populi dementia adiuvante, et eum quidem ex suorum numero qui in se ipse maximum et summum in animo tyrannum habet. Consentaneum vero, inquit; maxime enim erit tyrannicus. Nonne vero, si volentes non obediant nec civitas ei permiserit, quemadmodum tunc matrem et patrem castigabat, sic etiam patriam, si potuerit, castigabit novos introducens sodales, et his servientem olim sibi caram matriam, ut Cretenses dicunt, et patriam habebit atque nutriet? et hic quidem finis erit cupiditatis huiusmodi viri. Hic, inquit, sane erit.

Nonne vero, inquam, hi tales exsistunt privatim et antequam imperant? primum quidem inter eos versan-

ἑαυτῶν ξυνόντες καὶ πᾶν ἑτοίμοις ὑπηρετεῖν, ἤ, ἐάν τού τι
δέωνται, αὐτοὶ * ὑποπεσόντες, πάντα σχήματα τολμῶντες 576
ποιεῖν ὡς οἰκεῖοι, διαπραξάμενοι δὲ ἀλλότριοι; Καὶ σφόδρα
γε. Ἐν παντὶ ἄρα τῷ βίῳ ζῶσι φίλοι μὲν οὐδέποτε οὐδε-
νί, ἀεὶ δέ του δεσπόζοντες ἢ δουλεύοντες ἄλλῳ· ἐλευθερίας
δὲ καὶ φιλίας ἀληθοῦς τυραννικὴ φύσις ἀεὶ ἄγευστος.
Πάνυ μὲν οὖν. Ἆρ' οὖν οὐκ ὀρθῶς ἂν τοὺς τοιούτους
ἀπίστους καλοῖμεν; Πῶς δ' οὔ; Καὶ μὴν ἀδίκους γε, ὡς
οἷόν τε μάλιστα, εἴπερ ὀρθῶς ἐν τοῖς πρόσθεν * ὡμολογή- B
σαμεν περὶ δικαιοσύνης, οἷόν ἐστιν. Ἀλλὰ μήν, ἦ δ' ὅς,
ὀρθῶς γε. Κεφαλαιωσώμεθα τοίνυν, ἦν δ' ἐγώ, τὸν κάκι-
στον· ἔστι δέ που, οἷον ὄναρ διήλθομεν, ὃς ἂν ὕπαρ τοιοῦ-
τος ᾖ. Πάνυ μὲν οὖν. Οὐκοῦν οὗτος γίγνεται ὃς ἂν τυ-
ραννικώτατος φύσει ὢν μοναρχήσῃ, καὶ ὅσῳ ἂν πλείω χρόνον
ἐν τυραννίδι βιῷ, τοσούτῳ μᾶλλον τοιοῦτος; Ἀνάγκη, ἔφη
διαδεξάμενος τὸν λόγον ὁ Γλαύκων.

Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὃς ἂν φαίνηται πονηρότατος,
καὶ ἀθλιώτατος * φανήσεται, καὶ ὃς ἂν πλεῖστον χρόνον C
καὶ μάλιστα τυραννεύσῃ, μάλιστά τε καὶ πλεῖστον χρόνον τοιοῦ-
τος γεγονὼς τῇ ἀληθείᾳ; τοῖς δὲ πολλοῖς πολλὰ καὶ δοκεῖ.
Ἀνάγκη, ἔφη, ταῦτα γοῦν οὕτως ἔχειν. Ἄλλο τι οὖν, ἦν
δ' ἐγώ, ὅ γε τυραννικὸς κατὰ τὴν τυραννουμένην πόλιν
ἂν εἴη ὁμοιότητι, δημοτικὸς *) δὲ κατὰ δημοκρατουμένην,
καὶ οἱ ἄλλοι οὕτως; Τί μήν; Οὐκοῦν, ὅ τι πόλις πρὸς
πόλιν ἀρετῇ καὶ εὐδαιμονίᾳ, τοῦτο καὶ ἀνὴρ πρὸς ἄνδρα;
* Πῶς γὰρ οὔ; Τί οὖν ἄρα ἡ τυραννουμένη πόλις πρὸς D
βασιλευομένην, οἵαν τὸ πρῶτον διήλθομεν; Πᾶν τοὐναντίον,
ἔφη· ἡ μὲν γὰρ ἀρίστη, ἡ δὲ κακίστη. Οὐκ ἐρήσομαι, εἶ-
πον, ὁποτέραν λέγεις· δῆλον γάρ· ἀλλ' εὐδαιμονίας αὖ καὶ
ἀθλιότητος ὡσαύτως ἢ ἄλλως κρίνεις; καὶ μὴ ἐκπληττώμε-
θα πρὸς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ' εἴ τινες
ὀλίγοι περὶ ἐκεῖνον, ἀλλ' ὡς χρὴ ὅλην τὴν πόλιν εἰσελθόν-

*) γρ. δημοκρατικός.

tes qui ipsis adulantur et ad omnia parati sunt officia praestanda, vel, si quem quid rogant, ipsi blande se submittentes, omnes personas suscipientes tamquam familiares, quum vero impetrarunt, tamquam alieni? Admodum. In omni igitur vita vivunt nulli umquam amici, sed imperantes semper alicui aut alteri servientes; libertatis enim et amicitiae verae animus tyrannicus semper expers. Sane quidem. Nonne igitur recte hos vocabimus infidos? Quidni? Atque etiam iniustos, quam maxime potest fieri, siquidem recte supra consensimus inter nos de iustitiae natura. Ac recte quidem, inquit. Summatim igitur, inquam, virum describamus pessimum; est autem is qui, qualem cogitatione finximus, talem revera se praebet. Sane quidem. Nonne hic est qui, quum maxime tyrannicum habeat animum, solus imperat, et quo diutius in tyrannide vivit, eo magis talis? Necesse est, Glauco inquit sermonem excipiens.

Nonne vero, inquam, qui reperitur pravissimus, is etiam miserrimus reperietur, et qui diutissime maximeque tyrannidem exercuit, is maxime quoque diutissimeque revera talis evadit? quamquam multitudini multa quoque videntur. Necessario, inquit, haec sane se sic habent. Nonne igitur, inquam, tyrannicus ad civitatis tyranni imperio subiectae, popularis ad populi principatus similitudinem accedent, et ita quoque reliqui? Quidni? Et quae ratio est civitatum ad virtutem et felicitatem, eadem est etiam virorum? Admodum. Quomodo igitur civitas tyranni imperio subiecta se habet ad eam quae regi paret, qualem primum descripsimus? Plane contra, inquit; una enim optima est, altera vero pessima. Non quaeram, inquam, utram dicas; patet enim; verum, quod ad felicitatem et miseriam attinet, idem est tuum iudicium, an aliud? ne vero perturbemur in tyrannum unum intuentes vel paucos aliquos eius satellites, sed, quemadmodum oportet in totam nos civitatem ingressos considerare, ita universam quum intra-

τας θεάσασθαι, καταδύντες * εἰς ἅπασαν καὶ ἰδόντες, οὕτω E
δόξαν ἀποφαινώμεθα. Ἀλλ' ὀρθῶς, ἔφη, προκαλεῖ· καὶ δῆ-
λον παντὶ ὅτι τυραννουμένης μὲν οὐκ ἔστιν ἀθλιωτέρα, βα-
σιλευομένης δὲ οὐκ εὐδαιμονεστέρα. Ἆρ' οὖν, ἦν δ' ἐγώ,
καὶ περὶ τῶν ἀνδρῶν τὰ αὐτὰ ταῦτα προκαλούμενος * ὀρ- 577
θῶς ἂν προκαλοίμην, ἀξιῶν κρίνειν περὶ αὐτῶν ἐκεῖνον ὃς
δύναται τῇ διανοίᾳ εἰς ἀνδρὸς ἦθος ἐνδὺς διιδεῖν καὶ μὴ
καθάπερ παῖς ἔξωθεν ὁρῶν ἐκπλήττηται ὑπὸ τῆς τῶν τυ-
ραννικῶν προστάσεως, ἣν πρὸς τοὺς ἔξω σχηματίζον-
ται, ἀλλ' ἱκανῶς διορᾷ; εἰ οὖν οἰοίμην δεῖν ἐκείνου πάν-
τας ἡμᾶς ἀκούειν, τοῦ δυνατοῦ μὲν κρῖναι, ξυνῳκηκότος δὲ
ἐν τῷ αὐτῷ καὶ παραγεγονότος ἔν τε ταῖς κατ' οἰκίαν πρά-
ξεσιν, ὡς πρὸς ἑκάστους τοὺς οἰκείους * ἔχει, ἐν οἷς μά- B
λιστα γυμνὸς ἂν ὀφθείη τῆς τραγικῆς σκευῆς, καὶ ἐν αὖ
τοῖς*) δημοσίοις κινδύνοις, καὶ ταῦτα πάντα ἰδόντα κελεύοι-
μι ἐξαγγέλλειν πῶς ἔχει εὐδαιμονίας καὶ ἀθλιότητος ὁ τύ-
ραννος πρὸς τοὺς ἄλλους; Ὀρθότατ' ἄν, ἔφη, καὶ ταῦτα
προκαλοῖο. Βούλει οὖν, ἦν δ' ἐγώ, προσποιησώμεθα ἡμεῖς
εἶναι τῶν δυνατῶν ἂν κρῖναι καὶ ἤδη ἐντυχόντων τοιούτοις,
ἵνα ἔχωμεν ὅστις ἀποκρινεῖται ἃ ἐρωτῶμεν; Πάνυ γε.

Ἴθι δή μοι, ἔφην, ὧδε σκόπει· * τὴν ὁμοιότητα ἀνα- C
μιμνησκόμενος τῆς τε πόλεως καὶ τοῦ ἀνδρός, οὕτω καθ'
ἕκαστον ἐν μέρει ἀθρῶν τὰ παθήματα ἑκατέρου λέγε. Τὰ
ποῖα; ἔφη. Πρῶτον μέν, ἦν δ' ἐγώ, ὡς πόλιν εἰπεῖν, ἐλευ-
θέραν ἢ δούλην τὴν τυραννουμένην ἐρεῖς; Ὡς οἷόν τ',
ἔφη, μάλιστα δούλην. Καὶ μὴν ὁρᾷς γε ἐν αὐτῇ δεσπότας
καὶ ἐλευθέρους. Ὁρῶ, ἔφη, σμικρόν γέ τι τοῦτο, τὸ δὲ
ὅλον, ὡς ἔπος εἰπεῖν, ἐν αὐτῇ καὶ τὸ ἐπιεικέστατον ἀτίμως
τε καὶ ἀθλίως δοῦλον. Εἰ οὖν, εἶπον, ὅμοιος * ἀνὴρ τῇ D
πόλει, οὐ καὶ ἐν ἐκείνῳ ἀνάγκη τὴν αὐτὴν τάξιν ἐνεῖναι,
καὶ πολλῆς μὲν δουλείας τε καὶ ἀνελευθερίας γέμειν τὴν
ψυχὴν αὐτοῦ, καὶ ταῦτα αὐτῆς τὰ μέρη δουλεύειν ἅπερ ἦν
ἐπιεικέστατα, σμικρὸν δὲ καὶ τὸ μοχθηρότατον καὶ μανικώ-
τατον δεσπόζειν; Ἀνάγκη, ἔφη. Τί οὖν; δούλην ἢ ἐλευ-

---

*) γρ. αὐτοῖς.

verimus atque inspexerimus, tum sententiam dicamus. Recte, inquit, admones; et perspicuum cuique civitate tyranni imperio subiecta nullam esse miseriorem, ea vero quae a rege gubernetur nullam beatiorem. Num vero, inquam, etiam de viris idem si admonuero recte admonuero, contendens huius esse de illis iudicare qui cogitatione possit in viri ingenium intrans dispicere nec, sicuti puer, extrinsecus spectans perturbetur tyrannorum apparatu quo sese erga exteros ornant, sed satis perspiciat? iam si censeam illum oportere nos omnes audire, qui possit iudicare, quippe qui cum illo habitaverit et tam actionibus interfuerit domesticis, quomodo adversus familiares se gerat, in quibus quidem maxime a tragica pompa nudus conspicitur, quam periculis publicis, et haec omnia quum viderit iubeam renunciare, quomodo se habeat tyranni felicitas et miseria cum reliquorum conditione collata? Rectissime, inquit, etiam haec admonueris. Visne igitur, inquam, fingamus nos esse in eorum numero qui possint iudicare et inciderint iam in tales, ut habeamus qui respondeat ad ea quae interrogamus? Sane quidem.

Agedum, inquam, ita mihi considera: similitudinem recordatus civitatis et viri utriusque per se spectati conditionem memora. Qualem? inquit. Ut primum, inquam, de urbe loquamur, liberam an servam dices eam quae tyranno paret? Quam maxime, inquit, fieri potest, servam. Atqui vides in ea dominos et liberos. Video, inquit, exiguum quidem numerum, universitatem vero, ut ita dicam, in ea et moderatissimum civium genus ignominiosa et misera servitute oppressa. Iam si, inquam, similis vir est civitatis, nonne etiam in illo necesse est eundem inesse ordinem, et multa quidem servitute atque illiberalitate plenum esse eius animum, et eas ipsius partes servire quae sunt moderatissimae, exiguam vero eamque improbissimam et insanissimam dominari? Necesse est, inquit. Quid igi-

θέραν τὴν τοιαύτην φήσεις εἶναι ψυχήν; Δούλην δήπου ἔγωγε. Οὐκοῦν ἥ γε αὖ δούλη καὶ τυραννουμένη πόλις ἥκιστα ποιεῖ ἃ βούλεται; Πολύ γε. Καὶ ἡ τυραννουμένη ἄρα * ψυχὴ ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ, ὡς περὶ ὅλης E εἰπεῖν ψυχῆς, ὑπὸ δὲ οἴστρου ἀεὶ ἑλκομένη βίᾳ ταραχῆς καὶ μεταμελείας μεστὴ ἔσται. Πῶς γὰρ οὔ; Πλουσίαν δὲ ἢ πενομένην ἀνάγκη τὴν τυραννουμένην πόλιν εἶναι; Πενομένην. Καὶ ψυχὴν ἄρα τυραννικὴν * πενιχρὰν καὶ ἄπληστον 578 ἀνάγκη ἀεὶ εἶναι. Οὕτως, ἦ δ' ὅς. Τί δέ; φόβου γέμειν ἆρ' οὐκ ἀνάγκη τήν γε τοιαύτην πόλιν τόν τε τοιοῦτον ἄνδρα; Πολλή *) γε. Ὀδυρμοὺς δὲ καὶ στεναγμοὺς καὶ θρήνους καὶ ἀλγηδόνας οἴει ἔν τινι ἄλλῃ πλείους εὑρήσειν; Οὐδαμῶς. Ἐν ἀνδρὶ δὲ ἡγεῖ τὰ τοιαῦτα ἐν ἄλλῳ τινὶ πλείω εἶναι, ἢ ἐν τῷ μαινομένῳ ὑπὸ ἐπιθυμιῶν τε καὶ ἐρώτων τούτῳ τῷ τυραννικῷ; Πῶς γὰρ ἄν; ἔφη. Εἰς πάντα δή, οἶμαι, ταῦτά τε καὶ * ἄλλα τοιαῦτα ἀποβλέψας τήν γε B πόλιν τῶν πόλεων ἀθλιωτάτην ἔκρινας. Οὐκοῦν ὀρθῶς; ἔφη. Καὶ μάλα, ἦν δ' ἐγώ. ἀλλὰ περὶ τοῦ ἀνδρὸς αὖ τοῦ τυραννικοῦ τί λέγεις εἰς ταὐτὰ ταῦτα ἀποβλέπων; Μακρῷ, ἔφη, ἀθλιώτατον εἶναι τῶν ἄλλων ἁπάντων. Τοῦτο, ἦν δ' ἐγώ, οὐκέτ' ὀρθῶς λέγεις. Πῶς; ἦ δ' ὅς. Οὔπω, ἔφην, οἶμαι, οὗτός ἐστιν ὁ τοιοῦτος μάλιστα. Ἀλλὰ τίς μήν; Ὅδε ἴσως σοι ἔτι δόξει εἶναι τούτου ἀθλιώτερος. Ποῖος; Ὃς * ἄν, ἦν δ' ἐγώ, τυραννικὸς ὢν μὴ ἰδιώτην βίον κα- C ταβιῷ, ἀλλὰ δυστυχὴς ᾖ καὶ αὐτῷ ὑπό τινος ξυμφορᾶς ἐκπορισθῇ ὥστε τυράννῳ γενέσθαι. Τεκμαίρομαί σε, ἔφη, ἐκ τῶν προειρημένων ἀληθῆ λέγειν. Ναί, ἦν δ' ἐγώ· ἀλλὰ οὐκ οἴεσθαι χρὴ τὰ τοιαῦτα, ἀλλ' εὖ μάλα τῷ τοιούτῳ λόγῳ σκοπεῖν· περὶ γάρ τοι τοῦ μεγίστου ἡ σκέψις, ἀγαθοῦ τε βίου καὶ κακοῦ. Ὀρθότατα, ἦ δ' ὅς. Σκόπει δὴ εἰ ἄρα τι λέγω· δοκεῖ γάρ μοι δεῖν ἐννοῆσαι * ἐκ τῶνδε περὶ D αὐτοῦ σκοποῦντας. Ἐκ τίνων; Ἐξ ἑνὸς ἑκάστου τῶν ἰδιωτῶν, ὅσοι πλούσιοι ἐν πόλεσιν ἀνδράποδα πολλὰ κέκτηνται· οὗτοι γὰρ τοῦτό γε προσόμοιον ἔχουσι τοῖς τυράννοις, τὸ

*) γρ. Πολύ.

tur? servum an liberum huiusmodi dices animum esse? Servum scilicet equidem. Nonne rursus civitas serva et tyranno subiecta minime facit quae volt? Minime vero. Ergo animus quoque tyrannico imperio subiectus minime faciet quae volet, ut de universo dicamus animo, sed a furore semper vi abreptus perturbatione ac poenitentia plenus erit. Quidni? Divitem vero an pauperem necesse est civitatem tyranno parentem esse? Pauperem. Itaque animus quoque tyrannico imperio subiectus pauper et insatiabilis semper sit necesse est. Ita, inquit. Quid porro? timore plenos esse nonne necesse est talem civitatis statum talemque virum? Prorsus quidem. Lamentationes vero et gemitus et luctus et cruciatus num censes in alia ulla plures te inventurum esse? Minime. In viro autem num putas alio quopiam illas plures esse, quam in tyrannico cupiditatibus et amoribus furente? Quî possum? inquit. Omnia igitur, opinor, haec et alia eiusdem generis respiciens civitatem hanc reliquarum omnium miserrimam iudicas. Nonne recte? inquit. Sane quidem, inquam. at de viro tyrannico quid dicis eadem haec respiciens? Longe, inquit, miserrimum esse reliquorum omnium. Hoc, inquam, iam non recte dicis. Quomodo? inquit. Nondum, inquam, ut arbitror, hic est maxime talis. Quisnam vero? Is, inquam, qui quum tyrannicus sit non privatam vitam degit, sed qui infelix est et in eum casum a fortuna dimittitur, ut tyrannus evadat. Coniicio, inquit, ex ante dictis te vera dicere. Ita, inquam; at non opinionem sequi decet de his, sed probe ea ad hanc orationem perpendere; quaestio enim habetur de re gravissima, bona et mala vita. Rectissime, inquit. Vide igitur num quid dicam; videtur enim mihi ex his res consideranda esse de ea quaerentibus. Ex quibusnam? Ex unoquoque privatorum, quicumque divites in civitatibus mancipia multa possident; hi enim in hoc assimiles sunt tyrannis, quod multis imperant; diversa tamen

πολλῶν ἄρχειν· διαφέρει δὲ τὸ ἐκείνου πλῆθος. Διαφέρει
γάρ. Οἶσθα οὖν ὅτι οὗτοι ἀδεῶς ἔχουσι καὶ οὐ φοβοῦνται
τοὺς οἰκέτας; Τί γὰρ ἂν φοβοῖντο; Οὐδέν, εἶπον· ἀλλὰ τὸ
αἴτιον ἐννοεῖς; Ναί, ὅτι γε πᾶσα ἡ πόλις ἑνὶ ἑκάστῳ βοη-
θεῖ τῶν ἰδιωτῶν. Καλῶς, * ἦν δ' ἐγώ, λέγεις. τί δέ; εἴ E
τις θεῶν ἄνδρα ἕνα, ὅτῳ ἐστὶν ἀνδράποδα πεντήκοντα ἢ
καὶ πλείω, ἄρας ἐκ τῆς πόλεως αὐτόν τε καὶ γυναῖκα καὶ
παῖδας θείη εἰς ἐρημίαν μετὰ τῆς ἄλλης οὐσίας τε καὶ τῶν
οἰκετῶν, ὅπου αὐτῷ μηδεὶς τῶν ἐλευθέρων μέλλοι βοηθή-
σειν, ἐν ποίῳ ἄν τινι καὶ ὁπόσῳ φόβῳ οἴει *) γενέσθαι
αὐτὸν περί τε αὑτοῦ καὶ παίδων καὶ γυναικός, μὴ ἀπό-
λοιντο ὑπὸ τῶν οἰκετῶν; Ἐν παντί, ἦ δ' ὅς, ἔγωγε. Οὐκ-
οῦν * ἀναγκάζοιτο ἄν τινας ἤδη θωπεύειν αὐτῶν τῶν δού- 579
λων καὶ **) ὑπισχνεῖσθαι πολλὰ καὶ ἐλευθεροῦν οὐδὲν δεό-
μενος ***), καὶ κόλαξ αὐτὸς ἂν θεραπόντων ἀναφανείη;
Πολλὴ ἀνάγκη, ἔφη, αὐτῷ, ἢ ἀπολωλέναι. Τί δ', εἰ καὶ
ἄλλους, ἦν δ' ἐγώ, ὁ θεὸς κύκλῳ κατοικίσειε γείτονας πολ-
λοὺς αὐτῷ, οἳ μὴ †) ἀνέχοιντο εἴ τίς ἄλλος ἄλλου δεσπό-
ζειν ἀξιοῖ, ἀλλ' εἴ πού τινα τοιοῦτον λαμβάνοιεν, ταῖς ἐσχά-
ταις τιμωροῖντο τιμωρίαις; Ἔτι ἄν, ἔφη, οἶμαι, * μᾶλλον ἐν B
παντὶ κακοῦ εἴη, κύκλῳ φρουρούμενος ὑπὸ πάντων πολε-
μίων. Ἆρ' οὖν οὐκ ἐν τοιούτῳ μὲν δεσμωτηρίῳ δέδεται
ὁ τύραννος, φύσει ὢν οἷον διεληλύθαμεν, πολλῶν καὶ παν-
τοδαπῶν φόβων καὶ ἐρώτων μεστός; λίχνῳ δὲ ὄντι αὐτῷ
τὴν ψυχὴν μόνῳ τῶν ἐν τῇ πόλει οὔτε ἀποδημῆσαι ἔξ-
εστιν οὐδαμόσε οὔτε θεωρῆσαι ὅσων δὴ καὶ οἱ ἄλλοι
ἐλεύθεροι ἐπιθυμηταί εἰσι, καταδεδυκὼς δὲ ἐν τῇ οἰ-
κίᾳ τὰ πολλὰ ὡς γυνὴ ζῇ, φθονῶν * καὶ τοῖς ἄλλοις πο- C
λίταις, ἐάν τις ἔξω ἀποδημῇ καί τι ἀγαθὸν ὁρᾷ; Παντάπα-
σι μὲν οὖν, ἔφη.

Οὐκοῦν τοῖς τοιούτοις κακοῖς ††) πλείω καρποῦται
ἀνὴρ ὃς ἂν κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃς νῦν δὴ σὺ
ἀθλιώτατον ἔκρινας τὸν τυραννικόν, ὡς μὴ ἰδιώτης κατα-

---

*) γρ. οἴει ἄν. **) ἴσ. αὐτῶν καί.
***) ἴσ. δεομένους. †) γρ. οἳ ἂν μή.
††) ἴσ. τῶν τοιούτων κακῶν.

est horum multitudo. Diversa vero. Iamne scis hos sine ullo metu esse nec timere famulos? Cur enim timeant? Nihil est, inqnam; at causam num intelligis? Vero, quia universa civitas unicuique auxiliatur privatorum. Praeclare, inquam, dicis. quid vero? si quis deorum virum unum, cui quinquaginta vel etiam plura sint mancipia, sublatum ex urbe cum uxore ac liberis collocaverit in solitudine cum ceteris opibus atque etiam cum servis, ubi nullus de liberis opem ei sit laturus, in quali et quanto eum arbitraris metu fore ne et ipse et liberi et uxor a servis interficiantur? In summo, inquit, equidem. Nonne cogetur aliquibus iam eorum adulari, multa polliceri et manumittere haud desiderantes, ipseque adulator servorum exsistet? Prorsus necesse est, inquit; aliter peribit. Quid vero, si alios quoque, inquam, deus circumcirca collocaverit vicinos ei multos, qui non permittant ut alter in alterum dominari velit, sed, sicubi talem deprehenderint, gravissimum de eo supplicium sumant? Etiam, inquit, ut arbitror, magis omni in miseria versabitur, circumcirca custoditus et septus ab omnibus inimicis. Nonne vero in eiusmodi carcerem inclusus est tyrannus, natura ita comparatus ut exposuimus, multis omnisque generis timoribus et amoribus plenus? et quum ingenio sit avido et curioso, soli ex omnibus in urbe habitantibus neque proficisci usquam licet neque spectare quorum reliqui quoque liberi sunt cupidi, sed abditus in domo plerumque ut mulier vivit, invidens etiam reliquis civibus, si quis peregre proficiscitur et pulchri quid spectat. Prorsus quidem, inquit.

Nonne his malis plura percipit vir tyrannicus, qui male in semet ipso constitutus, quem quidem tu modo miserrimum iudicabas, non privatam degit vitam, sed

βιῷ, ἀλλ᾿ ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι καὶ ἑαυτοῦ ὢν ἀκράτωρ ἄλλων ἐπιχειρήσῃ ἄρχειν, ὥςπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ μὴ ἰδιωτεύων, ἀλλ᾿ ἀγωνιζόμενος * πρὸς ἄλλα σώματα καὶ μαχόμενος ἀναγκά- D
ζοιτο διάγειν τὸν βίον; Παντάπασιν, ἔφη, ὁμοιότατά τε καὶ ἀληθέστατα λέγεις, ὦ Σώκρατες. Οὐκοῦν, ἦν δ᾿ ἐγώ, ὦ φίλε Γλαύκων, παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; Κομιδῇ γ᾿, ἔφη. Ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν εἰ μή τῳ δοκεῖ *), ὁ τῷ ὄντι τύραννος τῷ ὄντι δοῦλος τὰς μεγίστας **) θωπείας καὶ δουλείας καὶ κόλαξ * τῶν πονηροτά- E
των· καὶ τὰς ἐπιθυμίας οὐδ᾿ ὁπωςτιοῦν ἀποπιμπλάς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐάν τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι, καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει ἔοικεν· ἔοικε δέ· ἢ γάρ; Καὶ μάλα, ἔφη. * Οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσο- 580
μεν τῷ ἀνδρὶ καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ ἢ πρότερον διὰ τὴν ἀρχὴν φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ καὶ πάσης κακίας πανδοκεῖ τε καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων μάλιστα μὲν αὐτῷ δυςτυχεῖ εἶναι, ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι; Οὐδείς σοι, ἔφη, τῶν νοῦν ἐχόντων ἀντερεῖ. Ἴθι δή μοι, ἔφην ἐγώ, νῦν ἤδη, ὥςπερ ὁ διὰ * πάντων κριτὴς ἀποφαίνεται, καὶ σὺ οὕτω, B
τίς πρῶτος κατὰ τὴν σὴν δόξαν εὐδαιμονίᾳ, τίς ***) δεύτερος, καὶ τοὺς ἄλλους ἑξῆς πέντε ὄντας κρῖναι, βασιλικόν, τιμοκρατικόν, ὀλιγαρχικόν, δημοκρατικόν, τυραννικόν. Ἀλλὰ ῥᾳδία, ἔφη, ἡ κρίσις· καθάπερ γὰρ εἰςῆλθον, ἔγωγε ὥςπερ χοροὺς κρίνω ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ καὶ τῷ ἐναντίῳ. Μισθωσώμεθα οὖν κήρυκα, ἦν δ᾿ ἐγώ, ἢ αὐτὸς ἀνείπω ὅτι ὁ Ἀρίστωνος υἱὸς τὸν ἄριστόν τε καὶ δικαιότατον * εὐδαιμονέστατον ἔκρινε, C

---

*) γρ. δοκῇ. **) ἴσ. τῆς μεγίστης.

***) ἄλλ. καὶ τίς.

coactus est a casu aliquo dominatum occupare et, licet sui impotens sit, aliis imperare conatur, veluti si quis aegrotante corpore suique impotente non privatam tranquillamque vitam degat, sed certare cum aliis corporibus ac pugnare semper cogatur. Plane, inquit, simillima ac verissima dicis, Socrate. Nonne igitur, inquam, care Glauco, prorsus conditio est misera et eo, quem tu iudicabas incommodissime vivere, etiam incommodius vivit qui tyrannus est? Admodum. Est ergo revera, etiamsi cui non ita videtur, verus tyrannus vere servus summae adulationis ac servitutis assentatorque improbissimorum; et cupiditates nullo modo explens, sed plurimarum egentissimus et pauper revera reperitur, si quis ad universum eius animum explorandum valet, et timore plenus per totam vitam palpitationibus ac doloribus vexatur, siquidem civitatis statui cui imperat similis est; est vero similis; nonne? Sane quidem, inquit. Nonne praeterea adhuc tribuemus viro quae antea memoravimus, necessario eum et esse et magis etiam fieri quam ante fuerit propter imperium invidum, perfidum, iniustum, inimicum, impium omnisque nequitiae cauponem et altorem, et propter haec omnia maxime quidem ipsum infelicem esse, deinde vero etiam propinquos tales reddere? Nemo tibi, inquit, de iis qui sana mente sunt repugnabit. Agedum mihi, inquam, ut iudex communis decernit, ita tu quoque, quis primus sit ex tua sententia ratione felicitatis, quis secundus, et reliquos deinceps quinque diiudica, regium, civitatis studiosum in qua ambitiosi dominantur, paucorum dominatui faventem, popularis gubernationis amantem, tyrannicum. At facile, inquit, iudicium; sicut enim ingrediuntur, ego tamquam choros eos iudico virtute et pravitate, felicitate et contrario. Mercede iam conducamus praeconem, inquam, an ipse renunciem Aristonis filium optimum et iustissimum iudicasse beatissimum, hunc autem

τοῦτον δ' εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ,
τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον ἀθλιώτατον, τοῦτον δὲ
αὖ τυγχάνειν ὄντα ὃς ἂν τυραννικώτατος ὢν ἑαυτοῦ τε ὅτι
μάλιστα τυραννῇ καὶ τῆς πόλεως; Ἀνειρήσθω σοι, ἔφη. Ἦ
οὖν προςαναγορεύω, εἶπον, ἐάν τε λανθάνωσι τοιοῦτοι ὄν-
τες ἐάν τε μὴ πάντας ἀνθρώπους τε καὶ θεούς; Προςανα-
γόρευε, ἔφη.

Εἶεν δή, εἶπον, αὕτη μὲν ἡμῖν ἡ ἀπόδειξις μία ἂν εἴη·
* δευτέραν δὲ δεῖ τήνδε, ἐάν τι δόξῃ, εἶναι. Τίς αὕτη; D
Ἐπειδή, ὥςπερ πόλις, ἦν δ' ἐγώ, διῄρηται κατὰ τρία εἴδη,
οὕτω καὶ ψυχὴ ἑνὸς ἑκάστου τριχῇ, δέξεται, ὡς ἐμοὶ δοκεῖ,
καὶ ἑτέραν ἀπόδειξιν. Τίνα ταύτην; Τήνδε. τριῶν ὄντων
τριτταὶ καὶ ἡδοναί μοι φαίνονται, ἑνὸς ἑκάστου μία ἰδία,
ἐπιθυμίαι τε ὡσαύτως καὶ ἀρχαί. Πῶς λέγεις; ἔφη. Τὸ
μέν, φαμέν, ἦν ᾧ μανθάνει ἄνθρωπος, τὸ δὲ ᾧ θυμοῦται,
τὸ δὲ τρίτον διὰ πολυειδίαν ἑνὶ οὐκ ἔσχομεν ὀνόματι * προς- E
ειπεῖν ἰδίῳ αὐτοῦ, ἀλλὰ ὃ μέγιστον καὶ ἰσχυρότατον εἶχεν
ἐν αὑτῷ, τούτῳ ἐπωνομάσαμεν· ἐπιθυμητικὸν γὰρ αὐτὸ κε-
κλήκαμεν διὰ σφοδρότητα τῶν τε περὶ *) ἐδωδὴν ἐπιθυμιῶν
καὶ πόσιν καὶ ἀφροδίσια καὶ ὅσα ἄλλα τούτοις ἀκόλουθα,
καὶ φιλοχρήματον δή, ὅτι διὰ χρημάτων μάλιστα ἀποτελοῦν-
ται * αἱ τοιαῦται ἐπιθυμίαι. Καὶ ὀρθῶς γ', ἔφη. Ἆρ' οὖν καὶ 581
τὴν ἡδονὴν αὐτοῦ καὶ φιλίαν εἰ φαῖμεν εἶναι τοῦ κέρδους, μά-
λιστ' ἂν εἰς ἓν κεφάλαιον ἀπερειδοίμεθα τῷ λόγῳ, ὥστε τι ἡμῖν
αὐτοῖς δηλοῦν, ὁπότε τοῦτο τῆς ψυχῆς τὸ μέρος λέγοιμεν;
καὶ καλοῦντες αὐτὸ φιλοχρήματον καὶ φιλοκερδὲς ὀρθῶς ἂν
καλοῖμεν; Ἐμοὶ γοῦν **) δοκεῖ, ἔφη. Τί δέ; τὸ θυμοειδὲς
οὐ πρὸς τὸ κρατεῖν μέντοι ***) φαμὲν καὶ νικᾶν καὶ εὐδο-
κιμεῖν ἀεὶ †) ὅλον ὡρμῆσθαι; * Καὶ μάλα. Εἰ οὖν φιλόνεικον B
αὐτὸ καὶ φιλότιμον προςαγορεύοιμεν, ἦ ἐμμελῶς ἂν ἔχοι; Ἐμ-
μελέστατα μὲν οὖν. Ἀλλὰ μὴν ᾧ γε μανθάνομεν, παντὶ δῆλον
ὅτι πρὸς τὸ εἰδέναι τὴν ἀλήθειαν ὅπῃ ἔχει πᾶν ἀεὶ τέταται ††),

---

*) ἄλλ. τῶν τὴν περί. **) γρ. Ἔμοιγ' οὖν.

***) γρ. μέν τι. †) γρ. δεῖ.

††) γρ. τέτακται.

esse maxime regium seque ipsum regentem, pessimum vero et iniustissimum esse miserrimum, et hunc esse eum qui, quum maxime tyrannicus esset, et se ipsum et civitatem tyrannide opprimeret? Renunciatum a te esto, inquit. Num addam praeconio, sive fugeret eos tales esse sive non fugeret omnes et homines et deos? Adde, inquit.

Iam haec quidem, inquam, una nobis erit demonstratio; secundam vero oportet hanc, si videatur, esse. Quaenam? Quoniam, quemadmodum civitas, inquam, divisa est in tres species, ita etiam animus uniuscuiusque tripertito, recipiet, ut mihi videtur, aliam quoque demonstrationem. Quamnam autem? Hanc. Quum tres sint species, tres quoque voluptates mihi videntur esse, uniuscuiusque una propria, itemque cupiditates et imperia. Quomodo dicis? inquit. Una quidem, dicimus, erat ea qua cognoscit homo, altera qua irascitur, tertiam vero propter varietatem uno non habebamus nomine appellare ipsius proprio, at quod maximum ac validissimum in se habebat, ex eo nominabamus; ad cupiditates enim propensam eam dicebamus propter vehementiam cupiditatum cibi et potionis et rerum Venerearum et quaecumque aliae cum his coniunctae sunt, atque etiam pecuniae avidam, quia per pecuniam maxime explentur eiusmodi cupiditates. Ac recte quidem, inquit. Nonne etiam voluptatem et amorem lucri si eam dicamus esse, maxime in una summa nitatur oratio nostra, ita ut nobis ipsis aliquid declaremus, quum hanc animi partem memoremus? et appellantes eam pecuniae et lucri cupidam rectene appellabimus? Mihi certe videtur. Quid vero? iracundam animi partem nonne imperium dicimus et victoriam et laudem semper totam appetere? Sane quidem. Quocirca si contentionis eam et honoris cupidam dixerimus, rectene habuerit? Rectissime vero. At vero eam qua cognoscimus quilibet videt ad veritatem quomodo se habeat

καὶ χρημάτων τε καὶ δόξης ἥκιστα τούτων τούτῳ μέλει. Πολύ γε. Φιλομαθὲς δὴ καὶ φιλόσοφον καλοῦντες αὐτὸ κατὰ τρόπον ἂν καλοῖμεν. Πῶς γὰρ οὔ; Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἄρχει ἐν ταῖς ψυχαῖς * τῶν μὲν τοῦτο, τῶν δὲ τὸ ἕτε- C
ρον ἐκείνων, ὁπότερον ἂν τύχῃ; Οὕτως, ἔφη. Διὰ ταῦτα δὴ καὶ ἀνθρώπων λέγομεν τὰ πρῶτα τριττὰ γένη εἶναι, φιλόσοφον, φιλόνεικον, φιλοκερδές. Κομιδῇ γε. Καὶ ἡδονῶν δὴ τρία εἴδη, ὑποκείμενον ἐν ἑκάστῳ τούτων. Πάνυ γε. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, ὅτι, εἰ ἐθέλοις τρεῖς τοιούτους ἀνθρώπους ἐν μέρει ἕκαστον ἀνερωτᾶν τίς τούτων τῶν βίων ἥδιστος, τὸν ἑαυτοῦ ἕκαστος μάλιστα ἐγκωμιάσεται; ὅ τε
χρηματιστικὸς πρὸς * τὸ κερδαίνειν τὴν τοῦ τιμᾶσθαι ἡδονὴν D
ἢ τὴν τοῦ μανθάνειν οὐδενὸς ἀξίαν φήσει εἶναι, εἰ μὴ εἴ τι *) αὐτῶν ἀργύριον ποιεῖ; Ἀληθῆ, ἔφη. Τί δὲ ὁ φιλότιμος; ἦν δ' ἐγώ· οὐ τὴν μὲν ἀπὸ τῶν χρημάτων ἡδονὴν φορτικήν τινα ἡγεῖται, καὶ αὖ τὴν ἀπὸ τοῦ μανθάνειν, ὅ τι μὴ μάθημα τιμὴν φέρει, καπνὸν δὴ **) καὶ φλυαρίαν; Οὕτως, ἔφη, ἔχει. Τὸν δὲ φιλόσοφον, ἦν δ' ἐγώ, ποιώμεθα τὰς ἄλλας ἡδονὰς νομίζειν οὐδὲν πρὸς τὴν τοῦ εἰδέναι
* τἀληθὲς ὅπῃ ἔχει, καὶ ἐν τῷ τοιούτῳ τινὶ ἀεὶ εἶναι μαν- E
θάνοντα, τῆς ἡδονῆς οὐ πάνυ πόῤῥω, τὰς δ' ἄλλας καλεῖν τῷ ὄντι ἀναγκαίας, ὡς οὐδὲν τῶν ἄλλων δεόμενον, εἰ μὴ ἀνάγκη ἦν. Εὖ, ἔφη, δεῖ εἰδέναι. Ὅτε δὴ οὖν, εἶπον, ἀμφισβητοῦνται ἑκάστου τοῦ εἴδους αἱ ἡδοναὶ καὶ αὐτὸς ὁ βίος, μὴ ὅτι πρὸς τὸ κάλλιον καὶ αἴσχιον ζῆν μηδὲ τὸ χεῖρον καὶ ἄμεινον, ἀλλὰ πρὸς αὐτὸ τὸ ἥδιον καὶ ἀλυπότερον,
* πῶς ἂν εἰδεῖμεν τίς αὐτῶν ἀληθέστατα λέγει; Οὐ πάνυ, ἔφη, 582
ἔγωγε ἔχω εἰπεῖν. Ἀλλ' ὧδε σκόπει· τίνι χρὴ κρίνεσθαι τὰ μέλλοντα καλῶς κριθήσεσθαι; ἆρ' οὐκ ἐμπειρίᾳ τε καὶ φρονήσει καὶ λόγῳ; ἢ τούτων ἔχοι ἄν τις βέλτιον κριτήριον; Καὶ

---

*) γρ. εἴ τις.

**) ἴσ. καπνόν τε.

perſpiciendam omnem ſemper tendere, minimamq uein pecunia et gloria curam ponere. Minimam vero. Doctrinarum igitur et ſapientiae ſtudioſam eam appellantes rite appellabimus. Quidni? Nonne, inquam, etiam dominatur in aliorum hominum animis haec, in aliorum illa pars, utricumque id obtingit? Ita, inquit. Hanc igitur ob cauſam etiam hominum dicimus prima haec tria genera eſſe, philoſophum, contentionis appetens, lucri cupidum. Sane quidem. Atque etiam voluptatum tres ſpecies, ſubiectam unam cuique illorum. Admodum. Iam ſcin', inquam, ſi volueris trium horum hominum quemque pro ſe interrogare, quaenam harum vitarum ſit iucundiſſima, ſuam quemque maxime eſſe celebraturum? et quaeſtui quidem deditum honoris vel diſcendi voluptatem cum lucri faciendi voluptate collatam pro nihilo habendam eſſe dicturum, niſi ſi quid eorum pecuniam faciat? Vere, inquit. Quid vero honoris cupidus? inquam; nonne voluptatem e pecunia percipiendam abiectam quandam exiſtimat, atque etiam diſcendi voluptatem, niſi diſciplina honorem afferat, pro fumo et nugis habet? Ita, inquit, eſt. Philoſophum autem, inquam, ſumamus reliquas voluptates pro nihilo putare collatas cum voluptate veritatis quomodo ſe habeat cognoſcendae, et id ſemper agere ut diſcat, a voluptate non ſane longe remotum, ceteras vero nominare vere neceſſarias, quippe qui reliquarum non indigeat, niſi neceſſitate cogatur. Probe, inquit, cognoſci id oportet. Iam ſi, inquam, in controverſiam vocentur cuiusque generis voluptates ipſaque vita, non ad honeſtiorem vel turpiorem, neque ad deteriorem vel meliorem vitam, ſed ad ipſam iucundiorem magisque dolore vacuam, quomodo ſciamus quinam eorum veriſſima dicat? Non ſane, inquit, equidem habeo dicere. Ita igitur conſidera. quonam oportet iudicari quae recte ſunt iudicanda? nonne peritia et prudentia et disputatione? an habere quis poterit his me-

πῶς ἄν; ἔφη. Σκόπει δή· τριῶν ὄντων τῶν ἀνδρῶν τίς
ἐμπειρότατος πασῶν ὧν εἴπομεν ἡδονῶν; πότερον ὁ φιλο-
κερδής, μανθάνων αὐτὴν τὴν ἀλήθειαν οἷόν ἐστιν, ἐμπειρό-
τερος δοκεῖ σοι εἶναι τῆς ἀπὸ τοῦ * εἰδέναι ἡδονῆς, ἢ ὁ B
φιλόσοφος τῆς ἀπὸ τοῦ κερδαίνειν; Πολύ, ἔφη, διαφέρει·
τῷ μὲν γὰρ ἀνάγκη γεύεσθαι τῶν ἑτέρων ἐκ παιδὸς ἀρξα-
μένῳ, τῷ δὲ φιλοκερδεῖ, ὅπῃ πέφυκε τὰ ὄντα μανθάνοντι,
τῆς ἡδονῆς ταύτης, ὡς γλυκεῖά ἐστιν, οὐκ ἀνάγκη γεύεσθαι
οὐδ' ἐμπείρῳ γίγνεσθαι, μᾶλλον δὲ καὶ προθυμουμένῳ οὐ
ῥάδιον. Πολὺ ἄρ', ἦν δ' ἐγώ, διαφέρει τοῦ γε φιλοκερ-
δοῦς ὁ φιλόσοφος ἐμπειρίᾳ ἀμφοτέρων τῶν ἡδονῶν. Πολὺ
* μέντοι. Τί δὲ τοῦ φιλοτίμου; ἆρα μᾶλλον ἄπειρός ἐστι C
τῆς ἀπὸ τοῦ τιμᾶσθαι ἡδονῆς ἢ ἐκεῖνος τῆς ἀπὸ τοῦ φρο-
νεῖν; Ἀλλὰ τιμή *), ἔφη, ἐάνπερ ἐξεργάζωνται ἐπὶ ὃ ἕκαστος
ὥρμηκε, πᾶσιν αὐτοῖς ἕπεται· καὶ γὰρ ὁ πλούσιος ὑπὸ πολ-
λῶν τιμᾶται καὶ ὁ ἀνδρεῖος καὶ ὁ σοφός· ὥστε ἀπό γε τοῦ
τιμᾶσθαι, οἷόν ἐστι, πάντες τῆς ἡδονῆς ἔμπειροι· τῆς δὲ
τοῦ ὄντος θέας, οἵαν ἡδονὴν ἔχει, ἀδύνατον ἄλλῳ γεγεῦ-
σθαι, πλὴν τῷ φιλοσόφῳ. Ἐμπειρίας * μὲν ἄρα, εἶπον, ἕνεκα D
κάλλιστα τῶν ἀνδρῶν κρίνει οὗτος. Πολύ γε. Καὶ μὴν με-
τά γε φρονήσεως μόνος ἔμπειρος γεγονὼς ἔσται. Τί μήν;
Ἀλλὰ μὴν καὶ δι' οὗ γε δεῖ ὀργάνου κρίνεσθαι, οὐ τοῦ
φιλοκερδοῦς τοῦτο ὄργανον οὐδὲ τοῦ φιλοτίμου, ἀλλὰ τοῦ
φιλοσόφου. Τὸ ποῖον; Διὰ λόγων που ἔφαμεν δεῖν κρίνε-
σθαι· ἢ γάρ; Ναί. Λόγοι δὲ τούτου μάλιστα ὄργανον.
Πῶς δ' οὔ; Οὐκοῦν εἰ μὲν πλούτῳ καὶ κέρδει ἄριστα ἐκρί-
νετο τὰ κρινόμενα, ἃ ἐπήνει * ὁ φιλοκερδὴς καὶ ἔψεγεν, E
ἀνάγκη ἂν ἦν ταῦτα ἀληθέστατα εἶναι; Πολλή γε. Εἰ δὲ
τιμῇ τε καὶ νίκῃ καὶ ἀνδρείᾳ, ἆρ' οὐχ ἃ ὁ φιλότιμός τε καὶ
ὁ φιλόνεικος; Δῆλον. Ἐπειδὴ δ' ἐμπειρίᾳ καὶ φρονήσει
καὶ λόγῳ; Ἀνάγκη, ἔφη, ἃ ὁ φιλόσοφός τε καὶ ὁ φιλολό-
γος ἐπαινεῖ, ἀληθέστατα εἶναι. Τριῶν ἄρα οὐσῶν τῶν * ἡδο- 583
νῶν ἡ τούτου τοῦ μέρους τῆς ψυχῆς ᾧ μανθάνομεν ἡδίστη

---

*) ἄλλ. Ἀλλὰ τιμὴ μέν.

lius ad iudicandum instrumentum? Quî autem? inquit. Vide igitur: trium illorum qui sunt virorum quis peritissimus est omnium quas diximus voluptatum? utrum lucri cupidus percipiens qualis sit ipsa veritas peritior tibi videtur esse voluptatis e cognitione proficiscentis, quam philosophus eius quae e lucro faciendo manat? Multum, inquit, differt; hic enim alteras a pueritia gustaverit necesse est, lucri vero cupidum, si quomodo se habeant ea quae sunt cognoverit, hanc voluptatem quam suavis sit haud necesse est gustare nec experiri, immo etiamsi annititur, haud facile est. Longe igitur, inquam, lucri cupido philosophus praestat utriusque voluptatis peritia. Longe vero. Quid vero honoris appetenti? num magis imperitus est voluptatis ex honore manantis quam ille eius quae e cognitione gignitur? At vero honor, inquit, omnes sequitur, qui quod appetiverant nacti sunt; etenim dives a multis honoratur et fortis et sapiens: ut voluptatis quam honor gignit omnes sint periti; qualis autem voluptas sit eius quod vere est spectandi nemo potest gustare nisi philosophus. Peritiae igitur caussa, inquam, optime e viris hic iudicat. Sane quidem. Atque etiam iuvante prudentia solus erit peritus. Quidni? Illud porro instrumentum quo iudicandum est, neque lucri cupidi neque honoris studiosi est, sed philosophi. Quale? Disputatione videlicet diximus iudicandum esse; nonne? Ita. Disputatio vero huius maxime est instrumentum. Quidni? Nonne si divitiis et lucro optime iudicarentur iudicanda, ea quae laudaret lucri cupidus aut vituperaret, necessario essent verissima? Sane quidem. Sin autem honore et victoria et fortitudine, nonne ea quae honoris cupidus contentionisque amans? Patet. Quoniam vero peritia et prudentia et disputatione? Fieri non potest, inquit, quin quae philosophus et disputationum amans laudent verissima sint. Trium ergo quae sunt voluptatum iucundissima erit ea quam percipit

ἂν εἴη, καὶ ἐν ᾧ ἡμῶν τοῦτο ἄρχει, ὁ τούτου βίος ἥδιστος. Πῶς δ' οὐ μέλλει; ἔφη· κύριος γοῦν ἐπαινέτης ὢν ἐπαινεῖ τὸν ἑαυτοῦ βίον ὁ φρόνιμος. Τίνα δὲ δεύτερον, εἶπον, βίον καὶ τίνα δευτέραν ἡδονήν φησιν ὁ κριτὴς εἶναι; δῆλον *) ὅτι τὴν τοῦ πολεμικοῦ τε καὶ φιλοτίμου (ἐγγυτέρω γὰρ αὐτοῦ ἐστιν ἢ ἡ τοῦ χρηματιστοῦ), ὑστάτην δὲ τὴν τοῦ φιλοκερδοῦς, ὡς ἔοικεν; Τί μήν; ἦ δ' ὅς.

Ταῦτα μὲν * τοίνυν οὕτω δύ' ἐφεξῆς ἂν εἴη καὶ δὶς B νενικηκὼς ὁ δίκαιος τὸν ἄδικον, τὸ δὲ τρίτον ὀλυμπικῶς τῷ σωτῆρί τε καὶ τῷ Ὀλυμπίῳ Διί, ἄθρει ὅτι οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου, οὐδὲ καθαρά, ἀλλ' ἐσκιαγραφημένη τις, ὡς ἐγὼ δοκῶ μοι τῶν σοφῶν τινὸς ἀκηκοέναι· καίτοι τοῦτ' ἂν εἴη μέγιστόν τε καὶ κυριώτατον τῶν πτωμάτων. Πολύ γε· ἀλλὰ πῶς λέγεις; Ὧδ', εἶπον, ἐξευρήσω, σοῦ ἀποκρινομένου ζητῶν * ἅμα. Ἐρώτα δή, C ἔφη. Λέγε δή, ἦν δ' ἐγώ· οὐκ ἐναντίον φαμὲν λύπην ἡδονῇ; Καὶ μάλα. Οὐκοῦν καὶ τὸ μήτε χαίρειν μήτε λυπεῖσθαι εἶναί τι; Εἶναι μέντοι. Μεταξὺ τούτοιν ἀμφοῖν ἐν μέσῳ ὂν ἡσυχίαν τινὰ περὶ ταῦτα τῆς ψυχῆς; ἢ οὐχ οὕτως αὐτὸ λέγεις; Οὕτως, ἦ δ' ὅς. Ἆρα οὐ μνημονεύεις, ἦν δ' ἐγώ, τοὺς τῶν καμνόντων λόγους, οὓς λέγουσιν ὅταν κάμνωσιν; Ποίους; Ὡς οὐδὲν ἄρα ἐστὶν ἥδιον τοῦ ὑγιαίνειν, ἀλλὰ σφᾶς * ἐλελήθει, πρὶν κάμνειν, ἥδιστον ὄν. Μέμνημαι, ἔφη. D Οὐκοῦν καὶ τῶν περιωδυνίᾳ τινὶ ἐχομένων ἀκούεις λεγόντων ὡς οὐδὲν ἥδιον τοῦ παύσασθαι ὀδυνώμενον; Ἀκούω. Καὶ ἐν ἄλλοις γε, οἶμαι, πολλοῖς τοιούτοις αἰσθάνει γιγνομένους τοὺς ἀνθρώπους, ἐν οἷς ὅταν λυπῶνται, τὸ μὴ λυπεῖσθαι καὶ τὴν ἡσυχίαν τοῦ τοιούτου ἐγκωμιάζουσιν ὡς ἥδιστον, οὐ τὸ χαίρειν. Τοῦτο γάρ, ἔφη, τότε ἡδὺ ἴσως καὶ ἀγαπητὸν γίγνεται, ἡσυχία. Καὶ ὅταν παύσηται * ἄρα, εἶπον, χαίρων τις, ἡ τῆς ἡδονῆς ἡσυχία λυπηρὸν ἔσται. Ἴσως, ἔφη. E Ὁ μεταξὺ ἄρα νῦν δὴ ἀμφοτέρων ἔφαμεν εἶναι, τὴν ἡσυ-

---

*) ἄλλ. Δῆλον. ἴσ. εἶναι; ἢ δῆλον.

animi pars qua cognofcimus, et in quo de nobis haec dominatur, eius vita erit iucundiffima. Quidni? inquit; ratus certe laudator fuam celebrat vitam prudens. Quamnam vero fecundam, inquam, vitam et quam fecundam voluptatem dicit iudex effe? an patet bellicofi honorisque cupidi vitam (propius enim ab ea abeft quam quaeftus faciendi ftudiofi vita), ultimam vero lucri cupidi vitam, ut videtur? Quidni? inquit.

Haec igitur duo deinceps fe excipient et bis vincet iuftus iniuftum, tertium vero ac poftremum reputa hoc, quod nec omnino vera eft ceterorum voluptas collata cum fapientis voluptate, neque pura, fed fpeciem tantum veri gerens, ut ego mihi videor ex aliquo de fapientibus audiviffe; quamquam hic effet maximus graviffimusque cafuum. Sane quidem; at quomodo dicis? Ita, inquam, inveniam, ut, dum tu refpondebis, quaeram. Interroga dum, inquit. Dic fane, inquam: nonne contrarium dicimus effe dolorem voluptatis? Vero. Nonne etiam ftatum quendam effe in quo neque gaudeamus neque doleamus? Effe vero. Eumque, quum inter haec ambo interiectus fit, tranquillitatem effe animi et vacationem ab illis? annon ita eum appellas? Ita, inquit. Nonne vero recordaris, inquam, ea quae aegrotantes dicere folent quum aegrotant? Quaenam? Nihil effe fuavius fanitate, at, antequam aegrotarent, fugiffe ipfos hoc effe iucundiffimum. Recordor, inquit. Nonne eos qui gravi quodam dolore cruciantur audis dicentes nihil iucundius effe quam dolore liberari? Audio. Et in aliis quoque, ni fallor, multis huiusmodi cafibus animadvertis homines, quum dolore angantur, vacationem a dolore huiusque quietem celebrare ut iucundiffimam, non gaudium. Quies enim, inquit, tum profecto iucunda et exoptata accidit. Et quando aliquis, inquam, gaudere definit, voluptatis quies acerba erit. Sine dubio, inquit. Quod igitur inter utrumque modo diximus interiectum effe, quies, id quandoque

χίαν, τοῦτό ποτε ἀμφότερα ἔσται, λύπη τε καὶ ἡδονή. Ἔοικεν. Ἦ καὶ δυνατον τὸ μηδέτερα ὂν ἀμφότερα γίγνεσθαι; Οὔ μοι δοκεῖ. Καὶ μὴν τό γε ἡδὺ ἐν ψυχῇ γιγνόμενον καὶ τὸ λυπηρὸν κίνησίς τις ἀμφοτέρω ἐστόν· ἢ οὔ; Ναί. * Τὸ δὲ 584 μήτε λυπηρὸν μήτε ἡδὺ οὐχὶ ἡσυχία μέντοι καὶ ἐν μέσῳ τούτοιν ἐφάνη ἄρτι; Ἐφάνη γάρ. Πῶς οὖν ὀρθῶς ἐστὶ τὸ μὴ ἀλγεῖν ἡδὺ ἡγεῖσθαι ἢ τὸ μὴ χαίρειν ἀνιαρόν; Οὐδαμῶς. Οὐκ ἔστιν ἄρα τοῦτο, ἀλλὰ φαίνεται, ἦν δ' ἐγώ, παρὰ τὸ ἀλγεινὸν ἡδὺ καὶ παρὰ τὸ ἡδὺ ἀλγεινὸν τότε ἡ ἡσυχία, καὶ οὐδὲν ὑγιὲς τούτων τῶν φαντασμάτων πρὸς ἡδονῆς ἀλήθειαν, ἀλλὰ γοητεία τις. Ὡς γοῦν ὁ λόγος, ἔφη, σημαίνει. Ἰδὲ τοίνυν, ἦν δ' ἐγώ, * ἡδονὰς αἳ οὐκ ἐκ λυπῶν εἰσίν, B ἵνα μὴ πολλάκις οἰηθῇς ἐν τῷ παρόντι οὕτω τούτω πεφυκέναι, ἡδονὴν μὲν παῦλαν λύπης εἶναι, λύπην δὲ ἡδονῆς. Ποῦ δή, ἔφη, καὶ ποίας λέγεις; Πολλαὶ μέν, εἶπον, καὶ ἄλλαι, μάλιστα δ' εἰ ἐθέλεις *) ἐννοῆσαι τὰς περὶ τὰς ὀσμὰς ἡδονάς· αὗται γὰρ οὐ προλυπηθέντι ἐξαίφνης ἀμήχανοι τὸ μέγεθος γίγνονται, παυσάμεναί τε λύπην οὐδεμίαν καταλείπουσιν. Ἀληθέστατα, ἔφη. Μὴ ἄρα πειθώμεθα * καθαρὰν C ἡδονὴν εἶναι τὴν λύπης ἀπαλλαγήν, μηδὲ λύπην τὴν ἡδονῆς. Μὴ γάρ. Ἀλλὰ μέντοι, εἶπον, αἵ γε διὰ τοῦ σώματος ἐπὶ τὴν ψυχὴν τείνουσαι καὶ λεγόμεναι ἡδοναί, σχεδὸν αἱ πλεῖσταί τε καὶ μέγισται, τούτου τοῦ εἴδους εἰσί, λυπῶν τινὲς ἀπαλλαγαί. Εἰσὶ γάρ. Οὐκοῦν καὶ αἱ περὶ μελλόντων τούτων ἐκ προσδοκίας γιγνόμεναι προαισθήσεις **) τε καὶ προλυπήσεις κατὰ ταὐτὰ ἔχουσιν; Κατὰ ταὐτά. Οἶσθ' οὖν, ἦν δ' ἐγώ, οἷαί εἰσι * καὶ ᾧ μάλιστα ἐοίκασιν; Τῷ; ἔφη. D Νομίζεις τι, εἶπον, ἐν τῇ φύσει εἶναι τὸ μὲν ἄνω, τὸ δὲ κάτω, τὸ δὲ μέσον; Ἔγωγε. Οἴει οὖν ἄν τινα ἐκ τοῦ κάτω φερόμενον πρὸς μέσον ***) ἄλλο τι οἴεσθαι ἢ ἄνω φέρεσθαι; καὶ ἐν μέσῳ στάντα, ἀφορῶντα ὅθεν ἐνήνεκται, ἄλλοθί που ἂν ἡγεῖσθαι εἶναι ἢ ἐν τῷ ἄνω, μὴ ἑωρακότα τὸ ἀληθῶς

---

*) γρ. θέλεις.
**) ἄλλ. προησθήσεις.
***) γρ. πρὸς τὸ μέσον.

utrumque erit, dolor et voluptas. Patet. Num autem fieri poteſt ut quod neutrum eſt id utrumque exſiſtat? Non mihi videtur. Iam vero voluptas in animo exſiſtens et dolor motiones quaedam ſunt; nonne? Ita. Status vero in quo neque dolemus neque gaudemus nonne quies et medius quidam inter illa modo repertus eſt? Eſt vero. Quomodo igitur rectum eſt vacationem a dolore ſuavem exiſtimare vel gaudii defectionem acerbam? Nullo modo. Non eſt igitur hoc, ſed videtur, inquam, ad acerbum iucunda et ad iucundum acerba tum quies, nihilque horum viſorum ſincerum eſt ad voluptatis veritatem, ſed praeſtigiae quaedam. Ut certe oratio, inquit, declarat. Vide iam, inquam, voluptates quae non e doloribus gignuntur, ut ne forte putes nunc ita comparatum eſſe, ut voluptas quidem intercapedo doloris ſit, dolor vero voluptatis. Quorſum, inquit, et quas dicis? Multae quidem, inquam, aliae, maxime vero ſi vis conſiderare voluptates odorum; hae enim nullo dolore praegreſſo mirum quam magnae accidunt, nec quum deſiverunt ullum dolorem relinquunt. Veriſſime, inquit. Ne igitur credamus puram voluptatem eſſe vacationem a dolore, nec dolorem intercapedinem voluptatis. Minime vero. At enim, inquam, illae per corpus ad animum pertinentes voluptates ita dictae, plurimae fere et maximae, huius ſunt generis, liberationes quaedam et vacuitates dolorum. Sunt vero. Nonne etiam praecepta illa de rebus futuris gaudia et aegritudines quas exſpectatio gignit eodem ſe modo habent? Eodem modo. Scin' igitur, inquam, qualia ſint et cui maxime ſimilia? Cuinam? inquit. Statuisne, inquam, in natura unum eſſe ſuperum, alterum inferum, tertium medium? Ego ſane. Putasne igitur, ſi quis e loco inferiore feratur in medium, aliud quid eum putaturum eſſe niſi ſurſum ſe ferri? et ſi in medio ſtet reſpiciatque unde latus fuerit, alio eum in loco exiſtimaturum eſſe ſe verſari quam in ſupero, quippe qui nondum viderit

ἄνω; Μὰ Δί' οὐκ ἔγωγε, ἔφη, ἄλλως οἶμαι οἰηθῆναι ἂν τὸν τοιοῦτον. Ἀλλ' εἰ πάλιν γ', ἔφην, φέροιτο * κάτω, E κάτω *) τ' ἂν οἴοιτο φέρεσθαι καὶ ἀληθῆ οἴοιτο; Πῶς γὰρ οὔ; Οὐκοῦν ταῦτα πάσχοι ἂν πάντα διὰ τὸ μὴ ἔμπειρος εἶναι τοῦ ἀληθινῶς ἄνω τε ὄντος καὶ ἐν μέσῳ καὶ κάτω; Δῆλον δή. Θαυμάζοις ἂν οὖν εἰ καὶ ἄπειροι ἀληθείας περὶ πολλῶν τε ἄλλων μὴ ὑγιεῖς δόξας ἔχουσι, πρός τε ἡδονὴν καὶ λύπην καὶ τὸ μεταξὺ τούτων οὕτω διάκεινται, ὥςτε, ὅταν μὲν ἐπὶ τὸ λυπηρὸν φέρωνται, ἀληθῆ τε * οἴονται 585 καὶ τῷ ὄντι λυποῦνται, ὅταν δὲ ἀπὸ λύπης ἐπὶ τὸ μεταξύ, σφόδρα μὲν οἴονται πρὸς πληρώσει τε καὶ ἡδονῇ γίγνεσθαι, ὥςπερ δὲ **) πρὸς μέλαν φαιὸν ἀποσκοποῦντες ἀπειρίᾳ λευκοῦ, καὶ πρὸς τὸ ἄλυπον οὕτω λύπην ἀφορῶντες ἀπειρίᾳ ἡδονῆς ἀπατῶνται; Μὰ Δί', ἦ δ' ὅς, οὐκ ἂν θαυμάσαιμι, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ οὕτως ἔχοι. Ὧδε γοῦν, εἶπον, ἐννόει· οὐχὶ πεῖνα καὶ δίψα καὶ τὰ τοιαῦτα ***) κενώσεις τινές εἰσι τῆς περὶ * τὸ σῶμα ἕξεως; Τί μήν; Ἄγνοια δὲ καὶ B ἀφροσύνη ἆρ' οὐ κενότης ἐστὶ τῆς περὶ ψυχὴν αὖ ἕξεως; Μάλα γε. Οὐκοῦν πληροῖτ' ἂν ὅ τε τροφῆς μεταλαμβάνων καὶ ὁ νοῦν ἴσχων; Πῶς δ' οὔ; Πλήρωσις δὲ ἀληθεστέρα τοῦ ἧττον ἢ τοῦ μᾶλλον ὄντος; Δῆλον ὅτι τοῦ μᾶλλον. Πότερα οὖν ἡγεῖ τὰ γένη μᾶλλον καθαρᾶς οὐσίας μετέχειν, τὰ οἷον σίτου τε καὶ ποτοῦ καὶ ὄψου καὶ ξυμπάσης τροφῆς, ἢ τὸ δόξης τε ἀληθοῦς εἶδος καὶ ἐπιστήμης καὶ νοῦ * καὶ C ξυλλήβδην ἁπάσης ἀρετῆς; ὧδε δὲ κρῖνε· τὸ τοῦ ἀεὶ ὁμοίου ἐχόμενον καὶ ἀθανάτου καὶ ἀληθείας, καὶ αὐτὸ τοιοῦτον ὂν καὶ ἐν τοιούτῳ γιγνόμενον, μᾶλλον εἶναί σοι δοκεῖ, ἢ τὸ †) μηδέποτε ὁμοίου καὶ θνητοῦ, καὶ αὐτὸ τοιοῦτον καὶ ἐν τοιούτῳ γιγνόμενον; Πολύ, ἔφη, διαφέρει τὸ τοῦ ἀεὶ ὁμοίου. Ἡ οὖν ἀεὶ ὁμοίου οὐσία οὐσίας τι μᾶλλον ἢ ἐπιστήμης μετέχει; Οὐδαμῶς. Τί δ', ἀληθείας; Οὐδὲ τοῦτο. Εἰ δὲ

---

*) ἄλλ. φέροιτο, κάτω τ'.
**) γρ. ὥςπερ.
***) ἄλλ. καὶ τοιαῦτα.
†) ἴσ. τὸ τοῦ.

vere superum? Haudquaquam hercle, inquit, aliter opinor hunc esse opinaturum. At rursus, inquam, si feratur deorsum, deorsum opinaturum esse se ferri et recte opinaturum? Quidni? Nonne haec ei accidant omnia propterea quod imperitus sit loci vere superi et medii et inferi? Patet vero. Admireris igitur si etiam imperiti veritatis quum de multis aliis falsas opiniones habeant, tum etiam de voluptate et dolore et eo quod inter utrumque interiectum est ita sentiant ut, quum ad acerbum ferantur, vere opinentur et reapse doleant, quum vero a dolore ad medium, admodum quidem existiment ad expletionem et voluptatem se pervenisse, sed, quemadmodum qui iuxta nigrum colorem fuscum spectent imperiti albi, ita etiam iuxta doloris vacuitatem dolorem spectantes propter voluptatis imperitiam decipiantur? Haudquaquam hercle, inquit, admirer, sed multo magis si non ita se habeat. Ita certe, inquam, considera: nonne fames et sitis et alia eiusdem generis exhausti sunt corporis habitus? Quidni? Inscitia vero et insipientia nonne exhausti sunt animi habitus? Sane quidem. Nonne expletur tam qui nutrimentum accipit quam qui intelligentiam assequitur? Quidni? Repletio autem num verior est per id quod minus an per id quod magis est? Patet per id quod magis est. Utra iam genera magis censes puram habere naturam, cibum, potum, opsonium universumque nutrimentum, an opinionis verae speciem et scientiae et intelligentiae et omninó universae virtutis? sic vero iudica: utrum id quod cum semper simili coniunctum est et cum immortali et veritate, ipsumque tale est et in tali exsistit, magis esse tibi videtur, an id quod cum natura numquam simili et mortali coniunctum ipsumque tale est et in tali exsistit? Longe, inquit, praestat id quod cum natura semper simili coniunctum est. Naturae igitur semper similis essentia num magis essentiae particeps est quam scientiae? Minime vero. Quid, quam veritatis? Ne hoc

ἀληθείας ἧττον, οὐ καὶ οὐσίας; Ἀνάγκη. Οὐκοῦν * ὅλως D
τὰ περὶ τὴν τοῦ σώματος θεραπείαν γένη τῶν γενῶν αὖ τῶν
περὶ τὴν τῆς ψυχῆς θεραπείαν ἧττον ἀληθείας τε καὶ οὐ-
σίας μετέχει; Πολύ γε. Σῶμα δὲ αὐτὸ ψυχῆς οὐκ οἴει οὕ-
τως; Ἔγωγε. Οὐκοῦν τὸ τῶν μᾶλλον ὄντων πληρούμενον καὶ
αὐτὸ μᾶλλον ὂν ὄντως μᾶλλον πληροῦται, ἢ τὸ τῶν ἧττον
ὄντων καὶ αὐτὸ ἧττον ὄν; Πῶς γὰρ οὔ; Εἰ ἄρα τὸ πλη-
ροῦσθαι τῶν φύσει προσηκόντων ἡδύ ἐστι, τὸ τῷ ὄντι καὶ
τῶν μᾶλλον ὄντων *) πληρούμενον μᾶλλον * ὄντως τε καὶ E
ἀληθεστέρως χαίρειν ἂν ποιοῖ ἡδονῇ ἀληθεῖ, τὸ δὲ τῶν ἧτ-
τον ὄντων μεταλαμβάνον ἧττόν τε ἂν ἀληθῶς καὶ βεβαίως
πληροῖτο καὶ ἀπιστοτέρας ἂν ἡδονῆς καὶ ἧττον ἀληθοῦς
μεταλαμβάνοι. Ἀναγκαιότατα, ἔφη. Οἱ ἄρα φρονήσεως καὶ
ἀρετῆς ἄπειροι, εὐωχίαις * δὲ καὶ τοῖς τοιούτοις ἀεὶ ξυνόν- 586
τες, κάτω, ὡς ἔοικε, καὶ μέχρι πάλιν πρὸς τὸ μεταξὺ φέ-
ρονταί τε καὶ ταύτῃ πλανῶνται διὰ βίου, ὑπερβάντες δὲ
τοῦτο πρὸς τὸ ἀληθῶς ἄνω οὔτε ἀνέβλεψαν πώποτε οὔτε
ἠνέχθησαν, οὐδὲ τοῦ ὄντος τῷ ὄντι ἐπληρώθησαν, οὐδὲ βε-
βαίου τε καὶ καθαρᾶς ἡδονῆς ἐγεύσαντο, ἀλλὰ βοσκημάτων
δίκην κάτω ἀεὶ βλέποντες καὶ κεκυφότες εἰς γῆν καὶ εἰς
τραπέζας βόσκονται χορταζόμενοι καὶ ὀχεύοντες, καὶ ἕνεκα
* τῆς τούτων πλεονεξίας λακτίζοντες καὶ κυρίττοντες ἀλλή- B
λους σιδηροῖς κέρασί τε καὶ ὁπλαῖς ἀποκτιννύασι δι' ἀπλη-
στίαν, ἅτε οὐχὶ τοῖς οὖσιν οὐδὲ τὸ ὂν οὐδὲ τὸ στέγον ἑαυ-
τῶν πιμπλάντες. Παντελῶς, ἔφη ὁ Γλαύκων, τὸν τῶν
πολλῶν, ὦ Σώκρατες, χρησμῳδεῖς βίον. Ἆρ' οὖν οὐκ
ἀνάγκη καὶ ἡδοναῖς ξυνεῖναι μεμιγμέναις λύπαις, εἰδώλοις
τῆς ἀληθοῦς ἡδονῆς καὶ ἐσκιαγραφημέναις, ὑπὸ τῆς παρ'
ἀλλήλας θέσεως ἀποχραινομέναις, * ὥστε σφοδροὺς ἑκατέρας C
φαίνεσθαι καὶ ἔρωτας ἑαυτῶν λυττῶντας τοῖς ἄφροσιν ἐν-
τίκτειν καὶ περιμαχήτους εἶναι, ὥσπερ τὸ τῆς Ἑλένης εἴδω-

---

*) ἄλλ. τῶν ὄντων.

quidem. Si minus veritatis est particeps, nonne etiam essentiae minus est particeps? Necessario. Nonne in universum genera ad corporis cultum spectantia generibus illis ad animi cultum spectantibus minus veritatis et essentiae habent? Sane quidem. Corpus vero ipsum nonne item minus habere censes quam animum? Ego sane. Nonne quod eis quae magis sunt expletur ipsumque magis est revera magis expletur, quam quod rebus expletur quae minus sunt ipsumque minus est? Quidni? Iam si rebus expleri natura convenientibus suave est, id quod revera rebusque quae magis sunt expletur certius ac verius gaudio nos afficiet et voluptate vera, quod vero cum rebus coniunctum est quae minus sunt minus etiam vere et firme explebitur et incertioris voluptatis minusque verae erit particeps. Maxime necessario, inquit. Qui ergo prudentiae ac virtutis imperiti sunt, in epulis vero talibusque semper versantur, deorsum, ut patet, rursusque usque ad medium feruntur et ita errant per omnem vitam, numquam vero hoc transgressi ad locum vere superum conspexerunt superiora eoque lati sunt neque vero revera sunt expleti, neque stabilem puramque voluptatem gustarunt, sed pecorum modo deorsum semper spectantes pronique in terram et in mensas pascuntur sese saginantes et salientes, et propter harum libidinum intemperantiam calcitrantes ac ferientes inter se ferreis cornibus et ungulis interficiunt inexplebili cupiditate inflammati, quippe qui neque rebus quae vere sunt neque id quod vere est neque veram et constantem sui partem impleant. Prorsus, Glauco inquit, multitudinis, Socrate, vitam oraculo edis. Nonne etiam necesse est in voluptatibus eos versari cum doloribus permixtis, simulacris verae voluptatis et in speciem pictis, quae quidem e regione sibi positae ita inter se efferunt atque eminent, ut vehemens utrumque videatur et amores sui furiosos imprudentibus iniiciat certatimque expetatur, quemadmodum de Helenae

λον ὑπὸ τῶν ἐν Τροίᾳ Στησίχορός φησι γενέσθαι περιμάχη-
τον ἀγνοίᾳ τοῦ ἀληθοῦς; Πολλὴ ἀνάγκη, ἔφη, τοιοῦτόν τι
αὐτὸ εἶναι.

Τί δέ; περὶ τὸ θυμοειδὲς οὐχ ἕτερα τοιαῦτα ἀνάγκη
γίγνεσθαι, ὃς ἂν αὐτὸ τοῦτο διαπράττηται ἢ φθόνῳ διὰ
φιλοτιμίαν ἢ βίᾳ διὰ φιλονεικίαν ἢ θυμῷ διὰ δυςκολίαν,
πλησμονὴν τιμῆς * τε καὶ νίκης καὶ θυμοῦ διώκων ἄνευ D
λογισμοῦ τε καὶ νοῦ; Τοιαῦτα, ἦ δ' ὅς, ἀνάγκη καὶ περὶ τοῦ-
το εἶναι. Τί οὖν; ἦν δ' ἐγώ· θαῤῥοῦντες λέγωμεν ὅτι καὶ περὶ
τὸ φιλοκερδὲς καὶ τὸ φιλόνεικον ὅσαι ἐπιθυμίαι εἰσίν, αἳ μὲν ἂν
τῇ ἐπιστήμῃ καὶ λόγῳ ἑπόμεναι καὶ μετὰ τούτων τὰς ἡδονὰς
διώκουσαι, ἃς ἂν τὸ φρόνιμον ἐξηγῆται, λαμβάνωσι, τὰς
ἀληθεστάτας τε λήψονται, ὡς οἷόν τε αὐταῖς ἀληθεῖς λαβεῖν,
ἅτε ἀληθείᾳ ἑπομένων, καὶ τὰς ἑαυτῶν οἰκείας, * εἴπερ τὸ*) E
βέλτιστον ἑκάστῳ, τοῦτο καὶ οἰκειότατον; Ἀλλὰ μήν, ἔφη,
οἰκειότατόν γε. Τῷ φιλοσόφῳ ἄρα ἑπομένης ἁπάσης τῆς
ψυχῆς καὶ μὴ στασιαζούσης ἑκάστῳ τῷ μέρει ὑπάρχει εἴς τε
τἆλλα τὰ ἑαυτοῦ πράττειν καὶ δικαίῳ εἶναι, καὶ δὴ καὶ τὰς
ἡδονὰς τὰς ἑαυτοῦ ἕκαστον καὶ τὰς βελτίστας καὶ εἰς τὸ
δυνατὸν * τὰς ἀληθεστάτας καρποῦσθαι. Κομιδῇ μὲν οὖν. 587
Ὅταν δὲ ἄρα τῶν ἑτέρων τι κρατήσῃ, ὑπάρχει αὐτῷ μήτε
τὴν ἑαυτοῦ ἡδονὴν ἐξευρίσκειν τά τε ἄλλα ἀναγκάζειν ἀλ-
λοτρίαν καὶ μὴ ἀληθῆ ἡδονὴν διώκειν. Οὕτως, ἔφη. Οὐκ-
οῦν ἃ πλεῖστον φιλοσοφίας τε καὶ λόγου ἀφέστηκε, μάλιστα
ἂν τοιαῦτα ἐξεργάζοιτο; Πολύ γε. Πλεῖστον δὲ λόγου ἀφί-
σταται οὐχ ὅπερ νόμου τε καὶ τάξεως; Δῆλον δή. Ἐφά-
νησαν δὲ πλεῖστον ἀφεστῶσαι οὐχ αἱ ἐρωτικαί τε καὶ τυραν-
νικαὶ ἐπιθυμίαι; Πολύ γε. Ἐλάχιστον * δὲ αἱ βασιλικαί τε B
καὶ κόσμιαι; Ναί. Πλεῖστον δή, οἶμαι, ἀληθοῦς ἡδονῆς
καὶ οἰκείας ὁ τύραννος ἀφεστήξει, ὁ δὲ ὀλίγιστον. Ἀνάγκη.
Καὶ ἀηδέστατα ἄρα, εἶπον, ὁ τύραννος βιώσεται, ὁ δὲ βα-
σιλεὺς ἥδιστα. Πολλὴ ἀνάγκη. Οἶσθ' οὖν, ἦν δ' ἐγώ,
ὅσῳ ἀηδέστερον ζῇ τύραννος βασιλέως; Ἂν εἴπῃς, ἔφη.

*) ἴσ. ὅ.

simulacro Graecos ad Troiam Stesichorus ait armis certasse propter verae ignorationem? Prorsus necesse est, inquit, hoc ita se habere.

Quid vero? ad iracundam animi partem nonne eadem accidant necesse est ei qui huius ipsius desiderium explet vel invidia propter honoris cupiditatem vel vi propter contentionis studium vel ira propter morositatem, expletionem honoris et victoriae et iracundiae sectans sine ratione ac mente? Haec, inquit, etiam isti parti accidant necesse est. Quid igitur? inquam: fidenterne dicamus etiam quas lucri et contentionis studium habeat cupiditates, si scientiam et rationem sequentes hisque adiuvantibus voluptates appetant a prudentia praescriptas easque assequantur, et verissimas esse assequuturas, quam maxime possint veras assequi, quippe quae veritatem sequantur, et sibi ipsis proprias, siquidem, quod optimum cuique, id etiam maxime proprium est? Sane quidem, inquit, maxime proprium est. Philosopham igitur partem si universus animus sequitur nec dissidet, cuique parti obtingit ut in reliquis rebus faciat quod suum est et iusta sit, atque etiam suas quaeque voluptates easque optimas et quam possit verissimas percipiat. Admodum. Sin autem alia quae pars imperat, evenit ei ut neque suam voluptatem reperiat et ceteras cogat alienam nec veram sectari voluptatem. Ita, inquit. Nonne quae longissime a philosophia et ratione absunt, maxime hoc efficient? Sane quidem. Longissime vero a ratione nonne id abest quod a lege et ordine abest? Patet. Et repertae sunt maxime distantes nonne amatoriae et tyrannicae cupiditates? Sane quidem. Minime vero regiae et moderatae? Minime vero. Longissime igitur, ut opinor, a vera voluptate et propria tyrannus aberit, ille contra proxime. Necesse est. Iniucundissime ergo, inquam, tyrannus vivet, rex autem iucundissime. Prorsus necesse est. Scin' igitur, inquam, quanto iniucundius vivat tyrannus

Τριῶν ἡδονῶν, ὡς ἔοικεν, οὐσῶν, μιᾶς μὲν γνησίας, δυεῖν δὲ νόθοιν, τῶν νόθων *) εἰς τὸ ἐπ' ἐκεῖνα * ὑπερβὰς ὁ τύ- C
ραννος, φυγὼν νόμον τε καὶ λόγον, δούλαις τισὶ δορυφόροις ἡδοναῖς ξυνοικεῖ, καὶ ὁπόσα ἐλαττοῦται, οὐδὲ πάνυ ῥᾴδιον εἰπεῖν, πλὴν ἴσως ὧδε. Πῶς; ἔφη. Ἀπὸ τοῦ ὀλιγαρχικοῦ τρίτος που ὁ τύραννος ἀφειστήκει· ἐν μέσῳ γὰρ αὐτοῖν **) ὁ δημοτικὸς ἦν. Ναί. Οὐκοῦν καὶ ἡδονῆς τρίτῳ εἰδώλῳ πρὸς ἀλήθειαν ἀπ' ἐκείνου ξυνοικοῖ ἄν, εἰ τὰ πρόσθεν ἀληθῆ; Οὕτως. Ὁ δέ γε ὀλιγαρχικὸς ἀπὸ τοῦ βασιλικοῦ αὖ τρίτος, ἐὰν * εἰς ταὐτὸν ἀριστοκρατικὸν καὶ D
βασιλικὸν τιθῶμεν. Τρίτος γάρ. Τριπλασίου ἄρα, ἦν δ' ἐγώ, τριπλάσιον ἀριθμῷ ἀληθοῦς ἡδονῆς ἀφέστηκε τύραννος. Φαίνεται. Ἐπίπεδον ἄρ', ἔφην, ὡς ἔοικε, τὸ εἴδωλον κατὰ τὸν τοῦ μήκους ἀριθμὸν ἡδονῆς τυραννικῆς ἂν εἴη. Κομιδῇ γε. Κατὰ δὲ δύναμιν καὶ τὴν τρίτην αὔξην δῆλον δὴ ἀπόστασιν ὅσην ἀφεστηκὼς γίγνεται. Δῆλον, ἔφη, τῷ γε λογιστικῷ. Οὐκοῦν, ἐάν τις μεταστρέψας ἀληθείᾳ ἡδονῆς τὸν * βασιλέα τοῦ τυράννου ἀφεστηκότα λέγῃ, ὅσον E
ἀφέστηκεν, ἐννεακαιεικοσικαιεπτακοσιοπλασιάκις ἥδιον αὐτὸν ζῶντα εὑρήσει τελεωθείσῃ τῇ πολλαπλασιώσει, τὸν δὲ τύραννον ἀνιαρότερον τῇ αὐτῇ ταύτῃ ἀποστάσει. Ἀμήχανον, ἔφη, λογισμὸν καταπεφόρηκας τῆς διαφορότητος τοῖν ἀνδροῖν, τοῦ τε δικαίου καὶ * τοῦ ἀδίκου, πρὸς ἡδονήν τε καὶ λύ- 588
πην. Καὶ μέντοι καὶ ἀληθῆ καὶ προσήκοντά γε, ἦν δ' ἐγώ, βίοις ἀριθμόν, εἴπερ αὐτοῖς προσήκουσιν ἡμέραι καὶ νύκτες καὶ μῆνες καὶ ἐνιαυτοί. Ἀλλὰ μήν, ἔφη, προσήκουσιν. Οὐκοῦν, εἰ τοσοῦτον ἡδονῇ νικᾷ ὁ ἀγαθός τε καὶ δίκαιος τὸν κακόν τε καὶ ἄδικον, ἀμηχάνῳ δὴ ὅσῳ πλέονι ***) νικήσει εὐσχημοσύνῃ τε βίου καὶ κάλλει καὶ ἀρετῇ; Ἀμηχάνῳ μέντοι νὴ Δία, ἔφη.

Εἶεν δή, εἶπον, ἐπειδὴ ἐνταῦθα λόγου * γεγόναμεν, ἀνα- B
λάβωμεν τὰ πρῶτα λεχθέντα, δι' ἃ δεῦρ' ἥκομεν· ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ· ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν οὖν.

*) γρ. τὸ νόθον. **) γρ. αὐτῷ καὶ αὐτῶν.
***) γρ. πλεῖον.

rege? Si dicas, inquit. Tres, ut patet, quum voluptates sint, una quidem germana, duae vero adulterinae, adulterinas ultra progrediens tyrannus, dum legem fugit atque rationem, cum servis quibusdam satellitibus voluptatibus habitat, et quantum superetur, nec tam facile est dictu, nisi forte ita. Quomodo? inquit. Ab eo qui paucorum imperio favet tertius fere tyrannus; medius enim inter eos popularis erat. Ita. Nonne etiam in voluptatis simulacro tertio ab illo, si veritatem spectas, vitam traducet, si priora sunt vera? Etiam. Paucorum rursus imperii studiosus a regio est tertius, si optimatum imperii studiosum et regium componimus. Tertius vero. Ter igitur, inquam, triplo numero a vera voluptate distat tyrannus. Videtur. Planum ergo, inquam, ut patet, simulacrum secundum longitudinis numerum voluptatis tyrannicae erit. Sane quidem. Secundum potentiam autem tertiumque incrementum perspicuum est quantum distet. Perspicuum quidem, inquit, ratiocinandi perito. Nonne igitur, si quis inversa ratione dixerit quantum rex ad voluptatis veritatem a tyranno distet, tricies novies et trecenties iucundius eum viventem reperiat perfecta multiplicatione, tyrannum vero acerbius eadem hac distantia. Immensam, inquit, computationem detulisti differentiae virorum, iusti et iniusti, ratione voluptatis et doloris. Attamen verum et convenientem quidem, inquam, vitis numerum, siquidem eis conveniunt dies et noctes et menses et anni. Sane quidem, inquit, conveniunt. Nonne igitur, si tanto voluptate superat bonus et iustus malum et iniustum, mirum quam maiore superabit vitae ornatu et pulchritudine et virtute. Mirum vero hercle, inquit.

Iam vero, inquam, quum eo res adducta sit, repetamus primo dicta, propter quae huc processimus; dicebatur autem, ni fallor, prodesse iniuriam facere ei qui perfecte iniustus esset, iustus vero existimaretur; an non ita dicebatur? Ita vero. Nunc igitur, inquam,

Νῦν δή, ἔφην, αὐτῷ *) διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα, τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν, ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη. Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ' * ὅς. Τῶν τοιούτων τινά, ἦν δ' ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. Δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· * ὅμως δέ, ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου, πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον, καὶ δεύτερον τὸ δεύτερον **). Ταῦτα, ἔφη, ῥᾴω· καὶ πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Συνῆπται, ἔφη. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ * τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον. Περιπέπλασται, ἔφη. Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν * καὶ ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅποι ***) ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ ξυνεθίζειν μηδὲ φίλον ποιεῖν, ἀλλ' ἐᾶν αὐτὰ ἐν αὑτοῖς δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα. Παντάπασι γάρ, ἔφη, ταῦτ' ἂν λέγοι ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα πράττειν καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, * καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται ὥσπερ γε-

C D E 589 B

*) γρ. αὐτό.
) γρ. τὸ πρῶτον καὶ δεύτερον, δεύτερον τὸ δεύτερον. *) γρ. ὅπῃ.

cum illo disseramus, quum inter nos convenerit iniuriam facere et iuste agere quam utrumque vim habeat. Quomodo? inquit. Ita ut imaginem fingamus animi verbis, ut sciat qui illud dixit qualia dixerit. Quamnam? inquit. Talium aliquam, respondi, quales narrantur antiquae fuisse naturae, Chimaerae et Scyllae et Cerberi, et aliae permultae dicuntur fuisse ex variis formis in unam conflatae. Dicuntur vero, inquit. Finge igitur unam quidem formam belluae multiplicis variaque capita habentis, et mansuetarum quidem belluarum cinctae capitibus circumcirca et ferarum, quae possit sese mutare et procreare ex semet haec omnia. Admirabilis fictoris, inquit, opus; attamen, quoniam flexibilior quam cera aliaque id genus oratio est, fictum esto. Unam vero aliam formam finge leonis, et alteram hominis, longe vero maxima esto prima, et secunda posterior. Hoc, inquit, facilius; atque fictum est. Coniunge igitur tria illa in unum, ut quodammodo inter se coalescant. Coniuncta sunt, inquit. Affinge porro his extrinsecus unius imaginem, hominis, ut, qui non possit interiora spectare, sed exterius tantum involucrum conspiciat, unum animal videre videatur, hominem. Afficta est, inquit. Dicamus iam ei qui statuerit prodesse huic homini iniuste facere, iustitiam vero colere non expedire, nihil aliud eum pronunciare nisi hoc, prodesse ei multiplicem belluam bene pascere robustamque efficere itemque leonem resque leonis, hominem autem inedia necare imbecillumque reddere, ut trahatur quocumque alterutrum ducat, nec alterum altero assuefaciat neque amicum reddat, sed sinat ea inter se mordere et pugnantia se vorare. Sane quidem, inquit, haec dixerit qui iniustitiam laudat. Nonne contra qui iuste facere statuet expedire dicet oportere haec facere et haec dicere, unde hominis interior homo erit temperantissimus, et de animante multa capita habente curam ad-

ωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασσεύων, τὰ δὲ ἄγρια
ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέον-
τος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος
ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει; Κομιδῇ γὰρ αὖ λέγει
ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. Κατὰ πάντα τρόπον δὴ ὁ μὲν
τὰ δίκαια ἐγκωμιάζων ἀληθῆ ἂν λέγοι, * ὁ δὲ τὰ ἄδικα C
ψεύδοιτο· πρός τε γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέ-
λειαν σκοπουμένῳ ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει, ὁ
δὲ ψέκτης οὐδὲν ὑγιὲς οὐδ᾽ εἰδὼς ψέγει ὅ τι ψέγει. Οὔ
μοι δοκεῖ, ἦ δ᾽ ὅς, οὐδαμῇ γε. Πείθωμεν τοίνυν αὐτὸν
πράως (οὐ γὰρ ἑκὼν ἁμαρτάνει) ἐρωτῶντες Ὦ μακάριε,
οὐ καὶ τὰ καλὰ καὶ αἰσχρὰ νόμιμα διὰ τὰ τοιαῦτ᾽ ἂν φαῖμεν
γεγονέναι, τὰ μὲν * καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ D
ἴσως τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως,
αἰσχρὰ δὲ τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; ξυμφή-
σει, ἢ πῶς; Ἐάν μοι, ἔφη, πείθηται. Ἔστιν οὖν, εἶπον,
ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδί-
κως, εἴπερ τοιόνδε τι γίγνεται, λαμβάνων τὸ χρυσίον ἅμα
καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ
μὲν * λαβὼν χρυσίον υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ᾽ E
εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει
οὐδ᾽ ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνοι *), εἰ δὲ τὸ ἑαυτοῦ
θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται
καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ * πολὺ ἐπὶ δεινο- 590
τέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ, ἢ Ἐριφύλη ἐπὶ τῇ τοῦ
ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; Πολὺ μέντοι, ἦ δ᾽ ὃς
ὁ Γλαύκων· ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι.

Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα **)
πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν καὶ ***)
τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα, πέρα τοῦ δέοντος;
Δῆλον, ἔφη. Ἡ δ᾽ αὐθάδεια καὶ δυσκολία ψέγεται οὐχ,
ὅταν τὸ λεοντῶδές * τε καὶ ὀφεῶδες αὔξηται καὶ ξυντείνη- B
ται ἀναρμόστως; Πάνυ μὲν οὖν. Τρυφὴ δὲ καὶ μαλθακία

*) ἄλλ. λαμβάνειεν. ἴσ. λαμβάνῃ.
) γρ. διὰ τοιαῦτα. *) γρ. δεινόν, τὸ μέγα.

hibebit inſtar agricolae, mites eius partes nutriens et manſuefaciens, feras autem impediens ne vigeant, ſociam ſibi asſumens leonis naturam et communiter omnium procurationem habens, et quum amicas eas inter ſe ſibique reddiderit, tum alet? Sane vero dicit haec qui iuſtum laudat. Omni igitur modo qui iuſta celebrat vera dicet, qui vero iniuſta, falſa; nam ſive voluptatem ſive bonam famam ſive utilitatem ſpectas, iuſti laudator verum dicit, vituperator autem nihil ſani nec ſciens vituperat quid vituperet. Neutiquam, inquit, mihi videtur. Perſuadeamus igitur ei leniter (neque enim ſua ſponte errat) interrogantes O praeſtantiſſime, nonne etiam honeſta et turpia hanc ob cauſam dicemus legibus eſſe ſancta, et honeſta quidem quod ea ſint quae hominis, immo etiam, ni fallor, divini imperio feras naturae partes ſubiiciant, turpia vero quod eiusmodi ſint quae mite agreſti ſervire cogant? asſentietur, an quomodo? Si mihi, inquit, obtemperabit. Eſt igitur, inquam, cui expediat ex hac oratione aurum accipere iniuſte, ſi hoc evenit ut aurum accipiens ſimul optimam ſui partem ſervire cogat improbiſſimae? vel ſi auro accepto filium filiamve in ſervitutem dabit idque ad feros pravosque viros, ei haud expediet, quamvis permultum pro hoc acceperit, ſin autem diviniſſimam ſui partem ſceleſtiſſimae et impuriſſimae ſervire cogit nec eius miſeretur, nonne miſer eſt longeque diriore cum pernicie auri largitionem accipit, quam Eriphyla quae pro mariti vita monile ſumpſit? Longe ſane, inquit Glauco; ego enim tibi pro illo reſpondebo.

Nonne etiam incontinentiam cenſes iccirco dudum vituperari, quod remittitur in ea dirum et magnum illud et multiforme animans ſupra quam oportet? Patet vero, inquit. Contumacia autem et moroſitas nonne vituperatur, quando leoninum et anguinum augetur et intenditur praeter modum? Sane quidem. Luxuries

οὐκ ἐπὶ τῇ τοῦ αὐτοῦ *) τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; Τί μήν; Κολακεία δὲ καὶ ἀνελευθερία οὐχ, ὅταν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; * Καὶ μάλα, ἔφη. Βαναυσία δὲ C καὶ χειροτεχνία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ **) δι' ἄλλο τι φήσομεν, ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα καὶ τὰ θωπεύματα αὐτῶν μόνον [δύνηται] μανθάνειν; Ἔοικεν, ἔφη. Οὐκοῦν, ἵνα καὶ ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλτιστος, δοῦλον αὐτόν φαμεν δεῖν εἶναι ἐκείνου τοῦ * βελτίστου καὶ D ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ' ὡς ἄμεινον ὂν παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν οἰκεῖον ἔχοντος ἐν αὑτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ κυβερνώμενοι; Καὶ ὀρθῶς γ', ἔφη. Δηλοῖ δέ γε, ἦν δ' ἐγώ, καὶ ὁ νόμος * ὅτι E τοιοῦτον βούλεται ***), πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν, καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρους εἶναι, ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες * τῷ παρ' ἡμῖν τοιούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον καὶ ἄρχοντα ἐν αὐτῷ· καὶ 591 τότε δὴ ἐλεύθερον ἀφίεμεν. Δηλοῖ γάρ, ἦ δ' ὅς. Πῇ δὴ οὖν φήσομεν, ὦ Γλαύκων, καὶ κατὰ τίνα λόγον λυσιτελεῖν ἀδικεῖν ἢ ἀκολασταίνειν ἤ τι αἰσχρὸν ποιεῖν, ἐξ ὧν πονηρότερος μὲν ἔσται, πλείω δὲ χρήματα ἢ ἄλλην τινὰ δύναμιν κεκτήσεται; Οὐδαμῇ, ἦ δ' ὅς. Πῇ δ' ἀδικοῦντα λανθά-

---

*) ἀλλ. ἐπὶ τῇ αὐτοῦ.

**) ἴσ. ἦ.

***) γρ. βουλεύεται.

vero et mollities nonne in eiusdem huius remissione et resolutione vituperatur, quando ignaviam ei iniicit? Quidni? Atque adulatio et illiberalitas nonne, quando quis hanc ipsam iracundam animi partem turbulentae bestiae imperio subiicit, et propter quaestum illiusque inexplebiles cupiditates contumelia vexatam a pueritia ita assuefacit ut e leone simia evadat? Admodum, inquit. Artium vero illiberalium et earum quae manu factitantur exercitationem cur putas probrum inferre? num aliam ob causam dicemus, nisi ob hanc quod imbecillam naturâ habet optimi speciem, ita ut nequeat imperare eis quae in ipso insunt animantibus, sed colat illa et adulationes tantum eorum discat? Videtur, inquit. Nonne igitur, ut talis a simili regatur eius a quo optimus regitur, servum eum dicimus oportere esse eius qui optimus est habetque in se divinum regens, non servi incommodo censentes eum regi oportere, ut Thrasymachus existimaverat eos qui regerentur incommodo suo regi, sed melius agi cum quoque si a divino et prudente regatur, maxime quidem si proprium hoc in semet ipso habeat, sin minus, si externus ei sit praefectus, ut quoad fieri possit omnes similes simus atque amici ab eodem gubernati? Et recte quidem, inquit. Declarat vero, inquam, etiam lex hoc sibi propositum esse, quae quidem omnibus in civitate versantibus auxiliatur, et imperium in pueros, siquidem eos non sinimus liberos esse, dum in eis sicut in civitate gubernationem constituerimus, et, quum optimum erudiverimus, custodem et rectorem illis statuerimus ei qui nobis est similem et ex altera parte respondentem; tum denique eos liberos dimittimus. Declarat vero, inquit. Quatenus igitur dicemus, Glauco, et quanam ex ratione expedire iniuste facere vel intemperantiae se dedere vel turpe quid committere, unde pravior quidem futurus, plures autem opes vel aliam quam potestatem sit consequuturus? Nullo modo, inquit. Quatenus vero expedire iniuste

νειν καὶ μὴ διδόναι δίκην λυσιτελεῖν; ἢ οὐχὶ ὁ μὲν λανθά-
νων * ἔτι πονηρότερος γίγνεται, τοῦ δὲ μὴ λανθάνοντος καὶ B
κολαζομένου τὸ μὲν θηριῶδες κοιμίζεται *) καὶ ἡμεροῦται, τὸ δὲ
ἥμερον ἐλευθεροῦται, καὶ ὅλη ἡ ψυχὴ εἰς τὴν βελτίστην φύσιν κα-
θισταμένη τιμιωτέραν ἕξιν λαμβάνει, σωφροσύνην τε καὶ δικαιο-
σύνην μετὰ φρονήσεως κτωμένη, ἢ σῶμα ἰσχύν τε καὶ κάλλος με-
τὰ ὑγιείας λαμβάνον, τοσούτῳ ὅσωπερ ψυχὴ σώματος τιμιωτέρα;
Παντάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν ὅ γε νοῦν ἔχων πάντα
* τὰ αὐτοῦ εἰς τοῦτο ξυντείνας βιώσεται, πρῶτον μὲν τὰ C
μαθήματα τιμῶν ἃ τοιαύτην αὐτοῦ τὴν ψυχὴν ἀπεργάσεται,
τὰ δὲ ἄλλα ἀτιμάζων; Δῆλον, ἔφη. Ἔπειτα δ' **), εἶπον,
τὴν τοῦ σώματος ἕξιν καὶ τροφὴν οὐχ ὅπως τῇ θηριώδει καὶ
ἀλόγῳ ἡδονῇ ἐπιτρέψας ἐνταῦθα τετραμμένος ζήσει, ἀλλ'
οὐδὲ πρὸς ὑγίειαν βλέπων οὐδὲ τοῦτο πρεσβεύων, ὅπως
ἰσχυρὸς ἢ ὑγιὴς ἢ καλὸς ἔσται, ἐὰν μὴ καὶ σωφρονήσειν
μέλλῃ ἀπ' αὐτῶν, * ἀλλ' ἀεὶ τὴν ἐν τῷ σώματι ἁρμονίαν D
τῆς ἐν τῇ ψυχῇ ἕνεκα ξυμφωνίας ἁρμοττόμενος φανεῖ-
ται ***); Παντάπασι μὲν οὖν, ἔφη, ἐάνπερ μέλλῃ τῇ ἀλη-
θείᾳ μουσικὸς εἶναι. Οὐκοῦν, εἶπον, καὶ τὴν ἐν τῇ τῶν
χρημάτων κτήσει ξύνταξίν τε καὶ ξυμφωνίαν; καὶ τὸν ὄγκον
τοῦ πλήθους οὐκ ἐκπληττόμενος ὑπὸ τοῦ τῶν πολλῶν μακα-
ρισμοῦ ἄπειρον αὐξήσει, ἀπέραντα κακὰ ἔχων; Οὐκ οἴομαι
ἔφη. Ἀλλ' ἀποβλέπων γε, εἶπον, * πρὸς τὴν ἐν αὐτῷ πο- E
λιτείαν καὶ φυλάττων, μή τι παρακινῇ αὐτοῦ τῶν ἐκεῖ διὰ
πλῆθος οὐσίας ἢ δι' ὀλιγότητα, οὕτω κυβερνῶν προσθήσει
καὶ ἀναλώσει τῆς οὐσίας καθ' ὅσον ἂν οἷός τ' ᾖ. Κομι-
δῇ μὲν οὖν, ἔφη. Ἀλλὰ μὴν καὶ τιμάς γε, εἰς ταὐτὸν ἀπο-
βλέπων, * τῶν μὲν μεθέξει καὶ γεύσεται ἑκὼν ἃς ἂν ἡγῆται 592
ἀμείνω αὐτὸν ποιήσειν, ἃς δ' ἂν λύσειν τὴν ὑπάρχουσαν
ἕξιν, φεύξεται ἰδίᾳ καὶ δημοσίᾳ. Οὐκ ἄρα, ἔφη, τά γε πο-
λιτικὰ ἐθελήσει πράττειν, ἐάνπερ τούτου κήδηται. Νὴ τὸν
κύνα, ἦν δ' ἐγώ, ἔν γε τῇ ἑαυτοῦ πόλει καὶ μάλα, οὐ μέντοι ἴσως
ἔν γε τῇ πατρίδι, ἐὰν μὴ θεία τις ξυμβῇ τύχη. Μανθάνω,

---

*) ἄλλ. κομίζεται.
) γρ. γ'. *) γρ. φαίνηται.

facienti latere nec poenas dare? an non is qui latet etiam pravior evadit, eius vero qui non latet et castigatur ferina pars sedatur et paratur, mansueta autem liberatur, et universus animus optimam nactus naturam praestabiliorem accipit habitum, temperantiam et iustitiam cum prudentia adeptus, quam corpus quod robur et pulchritudinem cum sanitate accipit, tanto quanto animus corpore est praestabilior? Prorsus sic se habet, inquit. Nonne igitur is qui sapit ita vivet ut omnia sua ad hoc dirigat, primum quidem disciplinas in honore habens quae talem ipsius animum effecturae sint, ceteras vero contemnens? Patet vero, inquit. Deinde, inquam, corporis habitum et pastum tantum aberit ut ferinae rationisque experti voluptati committat ad hanc se convertens, ut ne sanitatem quidem respiciat nec hoc prae ceteris spectet ut robustus vel sanus vel pulcher exsistat, nisi etiam prudentiam inde assequuturus sit, sed semper corporis concinnitatem animi concentus causa temperans reperietur? Prorsus quidem, inquit, siquidem vere volt musicus esse. Nonne etiam, inquam, in opibus acquirendis modum atque concentum servabit, nec copiarum molem multitudinis praedicatione perturbatus ad infinitum augebit, innumerabilibus vexatus malis? Non arbitror, inquit. Sed respiciens, inquam, interiorem sui statum ita rem familiarem administrabit opesque quoad eius fieri poterit augebit et consumet ut cautionem adhibeat ne qua de rebus illis suis opum numero vel paucitate permoveatur. Sane quidem, inquit. Atque etiam honores, idem respiciens, eos quidem accipiet et experietur sua sponte quos putaverit meliorem se effecturos esse, quos autem exsistimaverit praesentem dissoluturos esse statum, eos fugiet privatim ac publice. Non igitur, inquit, res civiles volet gerere, siquidem in hoc curam ponet. Immo per canem, inquam, in sua quidem civitate admodum, neque tamen, opinor, in patria, nisi si quis divinitus inciderit casus. Intelligo,

ἔφη, ἐν ᾗ νῦν δὴ *) διήλθομεν οἰκίζοντες πόλει λέγεις, τῇ ἐν λόγοις κειμένῃ, ἐπεὶ γῆς γε *οὐδαμοῦ οἶμαι αὐτὴν εἶναι. B Ἀλλ', ἦν δ' ἐγώ, ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ βουλομένῳ ὁρᾶν καὶ ὁρῶντι ἑαυτὸν κατοικίζειν. διαφέρει δὲ οὐδὲν εἴτε που ἔστιν εἴτε ἔσται· τὰ γὰρ ταύτης μόνης ἂν πράξειεν, ἄλλης δὲ οὐδεμιᾶς. Εἰκός γ', ἔφη.

---

*) γρ. νῦν.

---

inquit, civitatem te dicere quam modo condentes perſequuti ſumus, in verbis illam quidem poſitam; nam terrae quidem nusquam cenſeo eam eſſe. At vero, inquam, in caelo fortaſſe exemplar eius propoſitum eſt ſpectare cupienti et quum ſpectaverit domicilium in ea collocare. nihil autem intereſt ſive alicubi ſit ſive futura ſit; huius enim ſolius res geret, alius nullius. Conſentaneum vero, inquit.

Θ.

Καὶ μήν, ἦν δ' ἐγώ, πολλὰ μὲν καὶ ἄλλα περὶ αὐτῆς ἐν- 595
νοῶ, ὡς παντὸς ἄρα μᾶλλον ὀρθῶς ᾠκίζομεν τὴν πόλιν, οὐχ
ἥκιστα δὲ ἐνθυμηθεὶς περὶ ποιήσεως λέγω. Τὸ ποῖον; ἔφη.
Τὸ μηδαμῇ παραδέχεσθαι αὐτῆς ὅση μιμητική· παντὸς γὰρ
μᾶλλον οὐ παραδεκτέα νῦν καὶ ἐναργέστερον, ὡς ἐμοὶ * δο- B
κεῖ, φαίνεται, ἐπειδὴ χωρὶς ἕκαστα διῄρηται τὰ τῆς ψυχῆς
εἴδη. Πῶς λέγεις; Ὡς μὲν πρὸς ὑμᾶς εἰρῆσθαι (οὐ γάρ
μου κατερεῖτε πρὸς τοὺς τῆς τραγῳδίας ποιητὰς καὶ τοὺς
ἄλλους ἅπαντας τοὺς μιμητικούς), λώβη ἔοικεν εἶναι πάντα
τὰ τοιαῦτα τῆς τῶν ἀκουόντων διανοίας, ὅσοι μὴ ἔχουσι
φάρμακον τὸ εἰδέναι αὐτὰ οἷα τυγχάνει ὄντα. Πῇ δή, ἔφη,
διανοούμενος λέγεις; Ῥητέον, ἦν δ' ἐγώ· καίτοι φιλία γέ
τίς με καὶ αἰδὼς ἐκ παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκω-
λύει λέγειν. ἔοικε * μὲν γὰρ τῶν καλῶν ἁπάντων τούτων C
τῶν τραγικῶν πρῶτος διδάσκαλός τε καὶ ἡγεμὼν γενέσθαι·
ἀλλ' οὐ γὰρ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ, ἀλλ' ὃ
λέγω, ῥητέον. Πάνυ μὲν οὖν, ἔφη. Ἄκουε δή, μᾶλλον δὲ
ἀποκρίνου. Ἐρώτα. Μίμησιν ὅλως ἔχοις ἂν μοι εἰπεῖν ὅ
τί ποτ' ἐστίν; οὐδὲ γάρ τοι αὐτὸς πάνυ τι ξυννοῶ τί βού-
λεται εἶναι. Ἦ που ἄρ', ἔφη, ἐγὼ ξυννοήσω; Οὐ-
δέν γε, ἦν δ' ἐγώ, ἄτοπον, ἐπεὶ πολλά τοι ὀξύτερον βλε-
πόντων ἀμβλύτερον * ὁρῶντες πρότεροι*) εἶδον. Ἔστιν, 596
ἔφη, οὕτως· ἀλλὰ σοῦ παρόντος οὐδ' ἂν προθυμηθῆναι
οἷός τε εἴην εἰπεῖν εἴ τί μοι καταφαίνεται· ἀλλ' αὐτὸς ὅρα.
Βούλει οὖν ἐνθένδε ἀρξώμεθα ἐπισκοποῦντες, ἐκ τῆς εἰω-

*) γρ. πρότερον.

X.

Sane, inquam, multis quum aliis in rebus cogito omnino recte nos condidiſſe civitatem, tum maxime in eo quod de poëſi ſtatuimus. Quidnam? inquit. Nullo modo admittendum eſſe quicquid eius in imitatione verſaretur; neutiquam enim admittendum eſſe nunc etiam clarius, ut mihi videtur, patet, quum ſeparatim ſingulae expoſitae ſint animi ſpecies. Quomodo dicis? Ut vobis dicam (neque enim me deferetis ad tragoediae poëtas reliquosque omnes in imitatione verſantes), incommodum videntur importare omnia huiusmodi audientium animis, quibuscumque non eſt ſubſidio eorum qualia ſint cognitio. Quomodo tandem, inquit, animatus hoc dicis? Narrandum, inquam; quamquam amicitia quaedam et reverentia quam a puero adverſus Homerum habui me impedit dicere. videtur enim egregiorum omnium horum tragicorum hic primus magiſter et dux fuiſſe. neque tamen prae veritate honorandus eſt vir, ſed, quod dico, narrandum. Sane quidem, inquit. Audi dum, vel potius reſponde. Interroga. Imitatio in univerſum poſſisne mihi dicere quid tandem ſit? enimvero nec ipſe ſane perſpicio quid ſibi velit. Ergo, inquit, ego perſpiciam? Haud, inquam, mirandum; nam multa ſane hebetiores acrius videntibus prius cernunt. Eſt, inquit, ita; quamquam te praeſente nec promptus eſſe potero ad dicendum ſi quid mihi liqueat; itaque ipſe vide. Visne igitur hoc inveſtigandi initium ſumamus, ſolitam

θυίας μεθόδου; εἶδος γάρ πού τι ἓν ἕκαστον εἰώθαμεν τί-
θεσθαι περὶ ἕκαστα τὰ πολλὰ οἷς ταὐτὸν ὄνομα ἐπιφέρομεν·
ἢ οὐ μανθάνεις; Μανθάνω. Θῶμεν δὴ καὶ νῦν ὅ τι βού-
λει τῶν πολλῶν. οἷον, εἰ ἐθέλεις *), πολλαί πού εἰσι κλῖναι
* καὶ τράπεζαι. Πῶς δ' οὔ; Ἀλλὰ ἰδέαι γέ που περὶ ταῦ- B
τα τὰ σκεύη δύο, μία μὲν κλίνης, μία δὲ τραπέζης. Ναί.
Οὐκοῦν καὶ εἰώθαμεν λέγειν ὅτι, ὁ δημιουργὸς ἑκατέρου τοῦ
σκεύους πρὸς τὴν ἰδέαν βλέπων οὕτω ποιεῖ ὁ μὲν τὰς κλί-
νας, ὁ δὲ τὰς τραπέζας, αἷς ἡμεῖς χρώμεθα, καὶ τἄλλα κα-
τὰ ταὐτά; οὐ γάρ που τήν γε ἰδέαν αὐτὴν δημιουργεῖ οὐ-
δεὶς τῶν δημιουργῶν· πῶς γάρ; Οὐδαμῶς. Ἀλλ' ὅρα δὴ
καὶ τόνδε τίνα καλεῖς τὸν δημιουργόν. * Τὸν ποῖον; Ὃς C
πάντα ποιεῖ ὅσαπερ εἷς ἕκαστος τῶν χειροτεχνῶν. Δεινόν
τινα λέγεις καὶ θαυμαστὸν ἄνδρα. Οὔπω γε, ἀλλὰ τάχα μᾶλ-
λον φήσεις. ὁ αὐτὸς γὰρ οὗτος χειροτέχνης οὐ μόνον πάντα
οἷός τε σκεύη ποιῆσαι, ἀλλὰ καὶ τὰ ἐκ τῆς γῆς φυόμενα
ἅπαντα ποιεῖ καὶ ζῶα πάντα ἐργάζεται, τά τε ἄλλα καὶ ἑαυ-
τόν, καὶ πρὸς τούτοις γῆν καὶ οὐρανὸν καὶ θεοὺς καὶ
πάντα τὰ ἐν οὐρανῷ καὶ τὰ ἐν Ἅιδου ὑπὸ γῆς ἅπαντα ἐρ-
γάζεται. Πάνυ θαυμαστόν, * ἔφη, λέγεις σοφιστήν. Ἀπι- D
στεῖς; ἦν δ' ἐγώ. καί μοι εἰπέ, τὸ παράπαν οὐκ ἄν σοι δοκεῖ
εἶναι τοιοῦτος δημιουργός, ἤ τινὶ μὲν τρόπῳ γενέσθαι ἂν
τούτων ἁπάντων ποιητής, τινὶ δὲ οὐκ ἄν; ἢ οὐκ αἰσθά-
νει ὅτι κἂν αὐτὸς οἷός τε εἴης πάντα ταῦτα ποιῆσαι τρόπῳ
γέ τινι; Καὶ τίς, ἔφη, ὁ τρόπος οὗτος; Οὐ χαλεπός, ἦν δ'
ἐγώ, ἀλλὰ πολλαχῇ **) καὶ ταχὺ δημιουργούμενος· τάχιστα
δέ που, εἰ ἐθέλεις ***) λαβὼν κάτοπτρον περιφέρειν πανта-
χῇ, ταχὺ μὲν ἥλιον * ποιήσεις καὶ τὰ ἐν τῷ οὐρανῷ, ταχὺ E
δὲ γῆν, ταχὺ δὲ σαυτόν τε καὶ τἄλλα ζῶα καὶ σκεύη καὶ
φυτὰ καὶ πάντα ὅσα νῦν δὴ ἐλέγομεν †). Ναί, ἔφη, φαινό-
μενα, οὐ μέντοι ὄντα γέ που τῇ ἀληθείᾳ. Καλῶς, ἦν δ'
ἐγώ, καὶ εἰς δέον ἔρχει τῷ λόγῳ· τῶν τοιούτων γάρ, οἶμαι,
δημιουργῶν καὶ ὁ ζωγράφος ἐστίν· ἦ γάρ; Πῶς γὰρ οὔ;
Ἀλλὰ φήσεις οὐκ ἀληθῆ, οἶμαι, αὐτὸν ποιεῖν ἃ ποιεῖ· καί-
τοι τρόπῳ γέ τινι καὶ ὁ ζωγράφος κλίνην ποιεῖ· ἢ οὔ;

*) γρ. θέλεις. **) ἴσ. πολλαχοῦ.
***) γρ. θέλεις. †) γρ. ἐλέγετο.

sequentes sectam rationemque? speciem videlicet unam quamque solemus ponere rerum quarumque multarum quibus idem nomen damus; an non intelligis? Intelligo. Sumamus igitur nunc quoque quamcumque volueris rerum multarum. velut, si vis, multi sunt lecti et mensae. Quidni? At species certe horum utensilium duae, lecti una, altera mensae. Etiam. Nonne etiam solemus dicere opificem utriusque rei ita fabricari unum lectos et alterum mensas quibus nos utamur ut speciem intueatur, et reliqua similiter? neque enim speciem ipsam fabricatur ullus opifex; quid enim? Nequaquam. At vide iam quo nomine huncce afficias opificem. Quemnam? Qui omnia facit quae singuli opifices. Excellentem quendam dicis et mirificum virum. Nondum vero, sed mox magis dices. idem enim hic opifex non solum omnia potest utensilia facere, verum etiam quae e terra nascuntur cuncta facit et animalia omnia facit, quum reliqua tum se ipsum, praetereaque terram et caelum et deos omniaque quae in caelo et apud inferos sub terra sunt facit. Sane quam admirabilem, inquit, dicis sophisten. Num dubitas? inquam. itaque dic mihi: omninone tibi non videtur esse talis opifex, an quodammodo esse posse horum omnium effector, quodammodo autem non posse? annon intelligis te ipsum quoque posse omnia haec facere aliqua certe ratione? At quaenam, inquit, haec ratio? Non difficilis, inquam, sed eiusmodi quae passim et cito fiat; citissime vero, ni fallor, si vis speculum sumere et ubique circumferre, statim solem facies et quae in caelo sunt, statim terram, statim vero etiam te ipsum et cetera animalia, et utensilia et plantas et omnia quae modo enumeravimus. Etiam, inquit, quae videntur, non revera sunt. Praeclare, inquam, et commode suscipis sermonem. huiusmodi enim, opinor, opificum etiam pictor est; nonne? Quidni? At dices non vera, opinor, eum facere quae faciat; quamquam quodam modo etiam pictor lectum

Ναί, ἔφη, φαινομένην γε καὶ οὗτος. Τί δὲ ὁ κλινοποιός; οὐκ ἄρτι * μέντοι ἔλεγες ὅτι οὐ τὸ εἶδος ποιεῖ ὃ δή φαμεν εἶναι ὃ ἔστι κλίνη, ἀλλὰ κλίνην τινά; Ἔλεγον γάρ. Οὐκοῦν, εἰ μὴ ὃ ἔστι ποιεῖ, οὐκ ἂν τὸ ὂν ποιοῖ, ἀλλά τι τοιοῦτον οἷον τὸ ὄν, ὂν δὲ οὔ, τελέως δὲ εἶναι ὂν τὸ τοῦ κλινουργοῦ ἔργον ἢ ἄλλου τινὸς χειροτέχνου εἴ τις φαίη, κινδυνεύει οὐκ ἂν ἀληθῆ λέγειν; Οὔκουν, ἔφη, ὥς γ' ἂν δόξειε τοῖς περὶ τοὺς τοιούςδε λόγους διατρίβουσιν. Μηδὲν ἄρα θαυμάζωμεν εἰ καὶ τοῦτο ἀμυδρόν τι τυγχάνει ὂν πρὸς ἀλήθειαν; *. Μὴ γάρ. Βούλει οὖν, ἔφην, ἐπ' αὐτῶν τούτων ζητήσωμεν τὸν μιμητὴν τοῦτον *) τίς ποτ' ἐστίν; Εἰ βούλει, ἔφη. Οὐκοῦν τριτταί τινες κλῖναι αὗται γίγνονται, μία μὲν ἡ ἐν τῇ φύσει οὖσα, ἣν φαῖμεν ἄν, ὡς ἐγῷμαι, θεὸν ἐργάσασθαι· ἢ τίνα **) ἄλλον; Οὐδένα, οἶμαι. Μία δέ γε ἣν ὁ τέκτων. Ναί, ἔφη. Μία δὲ ἣν ὁ ζωγράφος· ἢ γάρ; Ἔστω. Ζωγράφος δή, κλινοποιός, θεός, τρεῖς οὗτοι ἐπιστάται τρισὶν εἴδεσι κλινῶν. Ναὶ τρεῖς. Ὁ μὲν δὴ θεός, εἴτε * οὐκ ἐβούλετο εἴτε τις ἀνάγκη ἐπῆν μὴ πλέον ἢ μίαν ἐν τῇ φύσει ἀπεργάσασθαι αὐτὸν κλίνην, οὕτως ἐποίησε μίαν μόνην αὐτὴν ἐκείνην ὃ ἔστι κλίνη· δύο δὲ τοιαῦται ἢ πλείους οὔτε ἐφυτεύθησαν ὑπὸ τοῦ θεοῦ οὔτε μὴ φυῶσιν. Πῶς δή; ἔφη. Ὅτι, ἦν δ' ἐγώ, εἰ δύο μόνας ποιήσειε, πάλιν ἂν μία ἀναφανείη ἧς ἐκεῖναι ἂν αὖ ἀμφότεραι τὸ εἶδος ἔχοιεν, καὶ εἴη ἂν ὃ ἔστι κλίνη ἐκείνη, ἀλλ' οὐχ αἱ δύο. Ὀρθῶς, ἔφη. Ταῦτα δή, οἶμαι, εἰδὼς ὁ θεός, βουλόμενος * εἶναι ὄντως κλίνης ποιητὴς ὄντως οὔσης, ἀλλὰ μὴ κλίνης τινὸς μηδὲ κλινοποιός τις, μίαν φύσει αὐτὴν ἔφυσεν. Ἔοικεν. Βούλει οὖν τοῦτον μὲν φυτουργὸν τούτου προσαγορεύωμεν, ἤ τι τοιοῦτον; Δίκαιον γοῦν, ἔφη, ἐπειδήπερ φύσει γε καὶ τοῦτο καὶ τἄλλα πάντα πεποίηκεν. Τί δέ; τὸν τέκτονα ἆρ' οὐ δημιουργὸν κλίνης; Ναί. Ἦ καὶ τὸν ζωγράφον δημιουργὸν καὶ ποιητὴν τοῦ τοιούτου; Οὐδαμῶς.

597 B C D

*) γρ. τοῦτον.

**) ἴσ. ἢ τινα.

facit; nonne? Vero, inquit, hic quoque talem qui videtur. Quid vero qui lectos facit? nonne modo dicebas non speciem eum facere quam quidem lectum per se dicimus, sed lectum aliquem? Dicebam vero. Nonne, si non quod per se est facit, non quod vere est faciet, sed aliquid quod tale est quale id quod vere est, non quod vere est, perfecte autem esse lectorum fabricatoris opus vel alius cuiuspiam opificis manu quid facientis si quis dixerit, videtur non verum dicturus esse? Nullo modo, inquit, ut quidem videbitur eis qui huiusmodi in disputationibus versantur. Nihil igitur miremur si hoc quoque obscurum aliquid sit cum veritate collatum. Minime vero. Visne igitur, inquam, in his ipsis quaeramus quis tandem imitator sit? Si vis, inquit. Nonne tres sunt hi lecti, unus quidem is qui in natura exstat, quem dicemus, ut ego arbitror, deum fecisse; an alium quem censes? Nullum, inquit. Alter vero quem faber. Etiam, inquit. Et alter quem pictor; nonne? Esto. Pictor igitur, lecti fabricator, deus, tres hi praefecti tribus lectorum formis. Sane tres. Ac deus quidem, sive noluit sive necessitate aliqua coactus est non plures quam unum in natura conficere lectum, unum solum fabricatus est qui lectus est per se; duo vero huiusmodi vel plures neque procreati sunt a deo neque procreabuntur. Cur tandem? Quia, inquam, si duos solos fecisset, rursus unus compareret cuius utrique illi formam haberent, essetque lectus per se hic, non duo illi. Recte, inquit. Quae quidem, opinor, deus cognoscens, quum vellet veri lecti se verum fabricatorem esse, non lecti alicuius neque lecti fabricatorem aliquem, unum natura genuit. Patet. Visne igitur hunc quidem naturalem eius opificem appellemus vel tali aliquo nomine afficiamus? Par certe est, inquit, siquidem natura et hunc et reliqua omnia fecit. Quid vero? fabrum nonne lecti fabricatorem? Vero. Num etiam pictorem fabricatorem et effectorem eius rei? Minime. At quomodo eum

Ἀλλὰ τί αὐτὸν κλίνης φήσεις εἶναι; Τοῦτο, ἦ δ' ὅς, * ἔμοιγε δοκεῖ μετριώτατ' ἂν προσαγορεύεσθαι, μιμητὴς οὗ ἐκεῖνοι δημιουργοί. Εἶεν, ἦν δ' ἐγώ, τὸν τοῦ τρίτου ἄρα γεννήματος ἀπὸ τῆς φύσεως μιμητὴν καλεῖς; Πάνυ μὲν οὖν, ἔφη. Τοῦτ' ἄρα ἔσται καὶ ὁ τραγῳδοποιός, εἴπερ μιμητής ἐστι, τρίτος τις ἀπὸ βασιλέως καὶ τῆς ἀληθείας πεφυκώς, καὶ πάντες οἱ ἄλλοι μιμηταί. Κινδυνεύει. Τὸν μὲν δὴ μιμητὴν ὡμολογήκαμεν· εἰπὲ δέ μοι * περὶ τοῦ ζωγράφου τόδε· πότερα ἐκεῖνο αὐτὸ τὸ ἐν τῇ φύσει ἕκαστον δοκεῖ σοι ἐπιχειρεῖν μιμεῖσθαι, ἢ τὰ τῶν δημιουργῶν ἔργα; Τὰ τῶν δημιουργῶν, ἔφη. Ἆρα οἷα ἔστιν, ἢ οἷα φαίνεται; τοῦτο γὰρ ἔτι διόρισον. Πῶς λέγεις; ἔφη. Ὧδε· κλίνη, ἐάν τε ἐκ πλαγίου αὐτὴν θεᾷ ἐάν τε καταντικρὺ ἢ ὁπῃοῦν, μή τι διαφέρει αὐτὴ ἑαυτῆς, ἢ διαφέρει μὲν οὐδέν, φαίνεται δὲ ἀλλοία; καὶ τἆλλα ὡσαύτως; Οὕτως, ἔφη· φαίνεται, διαφέρει δ' οὐδέν. Τοῦτο * δὴ αὐτὸ σκόπει· πρὸς πότερον ἡ γραφικὴ πεποίηται περὶ ἕκαστον; πότερα πρὸς τὸ ὄν, ὡς ἔχει, μιμήσασθαι, ἢ πρὸς τὸ φαινόμενον, ὡς φαίνεται, φαντάσματος ἢ ἀληθείας οὖσα μίμησις; Φαντάσματος, ἔφη. Πόῤῥω που ἄρα τοῦ ἀληθοῦς ἡ μιμητική ἐστι, καί, ὡς ἔοικε, διὰ τοῦτο πάντα ἀπεργάζεται, ὅτι σμικρόν τι ἑκάστου ἐφάπτεται, καὶ τοῦτο εἴδωλον. οἷον ὁ ζωγράφος, φαμέν, ζωγραφήσει ἡμῖν σκυτοτόμον, τέκτονα, τοὺς ἄλλους δημιουργούς, περὶ * οὐδενὸς τούτων ἐπαΐων τῶν τεχνῶν· ἀλλ' ὅμως παῖδάς τε *) καὶ ἄφρονας ἀνθρώπους, εἰ ἀγαθὸς εἴη ζωγράφος, γράψας ἂν τέκτονα καὶ πόῤῥωθεν ἐπιδεικνὺς ἐξαπατῷ ἂν τῷ δοκεῖν ὡς ἀληθῶς τέκτονα εἶναι. Τί δ' οὔ; Ἀλλὰ γάρ, οἶμαι, ὦ φίλε, τόδε δεῖ περὶ πάντων τῶν τοιούτων διανοεῖσθαι, ἐπειδάν τις ἡμῖν ἀπαγγέλλῃ περί του, ὡς ἐνέτυχεν ἀνθρώπῳ πάσας ἐπισταμένῳ τὰς δημιουργίας καὶ τἆλλα πάντα, ὅσα εἷς ἕκαστος οἶδεν, οὐδὲν * ὅ τι οὐχὶ ἀκριβέστερον ὁτουοῦν ἐπισταμένῳ, ὑπολαμβάνειν δεῖ τῷ τοιούτῳ ὅτι εὐήθης τις ἄνθρωπος καί, ὡς ἔοικεν, ἐντυχὼν γόητί τινι καὶ μιμητῇ ἐξηπατήθη, ὥστε ἔδοξεν αὐτῷ πάνσοφος **) εἶναι, διὰ τὸ αὐτὸς μὴ οἷός τ' εἶναι ἐπιστήμην καὶ ἀνεπιστημοσύνην καὶ μίμησιν ἐξετάσαι. Ἀληθέστατα, ἔφη.

*) ἄλλ. γε. **) ἄλλ. πάσσοφος.

appellabis ratione lecti? Mihi quidem, inquit, videtur rectissime appellari imitator eius cuius illi opifices. Itane, inquam, tertii naturae operis imitatorem eum vocas? Sane quidem, inquit. Talis igitur erit etiam tragicus, siquidem imitator est, tertius aliquis a rege et veritate, omnesque reliqui imitatores. Videtur. De imitatore igitur inter nos convenimus; dic autem mihi de pictore hoc: utrum id ipsum quod in natura exstat tibi videtur ad imitandum sumere, an opificum opera? Opificum opera, inquit. Num qualia sint, an qualia videantur? hoc enim praeterea defini. Quomodo dicis? inquit. Ita: lectus, sive oblique eum spectas sive e regione sive quacumque ratione, numquid a semet ipso diversus est, an nihil differt, videtur autem alius? et reliqua similiter? Ita, inquit: videtur, differt autem nihil. Hoc igitur ipsum considera: utrum ars pingendi spectat in quaque re? huc, ut rem sicut sese habeat imitetur, an sicut videatur, ideoque visi, an veritatis est imitatio? Visi, inquit. Longe igitur a vero abest ars imitandi, et, ut videtur, hoc omnia conficit, quod exiquam cuiusque rei partem attingit idque simulacrum, velut pictor, dicimus, pinget nobis sutorem, fabrum reliquosque opifices, nullam harum artium intelligentiam habens; attamen pueros stolidosque homines, si bonus fuerit pictor pictumque fabrum eminus ostenderit, decipiet ut videatur eis revera faber esse. Quidni? At enim, opinor, amice, ita oportet nos de omnibus his sentire ut, si quis nobis nunciaverit, hominem se offendisse omnium peritum artium et reliquarum cunctarum rerum, quas singuli sciant, accuratius quam quemvis alium intelligentem, reponamus huic fatuum eum hominem esse, et, ut pateat, praestigiatorem aliquem quum invenerit atque imitatorem, deceptum esse adeo ut visus ei sit ille mirifica sapientia praeditus esse, propterea quod ipse non possit scientiam et inscientiam et imitationem explorare. Verissime, inquit.

Οὐκοῦν, ἦν δ' ἐγώ, μετὰ τοῦτο ἐπισκεπτέον τήν τε τραγῳδίαν καὶ τὸν ἡγεμόνα αὐτῆς Ὅμηρον, ἐπειδή τινων ἀκούομεν ὅτι οὗτοι πάσας μὲν τέχνας * ἐπίστανται, πάντα E δὲ τἀνθρώπεια τὰ πρὸς ἀρετὴν καὶ κακίαν, καὶ τά γε θεῖα· ἀνάγκη γὰρ τὸν ἀγαθὸν ποιητήν, εἰ μέλλει, περὶ ὧν ἂν ποιῇ, καλῶς ποιήσειν, εἰδότα ἄρα ποιεῖν, ἢ μὴ οἷόν τε εἶναι ποιεῖν. δεῖ δὴ ἐπισκέψασθαι πότερον μιμηταῖς τούτοις οὗτοι ἐντυχόντες ἐξηπάτηνται καὶ τὰ ἔργα αὐτῶν ὁρῶντες * οὐκ 599 αἰσθάνονται τριττὰ ἀπέχοντα τοῦ ὄντος καὶ ῥᾴδια ποιεῖν μὴ εἰδότι τὴν ἀλήθειαν (φαντάσματα γάρ, ἀλλ' οὐκ ὄντα ποιοῦσιν), ἤ τι καὶ λέγουσι καὶ τῷ ὄντι οἱ ἀγαθοὶ ποιηταὶ ἴσασι περὶ ὧν δοκοῦσι τοῖς πολλοῖς εὖ λέγειν. Πάνυ μὲν οὖν, ἔφη, ἐξεταστέον. Οἴει οὖν, εἴ τις ἀμφότερα δύναιτο ποιεῖν, τό τε μιμηθησόμενον καὶ τὸ εἴδωλον, ἐπὶ τῇ τῶν εἰδώλων δημιουργίᾳ ἑαυτὸν ἀφεῖναι ἂν σπουδάζειν καὶ τοῦτο προστήσασθαι τοῦ ἑαυτοῦ βίου ὡς * βέλτιστον *) ἔχοντα; B Οὐκ ἔγωγε. Ἀλλ' εἴπερ γε, οἶμαι, ἐπιστήμων εἴη τῇ ἀληθείᾳ τούτων πέρι ἅπερ καὶ μιμεῖται, πολὺ πρότερον ἐν τοῖς ἔργοις ἂν σπουδάσειεν ἢ ἐπὶ τοῖς μιμήμασι, καὶ πειρῷτο ἂν πολλὰ καὶ καλὰ ἔργα ἑαυτοῦ καταλιπεῖν μνημεῖα, καὶ εἶναι προθυμοῖτ' ἂν μᾶλλον ὁ ἐγκωμιαζόμενος ἢ ὁ ἐγκωμιάζων. Οἶμαι, ἔφη· οὐ γὰρ ἐξ ἴσου ἥ τε τιμὴ καὶ ἡ ὠφέλεια. Τῶν μὲν τοίνυν ἄλλων πέρι μὴ ἀπαιτῶμεν λόγον Ὅμηρον ἢ ἄλλον ὁντινοῦν τῶν ποιητῶν, * ἐρωτῶντες, εἰ C ἰατρικὸς ἦν τις αὐτῶν, ἀλλὰ μὴ μιμητὴς μόνον ἰατρικῶν λόγων (τίνας γὰρ **) ὑγιεῖς ποιητής τις τῶν παλαιῶν ἢ τῶν νέων λέγεται πεποιηκέναι, ὥσπερ Ἀσκληπιός, ἢ τίνας μαθητὰς ἰατρικῆς κατελίπετο, ὥσπερ ἐκεῖνος τοὺς ἐκγόνους;) μηδ' αὖ περὶ τὰς ἄλλας τέχνας αὐτοὺς ἐρωτῶμεν, ἀλλ' ἐῶμεν· περὶ δὲ ὧν μεγίστων τε καὶ καλλίστων ἐπιχειρεῖ λέγειν Ὅμηρος, πολέμων τε πέρι καὶ στρατηγιῶν καὶ διοικήσεων πόλεων καὶ * παιδείας πέρι ἀνθρώπων ***), δίκαιόν που ἐρωτᾶν D αὐτὸν πυνθανομένους Ὦ φίλε Ὅμηρε, εἴπερ μὴ τρίτος ἀπὸ

*) ἴσ. τὸ βέλτιστον.
**) ἄλλ. τίνας ὑγιεῖς.
***) γρ. ἀνθρώπου.

Itaque, inquam, deinde quaestionem haberi oportet de tragoedia eiusque duce Homero, quoniam e quibusdam audimus hos omnes scire artes omniaque tam humana ad virtutem et pravitatem spectantia quam divina; necesse est enim bonum poëtam, si velit ea quae faciat bene facere, scientem facere, aut non posse facere; oportet igitur indagari utrum imitatores hos illi invenientes decepti fuerint eorumque opera quum spectaverint non animadverterint tertio ea gradu distare ab eo quod vere sit et facilia esse ad faciendum veritatem ignoranti (visa enim, non vera fingunt), an aliquid dicant et revera boni poëtae intelligant ea de quibus videantur multitudini bene dicere. Sane quidem, inquit, explorandum. Iam existimas, si quis utrumque possit facere, et rem imitatione exprimendam et simulacrum, simulacrorum se confectioni dediturum studiose et hunc vitae suae finem esse propositurum quasi optimum nactus sit? Minime ego. Ac potius, si quidem, opinor, intelligens est revera eorum quae imitatur, multo prius ad opera studium conferet quam ad imitationes, conabitur multa praeclara sui relinquere monumenta, idque aget ut potius sit is qui celebretur quam is qui celebret. Arbitror, inquit; neque enim aequalis est honor et utilitas. Ac reliquorum quidem non reposcamus rationem ab Homero vel alio poëta, interrogantes an medicinae aliquis eorum peritus fuerit, non imitator tantum orationum medicarum (quos enim sanos poëta aliquis de veteribus vel recentioribus dicitur reddidisse, quemadmodum Aesculapius, vel quos discipulos in medicina reliquit, sicut ille posteros?), neque etiam de reliquis artibus eos interrogemus, sed sinamus; de rebus autem maximis et pulcherrimis de quibus conatur dicere Homerus, de bellis et partibus imperatoriis et rebus publicis administrandis et hominum institutione, par sine dubio est nos eum interrogare sciscitantes O care Homere, si non tertio gradu a veritate distas, quippe

τῆς ἀληθείας εἶ, ἀρετῆς πέρι εἰδώλου *) δημιουργός, ὃν δὴ μιμητὴν ὡρισάμεθα, ἀλλὰ καὶ δεύτερος, καὶ οἷός τε ἦσθα γιγνώσκειν ποῖα ἐπιτηδεύματα βελτίους ἢ χείρους ἀνθρώπους ποιεῖ ἰδίᾳ καὶ δημοσίᾳ, λέγε ἡμῖν τίς τῶν πόλεων διὰ σὲ βέλτιον ᾤκησεν, ὥσπερ διὰ Λυκοῦργον Λακεδαίμων καὶ δι' ἄλλους πολλοὺς πολλαὶ μεγάλαι * τε καὶ σμικραί; σὲ δὲ τίς E αἰτιᾶται πόλις νομοθέτην ἀγαθὸν γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Χαρώνδαν μὲν γὰρ Ἰταλία καὶ Σικελία, καὶ ἡμεῖς Σόλωνα· σὲ δὲ τίς; — ἕξει τινὰ εἰπεῖν; Οὐκ οἶμαι, ἔφη ὁ Γλαύκων· οὔκουν λέγεταί γε οὐδ' ὑπ' αὐτῶν Ὁμηριδῶν. Ἀλλὰ δή τις πόλεμος ἐπὶ Ὁμήρου * ὑπ' ἐκείνου ἄρχοντος ἢ 600 ξυμβουλεύοντος εὖ πολεμηθεὶς μνημονεύεται; Οὐδείς. Ἀλλ', οἷα δὴ τὰ ἔργα σοφοῦ ἀνδρός, πολλαὶ ἐπίνοιαι καὶ εὐμήχανοι εἰς τέχνας ἤ τινας ἄλλας πράξεις λέγονται, ὥσπερ αὖ Θάλεώ τε πέρι τοῦ Μιλησίου καὶ Ἀναχάρσιος τοῦ Σκύθου; Οὐδαμῶς τοιοῦτον οὐδέν. Ἀλλὰ δὴ εἰ μὴ δημοσίᾳ, ἰδίᾳ τισὶν ἡγεμὼν παιδείας αὐτὸς ζῶν λέγεται Ὅμηρος γενέσθαι, οἳ ἐκεῖνον ἠγάπων ἐπὶ ξυνουσίᾳ καὶ τοῖς ὑστέροις ὁδόν τινα * παρέδοσαν βίου Ὁμηρικήν, ὥσπερ Πυθαγόρας αὐτός τε B διαφερόντως ἐπὶ τούτῳ ἠγαπήθη, καὶ οἱ ὕστεροι ἔτι καὶ νῦν Πυθαγόρειον τρόπον ἐπονομάζοντες τοῦ βίου διαφανεῖς πῃ δοκοῦσιν εἶναι ἐν τοῖς ἄλλοις; Οὐδ' αὖ, ἔφη, τοιοῦτον οὐδὲν λέγεται· ὁ γὰρ Κρεώφυλος, ὦ Σώκρατες, ἴσως, ὁ τοῦ Ὁμήρου ἑταῖρος, τοῦ ὀνόματος ἂν γελοιότερος ἔτι πρὸς παιδείαν φανείη, εἰ τὰ λεγόμενα περὶ Ὁμήρου ἀληθῆ· λέγεται γὰρ ὡς πολλή τις ἀμέλεια περὶ * αὐτὸν ἦν ἐπ' αὐτοῦ**) ἐκεί- C νου, ὅτε ἔζη. Λέγεται γὰρ οὖν, ἦν δ' ἐγώ. ἀλλ' οἴει, ὦ Γλαύκων, εἰ τῷ ὄντι οἷός τ' ἦν παιδεύειν ἀνθρώπους καὶ βελτίους ἀπεργάζεσθαι Ὅμηρος, ἅτε περὶ τούτων οὐ μιμεῖσθαι, ἀλλὰ γιγνώσκειν δυνάμενος, οὐκ ἄρα ἂν πολλοὺς ἑταίρους ἐποιήσατο καὶ ἐτιμᾶτο καὶ ἠγαπᾶτο ὑπ' αὐτῶν, ἀλλὰ Πρωταγόρας μὲν ἄρα ὁ Ἀβδηρίτης καὶ Πρόδικος ὁ Κεῖος καὶ ἄλλοι πάμπολλοι δύνανται τοῖς ἐφ' ἑαυτῶν παριστάναι,

---

*) ἴσ ἀρετῆς εἰδώλου.
**) ἴσ. ἀπ' αὐτοῦ.

virtutis simulacri opifex, quem quidem imitatorem definivimus, sed secundo, et potes perspicere quaenam studia meliores aut deteriores homines efficiant tam privatim quam publice, dic nobis quaenam civitas tuo beneficio melius administrata fuerit, sicut per Lycurgum Lacedaemon et per alios multos multae et magnae et parvae? tu autem cuiusnam praedicaris civitatis legis lator bonus fuisse eiusque servisse commodis? Charondam enim Italia et Sicilia, et nos Solonem praedicamus, te autem quis? — num habebit quemquam dicere? Non puto, inquit Glauco; nec ab ipsis certe traditur Homeridis. Num vero bellum aliquod Homeri temporibus hoc ipso imperante vel consilium dante bene gestum narratur? Nullum. At, qualia videlicet sunt opera viri sapientis, multaene inventiones atque ingeniosae in artibus aliisque rebus gerendis memorantur, quemadmodum Thaletis Milesii et Anacharsis Scythae? Nequaquam vero tale quid. At vero si non publice, privatimne aliquibus moderator institutionis ipse dum vixit Homerus dicitur fuisse, qui eum dilexerint propter consuetudinem et posteris viam quandam vivendi tradiderint Homericam, quemadmodum Pythagoras et ipse prae ceteris hanc ob causam diligebatur, et posteri etiamnunc vitae rationem quam Pythagoream nominant sequentes illustres fere videntur esse inter reliquos? Neque etiam, inquit, hoc traditur; nam Creophylus sane, Socrate, Homeri ille amicus, cultu etiam magis ridiculus reperietur quam nomine, si quae de Homero narrantur vera sunt; dicitur enim admodum negligenter tractatus esse ab ipso illo dum viveret. Dicitur sane, inquam. at censes, Glauco, si revera potuisset excolere homines melioresque efficere Homerus, quippe eius rei non imitatione, sed cognitione valens, non multos sibi amicos comparaturum fuisse, a quibus honoraretur ac diligeretur, sed Protagoram quidem Abderiten et Prodicum Ceum aliosque permultos posse aequalibus suis persuadere pri-

ἰδίᾳ * ξυγγιγνόμενοι, ὡς οὔτε οἰκίαν οὔτε πόλιν τὴν αὑτῶν D
διοικεῖν οἷοί τ' ἔσονται, ἐὰν μὴ σφεῖς αὐτῶν ἐπιστατήσωσι
τῆς παιδείας, καὶ ἐπὶ ταύτῃ τῇ σοφίᾳ οὕτω σφόδρα φιλοῦν-
ται, ὥςτε μόνον οὐκ ἐπὶ ταῖς κεφαλαῖς περιφέρουσιν αὐ-
τοὺς οἱ ἑταῖροι, Ὅμηρον δ' ἄρα οἱ ἐπ' ἐκείνου, εἴπερ οἷός
τ' ἦν πρὸς ἀρετὴν ὀνῆσαι *) ἀνθρώπους, ἢ Ἡσίοδον ῥα-
ψῳδεῖν ἂν περιιόντας εἴων, καὶ οὐχὶ μᾶλλον ἂν αὐτῶν
ἀντείχοντο ἢ τοῦ χρυσοῦ καὶ ἠνάγκαζον παρὰ * σφί- E
σιν οἴκοι εἶναι, ἢ εἰ μὴ ἔπειθον, αὐτοὶ ἂν ἐπαιδαγώγουν
ὅπῃ ᾖεσαν, ἕως ἱκανῶς παιδείας μεταλάβοιεν; Παντάπασιν,
ἔφη, δοκεῖς μοι, ὦ Σώκρατες, ἀληθῆ λέγειν. Οὐκοῦν τιθῶ-
μεν ἀπὸ Ὁμήρου ἀρξαμένους πάντας τοὺς ποιητικοὺς μιμη-
τὰς εἰδώλων ἀρετῆς εἶναι καὶ τῶν ἄλλων περὶ ὧν ποιοῦσι,
τῆς δὲ ἀληθείας οὐχ ἅπτεσθαι, ἀλλ', ὥςπερ νῦν δὴ ἐλέγο-
μεν, ὁ ζωγράφος σκυτοτόμον ποιήσει δοκοῦντα * εἶναι, αὐ- 601
τός τε οὐκ ἐπαΐων περὶ τῆς σκυτοτομίας καὶ τοῖς μὴ
ἐπαΐουσιν, ἐκ τῶν χρωμάτων δὲ καὶ σχημάτων θεωροῦσιν;
Πάνυ μὲν οὖν. Οὕτω δή, οἶμαι, καὶ τὸν ποιητικὸν φήσο-
μεν χρώματ' ἄττα ἑκάστων τῶν τεχνῶν τοῖς ὀνόμασι καὶ
ῥήμασιν ἐπιχρωματίζειν αὐτὸν οὐκ ἐπαΐοντα ἀλλ' ἢ μιμεῖ-
σθαι, ὥςτε ἑτέροις τοιούτοις ἐκ τῶν λόγων θεωροῦσι [δο-
κεῖν], ἐάν τε περὶ σκυτοτομίας τις **) λέγῃ ἐν μέτρῳ καὶ
ῥυθμῷ καὶ ἁρμονίᾳ, πάνυ εὖ δοκεῖν λέγεσθαι, ἐάν τε περὶ
στρατηγίας ἐάν τε * περὶ ἄλλου ὁτουοῦν· οὕτω φύσει αὐτὰ B
ταῦτα μεγάλην τινὰ κήλησιν ἔχειν· ἐπεὶ γυμνωθέντα γε τῶν
τῆς μουσικῆς χρωμάτων τὰ τῶν ποιητῶν, αὐτὰ ἐφ' αὑτῶν
λεγόμενα, οἶμαί σε εἰδέναι οἷα φαίνεται· τεθέασαι γάρ που.
Ἔγωγ', ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, ἔοικε τοῖς τῶν ὡραίων
προσώποις, καλῶν δὲ μή, οἷα γίγνεται ἰδεῖν, ὅταν αὐτὰ τὸ
ἄνθος προλίπῃ; Παντάπασιν, ἦ δ' ὅς. Ἴθι δὴ τόδε ἄθρει·
ὁ τοῦ εἰδώλου ποιητής, ὁ μιμητής, φαμέν, τοῦ μὲν ὄντος
οὐδὲν ἐπαΐει, τοῦ δὲ φαινομένου· * οὐχ οὕτως; Ναί. Μὴ C
τοίνυν ἡμίσεως αὐτὸ καταλίπωμεν ῥηθέν, ἀλλ' ἱκανῶς ἴδω-
μεν. Λέγε, ἔφη. Ζωγράφος, φαμέν, ἡνίας τε γράψει καὶ

*) γρ. ὀνίναι. ἄλλ. ὀνῆναι. **) ἴσ. τι.

vata consuetudine, neque ad domum neque ad civitatem suam administrandam eos valituros esse nisi ipsi eorum institutioni praesint, et hanc propter sapientiam tantopere diligi, ut tantum non in capite eos circumferant amici, Homerum autem aequales, si potuisset ad virtutem adiuvare homines, vel Hesiodum carmina recitare oberrantes situros fuisse, ac non magis eos appetituros quam aurum et coacturos secum domi habitare, aut, si non persuasissent, ipsos sequuturos fuisse quo illi ivissent, dum satis disciplinae nacti fuissent? Prorsus, inquit, videris mihi, Socrate, vera dicere. Nonne igitur sumamus inde ab Homero omnes poëticos imitatores simulacra virtutis eorumque quae fingant adumbrare, veritatem autem non attingere, sed, ut modo dicebamus, pictor ipse artis sutrinae imperitus sutorem faciet qui videbitur esse artis sutrinae itidem imperitis, rem vero e coloribus et habitu spectantibus? Sane quidem. Ita igitur, opinor, etiam poëticum dicemus colores quosdam cuiusque artis nominibus et verbis inducere, licet ipse nihil sciat nisi imitari, ut aliis eiusdem generis hominibus e verbis rem spectantibus admodum bene videatur dictum esse, sive de arte sutrina aliquid exposuerit versibus, numero et harmonia, sive de arte imperatoria sive de alia quacumque re; tam magnam haec ipsa natura delectationem habere; quamquam poëtarum opera musicae coloribus nudata ipsa per se lecta arbitror te scire qualia videantur; cognovisti enim sine dubio. Ego vero, inquit. Nonne, inquam, similia sunt faciei florentium quidem, sed non pulchrorum, qualis quidem fit ad adspectum, quando flos eam deseruit? Prorsus, inquit. Agedum hoc specta: simulacri effector, imitator, dicimus, non id quod est cognoscit, sed id quod videtur; nonne ita? Etiam. Ne igitur ad dimidias id relinquamus dictum, sed satis videamus. Dic, inquit. Pictor, dicimus, habenas pinget et frenum? Vero. Conficiet

χαλινόν; Ναί. Ποιήσει δέ γε σκυτοτόμος καὶ χαλκεύς; Πάνυ γε. Ἆρ' οὖν ἐπαΐει οἵας δεῖ τὰς ἡνίας εἶναι καὶ τὸν χαλινὸν ὁ γραφεύς; ἢ οὐδ' ὁ ποιήσας ὅ τε χαλκεὺς καὶ ὁ σκυτεύς, ἀλλ' ἐκεῖνος ὅςπερ τούτοις ἐπίσταται χρῆσθαι, μόνος ὁ ἱππικός; Ἀληθέστατα. Ἆρ' οὖν οὐ περὶ πάντα οὕ-
τω φήσομεν ἔχειν; Πῶς; * Περὶ ἕκαστον ταύτας τινὰς τρεῖς D
τέχνας εἶναι, χρησομένην, ποιήσουσαν, μιμησομένην; Ναί. Οὐκοῦν ἀρετὴ καὶ κάλλος καὶ ὀρθότης ἑκάστου σκεύους καὶ ζώου καὶ πράξεως οὐ πρὸς ἄλλο τι ἢ τὴν χρείαν ἐστί, πρὸς ἣν ἂν ἕκαστον ᾖ πεποιημένον ἢ πεφυκός; Οὕτως. Πολλὴ ἄρα ἀνάγκη τὸν χρώμενον ἑκάστῳ ἐμπειρότατόν τε εἶναι καὶ ἄγγελον γίγνεσθαι τῷ ποιητῇ οἷα ἀγαθὰ ἢ κακὰ ποιεῖ ἐν τῇ χρείᾳ ᾧ χρῆται· οἷον αὐλητής που αὐλοποιῷ ἐξαγγελεῖ *) περὶ
τῶν αὐλῶν οἳ ἂν ὑπηρετῶσιν * ἐν τῷ αὐλεῖν, καὶ ἐπιτάξει E
οἵους δεῖ ποιεῖν, ὁ δ' ὑπηρετήσει **). Πῶς δ' οὔ; Οὐκοῦν ὁ μὲν εἰδὼς ἐξαγγελεῖ ***) περὶ χρηστῶν καὶ πονηρῶν αὐλῶν, ὁ δὲ πιστεύων ποιήσει; Ναί. Τοῦ αὐτοῦ ἄρα σκεύους ὁ μὲν ποιητὴς πίστιν ὀρθὴν ἕξει περὶ κάλλους τε καὶ πονη-
ρίας, ξυνὼν τῷ εἰδότι καὶ ἀναγκαζόμενος ἀκούειν * παρὰ 602
τοῦ εἰδότος, ὁ δὲ χρώμενος ἐπιστήμην. Πάνυ γε. Ὁ δὲ μιμητὴς πότερον ἐκ τοῦ χρῆσθαι ἐπιστήμην ἕξει ὧν ἂν γράφῃ, εἴτε καλὰ καὶ ὀρθὰ εἴτε μή, ἢ δόξαν ὀρθὴν διὰ τὸ ἐξ ἀνάγκης ξυνεῖναι τῷ εἰδότι καὶ ἐπιτάττεσθαι οἷα χρὴ γράφειν; Οὐδέτερα. Οὔτε ἄρα εἴσεται οὔτε ὀρθὰ δοξάσει ὁ μιμητὴς περὶ ὧν ἂν μιμῆται πρὸς κάλλος ἢ πονηρίαν. Οὐκ ἔοικεν. Χαρίεις ἂν εἴη ὁ ἐν τῇ ποιήσει †) μιμητικὸς πρὸς σο-
φίαν περὶ ὧν ἂν ποιῇ. Οὐ πάνυ. Ἀλλ' οὖν * δὴ ὅμως B
γε μιμήσεται, οὐκ εἰδὼς περὶ ἑκάστου ὅπῃ πονηρὸν ἢ χρηστόν, ἀλλ', ὡς ἔοικεν, οἷον φαίνεται καλὸν εἶναι τοῖς πολλοῖς τε καὶ μηδὲν εἰδόσι, τοῦτο μιμήσεται. Τί γὰρ ἄλλο; Ταῦτα μὲν δή, ὥς γε φαίνεται, ἐπιεικῶς ἡμῖν διωμολόγηται, τόν τε μιμητικὸν μηδὲν εἰδέναι ἄξιον λόγου περὶ ὧν μιμεῖται, ἀλλ' εἶναι παιδιάν τινα καὶ οὐ σπουδὴν τὴν μίμησιν,

---

*) γρ. ἐξαγγέλλει.

**) γρ. ὁ δ' ὑπηρέτης οὔ.

***) γρ. ἐξαγγέλλει.

†) γρ. μιμήσει.

autem ea futor et faber ferrarius? Sane quidem. Num igitur fcit quales oporteat habenas effe et frenum pictor? an nec fabricator faber aerarius et futor, fed is qui illis poteft uti, folus rei equeftris peritus? Veriffime. Nonne igitur in omnibus ita dicemus fe rem habere? Quomodo? In unaquaque re has tres artes effe, ufuram, confecturam, imitaturam? Etiam. Nonne igitur virtus et pulchritudo et recta ratio cuiusque supellectilis et animalis et actionis nihil aliud fpectat nifi ufum, ad quem quodque factum eft vel natum? Ita. Prorfus ergo neceffe eft eum qui quoque ufurus fit peritiffimum effe et nunciare poffe fabricatori quae bona et mala faciat ad ufum eius quo utatur; velut tibicen, ni fallor, ei qui tibias facit indicabit quaenam tibiae ferviant tibiarum cantui, et mandabit quales eum oporteat facere, hic vero mandata perfequetur. Quidni? Nonne ille quidem fciens indicabit quae bonae et malae tibiae, hic vero fidem habens faciet? Etiam. Eiusdem igitur fupellectilis fabricator fidem rectam habebit de pulchritudine et pravitate, utens fciente et coactus audire e fciente, is vero qui eam adhibet fcientiam. Sane quidem. Imitator vero utrum ex ufu fcientiam habebit eorum quae pinget, pulchra et recta an fecus fint, an opinionem rectam, propterea quod coactus eft uti fciente et mandatur ei qualia eum oporteat pingere? Neutrum. Neque igitur fciet neque recte opinabitur imitator de iis quae imitabitur quod ad pulchritudinem vel pravitatem attinet. Non videtur. Scitus erit qui rem effectam imitatur quod ad fapientiam earum rerum attinet quas fingit. Haud fane. Verumtamen imitabitur, nefciens quatenus quidque pravum vel bonum fit, fed, ut patet, quod vifum fuerit pulchrum multitudini nullamque rei fcientiam habentibus, id imitabitur. Quid enim aliud? Hoc igitur, ut videtur, fatis inter nos convenit, et imitantem nihil fcire quod operae pretium fit de eis quae imitetur, fed ludum quendam effe, non fe-

τούς τε τῆς τραγικῆς ποιήσεως ἁπτομένους ἐν ἰαμβείοις καὶ ἐν ἔπεσι πάντας εἶναι μιμητικοὺς ὡς οἷόν τε μάλιστα. Πάνυ μὲν οὖν.

* Πρὸς Διός, ἦν δ' ἐγώ, τὸ δὲ *) μιμεῖσθαι τοῦτο οὐ C περὶ τρίτον μέν τι **) ἐστιν ἀπὸ τῆς ἀληθείας; ἢ γάρ; Ναί. Πρὸς δὲ δὴ ποῖόν τί ἐστι τῶν τοῦ ἀνθρώπου ἔχον τὴν δύναμιν ἣν ἔχει; Τοῦ ποίου τινὸς πέρι λέγεις; Τοῦ τοιοῦδε. ταὐτόν που ἡμῖν μέγεθος ἐγγύθεν τε καὶ πόῤῥωθεν διὰ τῆς ὄψεως οὐκ ἴσον φαίνεται. Οὐ γάρ. Καὶ τὰ ***) καμπύλα τε καὶ εὐθέα ἐν ὕδατί τε θεωμένοις καὶ ἔξω, καὶ κοῖλά τε δὴ καὶ ἐξέχοντα διὰ τὴν περὶ τὰ χρώματα αὖ πλάνην τῆς ὄψεως, καὶ πᾶσά τις * ταραχὴ δήλη ἡμῖν ἐνοῦσα αὕτη ἐν D τῇ ψυχῇ· ᾧ δὴ ἡμῶν τῷ παθήματι τῆς φύσεως ἡ σκιαγραφία ἐπιθεμένη γοητείας οὐδὲν ἀπολείπει, καὶ ἡ θαυματοποιία καὶ ἄλλαι πολλαὶ τοιαῦται μηχαναί. Ἀληθῆ. Ἆρ' οὖν οὐ τὸ μετρεῖν καὶ ἀριθμεῖν καὶ ἱστάναι βοήθειαι χαριέσταται πρὸς αὐτὰ ἐφάνησαν, ὥστε †) μὴ ἄρχειν ἐν ἡμῖν τὸ φαινόμενον μεῖζον ἢ ἔλαττον ἢ πλέον ἢ βαρύτερον, ἀλλὰ τὸ λογισάμενον καὶ μετρῆσαν ἢ καὶ στῆσαν; Πῶς γὰρ οὔ; * Ἀλλὰ μὴν τοῦτό γε τοῦ λογιστικοῦ ἂν εἴη τοῦ ἐν ψυχῇ E ἔργον. Τούτου γὰρ οὖν. Τούτῳ δὲ ††) πολλάκις μετρήσαντι καὶ σημαίνοντι μείζω ἄττα εἶναι ἢ ἐλάττω ἕτερα ἑτέρων ἢ ἴσα, τἀναντία φαίνεται ἅμα περὶ ταὐτά. Ναί. Οὐκοῦν ἔφαμεν τῷ αὐτῷ ἅμα περὶ ταὐτὰ ἐναντία δοξάζειν ἀδύνατον εἶναι; Καὶ ὀρθῶς γ' ἔφαμεν. * Τὸ πα- 603 ρὰ τὰ μέτρα ἄρα δοξάζον τῆς ψυχῆς τῷ κατὰ τὰ μέτρα οὐκ ἂν εἴη ταὐτόν. Οὐ γὰρ οὖν. Ἀλλὰ μὴν τὸ μέτρῳ γε καὶ λογισμῷ πιστεῦον βέλτιστον ἂν εἴη τῆς ψυχῆς. Τί μήν; Τὸ ἄρα τούτῳ ἐναντιούμενον τῶν φαύλων ἄν τι εἴη ἐν ἡμῖν. Ἀνάγκη. Τοῦτο τοίνυν διομολογήσασθαι βουλόμενος ἔλεγον ὅτι ἡ γραφικὴ καὶ ὅλως ἡ μιμητικὴ πόῤῥω μὲν τῆς ἀληθείας οὖσα τὸ αὑτῆς ἔργον ἀπεργάζεται, πόῤῥω δ' αὖ φρονήσεως * ὄντι τῷ ἐν ἡμῖν προσομιλεῖ τε καὶ ἑταίρα καὶ B φίλη ἐστὶν ἐπ' οὐδενὶ ὑγιεῖ οὐδ' ἀληθεῖ. Παντάπασιν, ἦ δ' ὅς. Φαύλη ἄρα φαύλῳ ξυγγιγνομένη φαῦλα γεννᾷ ἡ μι-

*) ἀλλ. δὲ δή. **) ἴσ μέντοι. ***) ἄλλ. ταὐτά.
†) γρ. ὥς γε. ††) γρ. δή.

riam occupationem imitationem, et eos qui tragicam poësin attingant iambicis et herois versibus omnes esse imitatores quam maxime fieri possit. Sane quidem.

At hercle, inquam, imitari illud nonne tertium fere est a veritate? an non ita? Ita. Ad quamnam vero rerum humanarum vim habet quam habet? De quo rogas? De hoc. eadem nobis magnitudo cominus et eminus spectata non aequalis videtur. Minime vero. Nec curva et recta tam in aqua spectantibus quam extra, neque etiam cava et eminentia propter visus in coloribus errorem, et universam hanc liquet perturbationem inesse in animo nostro; in quam quidem naturae nostrae affectionem pictura quae verum simulat invadens praestigiarum nihil praetermittit et ars miraculis decipiendi et aliae multae huiusmodi machinationes. Vera. Nonne autem metiendi et numerandi et ponderandi artes subsidia bellissima illis repertae sunt, ut ne imperet in nobis id quod videatur maius vel minus vel plus vel gravius, sed id quod numeret et metiatur et ponderet? Quidni? Atqui hoc eius animi partis opus erit quae rationis est particeps. Eius vero. Huic autem licet saepius mensa sit et significet maiora esse vel minora alia aliis aut aequalia, contraria videntur simul de rebus eisdem. Etiam. Nonne vero diximus fieri non posse ut eadem animi parte simul de eisdem contraria quis opinetur? Ac certe quidem id diximus. Ea igitur animi pars quae contra mensuram opinatur non eadem erit atque ea quae secundum mensuram. Non erit. Iam vero ea quae metiendo et ratiocinando confidit optima erit animi nostri pars. Quidni? Ea igitur quae huic repugnat vllium aliqua erit in nobis partium. Necessario. Hoc ipsum vero ut inter nos conveniret dicebam artem pingendi et in universum imitandi procul a veritate remotam opus suum facere, parte a prudentia procul remota uti eique sociam et amicam esse nihil probi nec veri spectantem. Prorsus, inquit. Vilis ergo vili utens vilia procreat ars

μητική. Ἔοικεν. Πότερον, ἦν δ' ἐγώ, ἡ κατὰ τὴν ὄψιν μόνον, ἢ καὶ ἡ κατὰ τὴν ἀκοήν, ἣν δὴ ποίησιν ὀνομάζομεν; Εἰκός γ', ἔφη, καὶ ταύτην. Μὴ τοίνυν, ἦν δ' ἐγώ, τῷ εἰκότι μόνον πιστεύσωμεν ἐκ τῆς γραφικῆς, ἀλλὰ καὶ ἐπ' αὐτὸ αὖ ἔλθωμεν τῆς * διανοίας τοῦτο ᾧ προσομιλεῖ C ἡ τῆς ποιήσεως μιμητική, καὶ ἴδωμεν, φαῦλον ἢ σπουδαῖόν ἐστιν. Ἀλλὰ χρή. Ὧδε δὴ προθώμεθα. πράττοντας, φαμέν, ἀνθρώπους μιμεῖται ἡ μιμητικὴ βιαίους ἢ ἑκουσίας πράξεις, καὶ ἐκ τοῦ πράττειν ἢ εὖ οἰομένους ἢ κακῶς πεπραγέναι, καὶ ἐν τούτοις δὴ πᾶσιν ἢ λυπουμένους ἢ χαίροντας. μή τι ἄλλο ἦν *) παρὰ ταῦτα; Οὐδέν. Ἆρ' οὖν ἐν ἅπασι τούτοις ὁμονοητικῶς ἄνθρωπος διάκειται; * ἢ ὥσπερ D κατὰ τὴν ὄψιν ἐστασίαζε καὶ ἐναντίας εἶχεν ἐν ἑαυτῷ δόξας ἅμα περὶ τῶν αὐτῶν, οὕτω καὶ ἐν ταῖς πράξεσι στασιάζει τε καὶ μάχεται αὐτὸς αὑτῷ; ἀναμιμνήσκομαι δὲ ὅτι τοῦτό γε νῦν οὐδὲν δεῖ ἡμᾶς διομολογεῖσθαι· ἐν γὰρ τοῖς ἄνω λόγοις ἱκανῶς πάντα ταῦτα διωμολογησάμεθα, ὅτι μυρίων τοιούτων ἐναντιωμάτων ἅμα γιγνομένων **) ἡ ψυχὴ γέμει ἡμῶν. Ὀρθῶς, ἔφη. Ὀρθῶς γάρ, ἦν δ' ἐγώ· ἀλλ' ὃ τότε ἀπελίπομεν, * νῦν μοι δοκεῖ ἀναγκαῖον εἶναι διεξελ- E θεῖν. Τὸ ποῖον; ἔφη. Ἀνήρ, ἦν δ' ἐγώ, ἐπιεικὴς τοιᾶσδε τύχης μετασχών, υἱὸν ἀπολέσας ἤ τι ἄλλο ὧν περὶ πλείστου ποιεῖται, ἐλέγομέν που καὶ τότε ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. Πάνυ γε. Νῦν δέ γε τόδε ἐπισκεψώμεθα, πότερον οὐδὲν ἀχθέσεται, ἢ τοῦτο μὲν ἀδύνατον, μετριάσει δέ πως πρὸς λύπην. Οὕτω μᾶλλον, ἔφη, τό γε ἀληθές. * Τόδε ***) νῦν μοι 604 περὶ αὐτοῦ εἰπέ· πότερον μᾶλλον αὐτὸν οἴει τῇ λύπῃ μαχεῖσθαί τε καὶ ἀντιτενεῖν †), ὅταν ὁρᾶται ὑπὸ τῶν ὁμοίων, ἢ ὅταν ἐν ἐρημίᾳ μόνος αὐτὸς καθ' αὑτὸν γίγνηται; Πολύ που, ἔφη, διοίσει ὅταν ὁρῶται. Μονωθεὶς δέ γε, οἶμαι, πολλὰ μὲν τολμήσει φθέγξασθαι, ἃ εἴ τις αὐτοῦ ἀκούοι αἰσχύνοιτ' ἄν, πολλὰ δὲ ποιήσει ἃ οὐκ ἂν δέξαιτό τινα ἰδεῖν δρῶντα. Οὕτως ἔχει, ἔφη. Οὐκοῦν τὸ μὲν ἀντιτείνειν διακελευόμενον λόγος καὶ νόμος ἐστί, τὸ δὲ ἕλκον * ἐπὶ τὰς B

*) γρ. ἤ, ἄλλ. ᾖ. **) γρ. ἐναντ. γιγνομένων.
***) γρ. Τὸ δέ. †) γρ. ἀντιτείνειν.

imitandi. Videtur. Utrum, inquam, ea tantum quae ad visum spectat, an ea quoque quae ad auditum, quam quidem poësin vocamus? Videtur sane, inquit, haec quoque. Nec tamen, inquam, ei tantum confidamus quod videtur ex arte pingendi, sed ad ipsam hanc animi partem pergamus qua utitur poëtica imitatio, et videamus vile an laudabile sit. Oportet sane. Ita igitur consideremus. agentes, dicimus, homines imitatur ars imitandi vi vel sponte indeque arbitrantes vel secundam vel adversam sibi fortunam obtigisse, atque etiam his omnibus aut dolentes aut gaudentes. numquid alio se modo res habet quam hoc? Nullo alio. Utrum igitur in omnibus his concordi homo est animo? an quemadmodum ad visum dissidet et contrarias in se habet opiniones simul de eisdem, ita etiam in actionibus dissidet ipseque secum pugnat? memini autem hoc nunc inter nos conveniat non oportere; supra enim satis omnia haec inter nos convenerunt, innumerabilibus eiusmodi repugnantiis simul exsistentibus plenum esse animum nostrum. Recte, inquit. Recte vero, inquam, sed quod tunc praetermisimus, id nunc mihi videtur exponendum esse. Quidnam? inquit. Virum, inquam, modestum hac calamitate afflictum ut filium perdiderit vel aliud quid eorum quae plurimi faceret, diximus tunc quoque prae ceteris id facile laturum esse. Sane quidem. Nunc vero hoc quaeramus, utrum nihil doliturus sit, an hoc quidem fieri nequeat, moderaturus autem fere sit dolori. Ita magis, inquit, verum. Hoc nunc mihi de eo dic: utrum magis censes fore ut dolori repugnet et resistat quum conspiciatur a similibus, an quum in solitudine per se ipse versetur? Multum sane, inquit, differet quum conspiciatur. Desertus autem quum erit, opinor, multa sustinebit proferre, quorum si quis audiret ipsum puderet, multa quoque faciet quae se facientem non cuperet a quoquam videri. Ita habet, inquit. Nonne id quod ut resistamus cohortatur ratio et lex est, id vero

λύπας αὐτὸ τὸ πάθος; Ἀληθῆ. Ἐναντίας δὲ δὴ *) ἀγωγῆς B
γιγνομένης ἐν τῷ ἀνθρώπῳ περὶ τὸ αὐτὸ ἅμα δύο φαμὲν
αὐτῷ ἀναγκαῖον εἶναι **). Πῶς δ' οὔ; Οὐκοῦν τὸ μὲν ἕτε-
ρον τῷ νόμῳ ἕτοιμον πείθεσθαι, ᾗ ὁ νόμος ἐξηγεῖται; Πῶς;
Λέγει που ὁ νόμος ὅτι κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν
ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος
τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων, οὔτε εἰς τὸ πρόσ-
θεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀν-
θρωπίνων * ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ τε δεῖ ἐν αὐτοῖς C
ὅτι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον
τὸ λυπεῖσθαι. Τίνι, ἦ δ' ὅς, λέγεις; Τῷ βουλεύεσθαι, ἦν
δ' ἐγώ, περὶ τὸ γεγονὸς καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς
τὰ πεπτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγματα, ὅπῃ ὁ λόγος αἱ-
ρεῖ βέλτιστ' ἂν ἔχειν, ἀλλὰ μὴ προσπταίσαντας, καθάπερ
παῖδας, ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν, ἀλλ'
ἀεὶ ἐθίζειν τὴν ψυχὴν ὅτι τάχιστα γίγνεσθαι πρὸς * τὸ D
ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρι-
κῇ τὴν θρηνῳδίαν ***) ἀφανίζοντα. Ὀρθότατα γοῦν ἄν τις,
ἔφη, πρὸς τὰς τύχας οὕτω προσφέροιτο. Οὐκοῦν, φαμέν,
τὸ μὲν βέλτιστον τούτῳ τῷ λογιστικῷ ἐθέλει ἕπεσθαι; Δῆλον
δή. Τὸ δὲ πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ πρὸς
τοὺς ὀδυρμοὺς ἄγον καὶ ἀπλήστως ἔχον αὐτῶν ἆρ' οὐκ ἀλό-
γιστόν τε φήσομεν εἶναι καὶ ἀργὸν καὶ δειλίας φίλον; Φήσομεν
μὲν οὖν. Οὐκοῦν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην * ἔχει, τὸ E
ἀγανακτητικόν †), τὸ δὲ φρόνιμόν τε καὶ ἡσύχιον ἦθος, παρα-
πλήσιον ὂν ἀεὶ αὐτὸ αὑτῷ, οὔτε ῥᾴδιον μιμήσασθαι οὔτε μιμούμε-
νον εὐπετὲς καταμαθεῖν, ἄλλως τε καὶ πανηγύρει καὶ παντοδαποῖς
ἀνθρώποις εἰς θέατρα ξυλλεγομένοις; ἀλλοτρίου γάρ που πά-
θους ἡ μίμησις αὐτοῖς γίγνεται. * Παντάπασιν μὲν οὖν. 605
Ὁ δὴ μιμητικὸς ποιητὴς δῆλον ὅτι οὐ πρὸς τὸ τοιοῦτον
τῆς ψυχῆς πέπηγε καὶ ἡ σοφία αὐτοῦ τούτῳ ἀρέσκειν πέ-
φυκεν ††), εἰ μέλλει εὐδοκιμήσειν ἐν τοῖς πολλοῖς, ἀλλὰ

---

*) γρ. δέ. **) ἄλλ. δύο τινέ φαμεν ἐν αὐτῷ ἀναγκ. εἶναι. ἴσ. ἅμα δύο, φαμέν, ἐν αὐτῷ ἀναγκαῖον εἶναι. ***) γρ. νοσῆσαν, θρηνῳδίαν. †) γρ. ἀγανακτικόν. ††) γρ. ψυχῆς πέφυκέ γε — ἀρέσκειν πέπηγεν.

quod trahit ad dolores ipsa affectio? Vera. Contrarius autem quum ductus in homine exsistat de eodem duo simul dicimus necessario in eo esse. Quidni? Nonne unum paratum est legi obtemperare quomodo lex praescribit? Quomodo? Dicit videlicet lex pulcherrimum esse quam maxime tranquillo esse animo in rebus adversis nec aegre ferre, quum neque liqueat num quid boni an mali sit in eis quae acciderint, neque amplius quid proficiat qui moleste illa ferat, neque rerum humanarum quaequam magno sit studio digna, ei denique quod in hac causa quam celerrime nobis debeat praesto esse, impedimento sit dolor. Quidnam, inquit, hoc dicis? Deliberationem, inquam, de eo quod factum est, ut sicut in tesserarum iactu prout ceciderunt tali res tuas disponas, quomodo ratio doeet optime se habituras esse, non, si offenderis, sicut pueri, manu tenens partem percussam in clamore tollendo perseveres, sed semper adsuefacias animum quam primum se convertere ad sanandum et erigendum id quod lapsum morboque affectum est, medicina lamentationem exstinguens. Rectissime sane quis, inquit, adversum fortunas ita sese exhibebit. Nonne, dicimus, optimum quidem huic animi parti quae mentis et consili est quin obtemperet non recusat? Liquet vero. Illud autem quod ad recordationes casus et ad luctus ducit eisque satiari nequit, nonne rationis expers dicemus esse et segue et ignaviae amicum? Dicemus vero. Nonne querulum illud multam imitationem atque variam admittit, prudens vero et tranquillus animus, qui semper aequabilem se praebet, neque facilis est ad imitandum neque imitando expressus proclivis perspectu, praesertim festo coetui hominibusque omnis generis ad theatra confluentibus? alienae enim affectionis haec eis imitatio contingit. Prorsus sic se habet. Poëtam igitur imitantem patet non in hanc animi partem mentem defigere nec sapientiam eius ita comparatam esse ut huic placeat, si laudem assequuturus sit

πρὸς τὸ ἀγανακτητικόν τε καὶ ποικίλον ἦθος διὰ τὸ εὐμίμητον εἶναι. Δῆλον. Οὐκοῦν δικαίως ἂν αὐτοῦ ἤδη ἐπιλαμβανοίμεθα, καὶ τιθεῖμεν ἀντίστροφον αὐτὸν τῷ ζωγράφῳ· καὶ γὰρ τῷ φαῦλα ποιεῖν πρὸς ἀλήθειαν ἔοικεν αὐτῷ, καὶ τῷ πρὸς ἕτερον τοιοῦτον ὁμιλεῖν τῆς * ψυχῆς, ἀλλὰ μὴ B πρὸς τὸ βέλτιστον, καὶ ταύτῃ ὡμοίωται· καὶ οὕτως ἤδη ἂν ἐν δίκῃ οὐ παραδεχοίμεθα εἰς μέλλουσαν εὐνομεῖσθαι πόλιν, ὅτι τοῦτ' ἐγείρει τῆς ψυχῆς καὶ τρέφει καὶ ἰσχυρὸν ποιῶν *) ἀπόλλυσι τὸ λογιστικόν· ὥσπερ ἐν πόλει, ὅταν τις μοχθηροὺς ἐγκρατεῖς ποιῶν παραδιδῷ τὴν πόλιν, τοὺς δὲ χαριεστέρους φθείρῃ, ταὐτὸν καὶ τὸν μιμητικὸν ποιητὴν φήσομεν κακὴν πολιτείαν ἰδίᾳ ἑκάστου τῇ ψυχῇ ἐμποιεῖν, τῷ ἀνοήτῳ αὐτῆς χαριζόμενον καὶ οὔτε τὰ μείζω * οὔτε τὰ ἐλάττω διαγιγνώ- C σκοντι, ἀλλὰ τὰ αὐτὰ τοτὲ μὲν μεγάλα ἡγουμένῳ, τοτὲ δὲ σμικρά, εἴδωλα εἰδωλοποιοῦντι, τοῦ δὲ ἀληθοῦς πόῤῥω πάνυ ἀφεστῶτι **). Πάνυ μὲν οὖν.

Οὐ μέντοι πω τό γε μέγιστον κατηγορήκαμεν αὐτῆς· τὸ γὰρ καὶ τοὺς ἐπιεικεῖς ἱκανὴν εἶναι λωβᾶσθαι, ἐκτὸς πάνυ τινῶν ὀλίγων, πάνδεινόν που. Τί δ' οὐ μέλλει, εἴπερ γε δρᾷ αὐτό; Ἀκούων σκόπει· οἱ γάρ που βέλτιστοι ἡμῶν ἀκροώμενοι Ὁμήρου ἢ καὶ ἄλλου τινὸς τῶν τραγῳδοποιῶν * μιμουμένου τινὰς τῶν ἡρώων ἐν πένθει ὄντας καὶ μακρὰν D ῥῆσιν ἀποτείνοντας †) ἐν τοῖς ὀδυρμοῖς ἢ καὶ ᾄδοντάς ††) τε καὶ κοπτομένους, οἶσθ' ὅτι χαίρομέν τε καὶ ἐνδόντες ἡμᾶς αὐτοὺς ἑπόμεθα, ξυμπάσχοντές τε καὶ σπουδάζοντες ἐπαινοῦμεν ὡς ἀγαθὸν ποιητὴν ὃς ἂν ἡμᾶς ὅτι μάλιστα οὕτω διαθῇ. Οἶδα· πῶς δ' οὔ; Ὅταν δὲ οἰκεῖόν τινι ἡμῶν κῆδος γένηται, ἐννοεῖς αὖ ὅτι ἐπὶ τῷ ἐναντίῳ καλλωπιζόμεθα, ἂν δυνώμεθα ἡσυχίαν ἄγειν καὶ καρτερεῖν, * ὡς τοῦτο E μὲν ἀνδρὸς ὄν, ἐκεῖνο δὲ γυναικός, ὃ τότε ἐπῃνοῦμεν. Ἐννοῶ, ἔφη. Ἦ καλῶς οὖν, ἦν δ' ἐγώ, οὗτος ὁ ἔπαινος ἔχει, τὸ ὁρῶντα τοιοῦτον ἄνδρα, οἷον ἑαυτόν τις μὴ ἀξιοῖ

---

*) γρ. ποιοῦν. **) ἴσ. εἰδωλοποιοῦντα — ἀφεστῶτα.
†) ἄλλ. τινὰ — ὄντα — ἀποτείνοντα. ††) ἴσ. κλάοντάς.

apud multitudinem, sed in querulos et varios mores, quia faciles sunt ad imitandum. Patet vero. Recte igitur eum iam reprehendemus et ex altera parte ponemus pictori respondere; nam in eo quod vilia fingit ad veritatem similis est illius, et quod consuetudo ipsi est cum animi parte similiter affecta, et non cum optima, etiam in hoc eius similis est; et hac quidem ratione iure iam non recipiemus eum civitate quae futura sit bene constituta, quoniam hanc animi partem excitat et alit eamque corroborans perdit hanc quae rationis et consili est. quemadmodum enim in civitate, quum quis improbos potentes reddit eisque civitatem committit, scitiores autem perdit, eodem modo etiam poëtam in imitatione versantem dicemus pravam civitatem separatim in cuiusque animo iniicere, insipienti eius parti indulgentem, quae quidem neque maiora neque minora discernit, sed eadem modo pro magnis habet modo pro parvis, simulacra fingentem, a vero autem sane longe remotum. Sane quidem.

Nondum autem poësin in eo quod maximum est accusavimus; hoc enim quod etiam ad modestos valet depravandos, perpaucis quibusdam exceptis, gravissimum sane. Quidni, siquidem hoc committit? Accipe et perpende. etenim optimos nostrûm audientes Homerum vel etiam alium quem tragicorum imitantem aliquos heroum in luctu versantes longasque lamentationes proferentes vel etiam plorantes et plangentes, scis gaudio affici, se dedentes sequi et condolescentes, idque serio, et studiose laudare ut bonum poëtam quicumque nos quam maxime ita afficiat. Scio: quidni? Quando vero aliquis nostrûm in propriam quandam aegritudinem inciderit, animadvertis eum in contrario se iactare, si possit tranquillus esse sibique temperare, quippe hoc virile existimantem, illud vero quod tum laudabamus muliebre. Animadverto, inquit. Num igitur, inquam, recte habet haec laudatio, si quis eiusmodi virum videns, qua-

εἶναι, ἀλλ' αἰσχύνοιτο ἄν, μὴ βδελύττεσθαι, ἀλλὰ χαίρειν τε καὶ ἐπαινεῖν; Οὐ μὰ τὸν Δί', ἔφη, οὐκ εὐλόγῳ ἔοικεν. * Ναί, ἦν δ' ἐγώ, εἰ ἐκείνῃ γ' αὐτὸ σκοποίης. Πῇ; Εἰ ἐνθυ- 606
μοῖο ὅτι τὸ βίᾳ κατεχόμενον τότε ἐν ταῖς οἰκείαις ξυμφοραῖς καὶ πεπεινηκὸς τοῦ δακρῦσαί τε καὶ ἀποδύρασθαι ἱκανῶς καὶ ἀποπλησθῆναι, φύσει ὂν τοιοῦτον οἷον τούτων ἐπιθυμεῖν, τότ' ἐστὶ τοῦτο τὸ ὑπὸ τῶν ποιητῶν πιμπλάμενον καὶ χαῖρον, τὸ δὲ φύσει βέλτιστον ἡμῶν, ἅτε οὐχ ἱκανῶς πεπαιδευμένον λόγῳ οὐδὲ ἔθει, ἀνίησι τὴν φυλακὴν τοῦ θρηνώδους τούτου, ἅτε ἀλλότρια * πάθη θεωροῦν καὶ ἑαυ- B
τῷ οὐδὲν αἰσχρὸν ὄν, εἰ ἄλλος ἀνὴρ ἀγαθὸς φάσκων εἶναι ἀκαίρως πενθεῖ, τοῦτον ἐπαινεῖν καὶ ἐλεεῖν, ἀλλ' ἐκεῖνο κερδαίνειν ἡγεῖται, τὴν ἡδονήν, καὶ οὐκ ἂν δέξαιτο αὐτῆς στερηθῆναι καταφρονήσας ὅλου τοῦ ποιήματος· λογίζεσθαι γάρ, οἶμαι, ὀλίγοις τισὶ μέτεστιν ὅτι ἀπολαύειν *) ἀνάγκη ἀπὸ τῶν ἀλλοτρίων εἰς τὰ οἰκεῖα· θρέψαντα γὰρ ἐν ἐκείνοις ἰσχυρὸν τὸ ἐλεεινὸν **) οὐ ῥᾴδιον ἐν τοῖς αὑτοῦ πάθεσι κατέχειν. Ἀληθέστατα, * ἔφη. Ἆρ' οὖν οὐχ ὁ αὐτὸς C
λόγος καὶ περὶ τοῦ γελοίου; ὅ τι ἂν αὐτὸς αἰσχύνῃ ***) γελωτοποιῶν, ἐν μιμήσει δὲ κωμῳδικῇ ἢ καὶ ἰδίᾳ ἀκούων σφόδρα χαρῇς καὶ μιμήσῃ †), ταὐτὸν ποιεῖς ὅπερ ἐν τοῖς ἐλέοις. ὃ γὰρ τῷ λόγῳ αὖ κατεῖχες ἐν σαυτῷ βουλόμενον γελωτοποιεῖν, φοβούμενος δόξαν βωμολοχίας, τότ' αὖ ἀνίης, καὶ ἐκεῖ νεανικὸν ποιήσας ἔλαθες πολλάκις ἐν τοῖς οἰκείοις ἐξενεχθεὶς ὥστε κωμῳδοποιὸς γενέσθαι. Καὶ μάλα, ἔφη. * Καὶ περὶ ἀφροδισίων δὴ καὶ θυμοῦ καὶ περὶ πάν- D
των τῶν ἐπιθυμητικῶν τε καὶ λυπηρῶν καὶ ἡδέων ἐν τῇ ψυχῇ, ἃ δή φαμεν πάσῃ πράξει ἡμῖν ἕπεσθαι, ὅτι ††) τοιαῦτα ἡμᾶς ἡ ποιητικὴ μίμησις ἐργάζεται· τρέφει γὰρ ταῦτα ἄρδουσα δέον αὐχμεῖν, καὶ ἄρχοντα ἡμῖν καθίστησι δέον ἄρχεσθαι αὐτά, ἵνα βελτίους τε καὶ εὐδαιμονέστεροι ἀντὶ χειρόνων καὶ ἀθλιωτέρων γιγνώμεθα. Οὐκ ἔχω ἄλλως φάναι, ἦ δ' ὅς. Οὐκοῦν, εἶπον, ὦ Γλαύκων, ὅταν * Ὁμήρου E

*) ἴσ. ἀπολαβεῖν. **) ἴσ. ἐλεινὸν. ***) ἄλλ. αἰσχύνοιο.
†) ἄλλ. καὶ μισήσῃ ὡς πονηρά. ἴσ. γελωτοποιῶν καὶ μισῇς ὡς πονηρά ἐν μιμήσει χαρῇς ταὐτὸν ποιεῖς κτλ. ††) ἴσ. τὰ ἢ ταὐτὰ ταῦτα.

lem se ipsum esse nollet, sed se puderet, non detestatur, sed gaudet et probat? Haudquaquam hercle, inquit, rationi consentaneum est. Etiam, inquam, si ita id consideres. Quomodo? Si reputes id quod vi tum repressum fuerit in propriis calamitatibus et concupiverit flere, lamentari satis et expleri, quippe quod natura sit eiusmodi quod illa appetat, id tum esse illud quod a poëtis impleatur et gaudio cumuletur, partem vero nostri natura optimam, quippe non satis institutam ratione et more, remittere custodiam flebilis illius, quoniam alienos casus spectet ipsique non turpe videatur, si alius vir bonum se esse prae se ferens immoderate maereat, hunc laudare eiusque misereri, sed voluptatem se lucrari existimet nec voluerit ea privari contempto universo carmine; in perpaucos enim, opinor, cadit ut reputent fieri non posse quin aliena in nostra transferamus; neque enim qui in illis miserationem aluit et confirmavit, is facile eam potest in suis ipse fortunis reprimere. Verissime, inquit. Nonne eadem est ridiculi ratio? in omnibus enim quae risus movendi causa te facere pudet, et quae ut prava odisti, in imitatione vero comica vel etiam privatim magna cum voluptate audis, idem facis quod in miseratione. quod enim ratione itidem cohibuisti in te appetens illud quidem risus concitandi, veritus famam scurrilis dicacitatis, id tum remittis, et, quum ibi id corroboraveris, saepenumero inscient in eis quae ipse facis adeo abriperis ut comicum te praebeas. Sane quidem, inquit. Etiam quod ad amorem attinet et excandescentiam omnesque cupiditates, dolores et voluptates in animo, quae quidem dicimus quamque nobis actionem sequi, idem nobis poëtica imitatio efficit: alit enim illa atque rigat quum oporterent arescere, et rectores nobis imponit quum oporterent regi, ut meliores ac beatiores e deterioribus et miserioribus evaderemus. Non habeo aliter dicere, inquit. Itaque, inquam, Glauco, quando Homeri laudatores offendis di-

ἐπαινέταις ἐντύχῃς λέγουσιν ὡς τὴν Ἑλλάδα πεπαίδευκεν οὗ-
τος ὁ ποιητὴς καὶ πρὸς διοίκησίν τε καὶ παιδείαν τῶν ἀν-
θρωπίνων πραγμάτων ἄξιος *) ἀναλαβόντι μανθάνειν τε καὶ
κατὰ τοῦτον τὸν ποιητὴν πάντα τὸν αὑτοῦ βίον κατασκευα-
σάμενον ζῆν, * φιλεῖν μὲν χρὴ καὶ ἀσπάζεσθαι ὡς ὄντας 607
βελτίστους εἰς ὅσον δύνανται, καὶ ξυγχωρεῖν Ὅμηρον ποιη-
τικώτατον εἶναι καὶ πρῶτον τῶν τραγῳδοποιῶν, εἰδέναι δὲ
ὅτι ὅσον μόνον ὕμνους θεοῖς καὶ ἐγκώμια τοῖς ἀγαθοῖς **)
ποιήσεως παραδεκτέον εἰς πόλιν, εἰ δὲ τὴν ἡδυσμένην μοῦ-
σαν παραδέξει ἐν μέλεσιν ἢ ἔπεσιν, ἡδονή σοι καὶ λύπη ἐν
τῇ πόλει βασιλεύσετον ἀντὶ νόμου τε καὶ τοῦ κοινῇ ἀεὶ δό-
ξαντος εἶναι βελτίστου λόγου ***). Ἀληθέστατα, ἔφη.

* Ταῦτα δή, ἔφην, ἀπολελογήσθω ἡμῖν ἀναμνησθεῖσι B
περὶ ποιήσεως, ὅτι εἰκότως ἄρα τότε αὐτὴν ἐκ τῆς πόλεως
ἀπεστέλλομεν τοιαύτην οὖσαν· ὁ γὰρ λόγος ἡμᾶς ᾕρει. προσ-
είπωμεν δὲ αὐτῇ, μὴ καί τινα σκληρότητα ἡμῶν καὶ ἀγροι-
κίαν καταγνῷ, ὅτι παλαιὰ μέν τις διαφορὰ φιλοσοφίᾳ τε καὶ
ποιητικῇ· καὶ γὰρ ἡ λακέρυζα πρὸς δεσπότην †)
κύων ἐκείνη κραυγάζουσα καὶ μέγας ἐν ἀφρόνων
κενεαγορίαισι καὶ ὁ τῶν διὰ ††) σοφῶν * ὄχλος C
κρατῶν καὶ οἱ λεπτῶς μεριμνῶντες, ὅτι ἄρα πέ-
νονται καὶ †††) ἄλλα μυρία σημεῖα παλαιᾶς ἐναντιώσεως
τούτων. ὅμως δὲ εἰρήσθω ὅτι ἡμεῖς γε, εἴ τινα ἔχοι λόγον
εἰπεῖν ἡ πρὸς ἡδονὴν ποιητικὴ καὶ ἡ μίμησις, ὡς χρὴ αὐ-
τὴν εἶναι ἐν πόλει εὐνομουμένῃ, ἄσμενοι ἂν καταδεχοίμεθα,
ὡς ξύνισμέν γε ἡμῖν αὐτοῖς κηλουμένοις ὑπ' αὐτῆς. ἀλλὰ
γὰρ τὸ δοκοῦν ἀληθὲς οὐχ ὅσιον προδιδόναι. ἦ γάρ, ὦ φί-
λε, οὐ κηλεῖ ὑπ' αὐτῆς καὶ σύ, καὶ μάλιστα * ὅταν δι' D
Ὁμήρου θεωρῇς αὐτήν; Πολύ γε. Οὐκοῦν δικαία ἐστὶν
οὕτω κατιέναι ἀπολογησαμένη ἢ ἐν μέλει ἤ τινι ἄλλῳ μέ-
τρῳ; Πάνυ μὲν οὖν. Δοῖμεν δέ γέ που ἂν καὶ τοῖς προστά-
ταις αὐτῆς, ὅσοι μὴ ποιητικοί, φιλοποιηταὶ δέ, ἄνευ μέτρου
λόγον ὑπὲρ αὐτῆς εἰπεῖν, ὡς οὐ μόνον ἡδεῖα, ἀλλὰ καὶ ὠφε-

*) γρ. ἄξιον. **) γρ. τῆς ἀγαθῆς.
***) ἴσ. βελτίστου. †) ἄλλ. δεσπόταν.
††) ἄλλ. Δία. †††) ἴσ. μεριμνῶντες, καὶ.

centes Graeciam instituisse hunc poëtam et ad rerum humanarum administrationem atque institutionem dignum esse quem repetita lectione ediscamus et quem poëtam sequentes universam vitam constituamus, diligere quidem eos te oportet et amore amplecti, quippe qui quam possint optimi sint, et concedere Homerum maxime poëticum esse et primum tragicorum, sciendum autem esse carmina tantum in laudem deorum composita bonorumque praedicationes de poësi recipienda esse in civitatem, sin autem conditam musam receperis lyricam vel epicam, voluptatem et dolorem in urbe regnatura esse pro lege eoque quod communis sententia optimum quidque esse declaraverit. Verissime, inquit.

Haec igitur, inquam, defensionis causa a nobis recordantibus exposita sunto de poësi, iure videlicet nos eam tum a civitate amandasse, quia talis sit; ratio enim nos edocuit. alloquamur autem eam, ut ne de asperitate quadam et rusticitate nos accuset, quia vetus philosophiae inimicitia intercesserit cum poësi; etenim *allatrans dominum canis* ille *clamosus* et *magnus in dementium vaniloquentiis* et *sapientium turba dominans* et *subtiliter meditantes* [quod pauperes sunt] et alia innumerabilia signa veteris horum inimicitiae. attamen dictum esto nos quidem, si rationem posset afferre poësis ad voluptatem spectans et imitatio cur esse deberet in civitate bene instituta, libenter eam recepturos esse, quum nobis conscii simus quanto nos opere delectaverit. at enim quod videtur verum esse nefas prodere. nonne te quoque, amice, voluptate perfundit idque maxime quum per Homerum eam spectas? Sane quidem. Nonne par est eam descendere causam dicturam vel in carmine vel alio quopiam metro? Etiam. Potestatem autem faciemus etiam praefectis eius, quicumque non poëtici, at poëtarum amici sunt, orationis metri legibus non adstrictae pro ea habendae ut probent non solum iucun-

λίμη πρὸς τὰς πολιτείας καὶ τὸν βίον τὸν ἀνθρώπινόν ἐστι·
καὶ εὐμενῶς ἀκουσόμεθα· κερδανοῦμεν γάρ που, ἐὰν μὴ
μόνον ἡδεῖα * φανῇ, ἀλλὰ καὶ ὠφελίμη. Πῶς δ' οὐ μέλ- E
λομεν, ἔφη, κερδαίνειν; Εἰ δέ γε μή, ὦ φίλε ἑταῖρε, ὥςπερ
οἵ ποτέ του *) ἐρασθέντες, ἐὰν ἡγήσωνται μὴ ὠφέλιμον εἶναι
τὸν ἔρωτα, βίᾳ μέν, ὅμως δὲ ἀπέχονται, καὶ ἡμεῖς οὕτω, διὰ
τὸν ἐγγεγονότα μὲν ἔρωτα τῆς τοιαύτης ποιήσεως ὑπὸ τῆς
τῶν καλῶν πολιτειῶν τροφῆς, * εὖνοι μὲν ἐσόμεθα φανῆ- 608
ναι αὐτὴν ὡς βελτίστην καὶ ἀληθεστάτην, ἕως δ' ἂν μὴ οἵα
τ' ᾖ ἀπολογήσασθαι, ἀκροασόμεθ' αὐτῆς ἐπᾴδοντες ἡμῖν αὐ-
τοῖς τοῦτον τὸν λόγον ὃν ἐλέγομεν **) καὶ ταύτην τὴν ἐπῳ-
δήν, εὐλαβούμενοι πάλιν ἐμπεσεῖν εἰς τὸν παιδικόν τε καὶ
τὸν τῶν πολλῶν ἔρωτα. αἰσθόμεθα ***) δ' οὖν ὡς οὐ σπου-
δαστέον ἐπὶ τῇ τοιαύτῃ ποιήσει ὡς ἀληθείας τε ἁπτομένῃ
καὶ σπουδαίᾳ, ἀλλ' εὐλαβητέον αὐτὴν ὂν τῷ ἀκροωμένῳ,
περὶ τῆς * ἐν αὐτῷ πολιτείας δεδιότι, καὶ νομιστέα ἅπερ B
εἰρήκαμεν περὶ ποιήσεως. Παντάπασιν, ἦ δ' ὅς, ξύμφημι.
Μέγας γάρ, ἔφην, ὁ ἀγών, ὦ φίλε Γλαύκων, μέγας, οὐχ
ὅσος δοκεῖ, τὸ χρηστὸν ἢ κακὸν γενέσθαι· ὥςτε οὔτε τιμῇ
ἐπαρθέντα οὔτε χρήμασιν οὔτε ἀρχῇ οὐδεμιᾷ οὐδέ γε ποιη-
τικῇ ἄξιον ἀμελῆσαι δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς.
Ξύμφημί σοι, ἔφη, ἐξ ὧν διεληλύθαμεν· οἶμαι δὲ καὶ ἄλλον
ὁντινοῦν.

* Καὶ μήν, ἦν δ' ἐγώ, τά γε μέγιστα ἐπίχειρα ἀρετῆς C
καὶ προκείμενα ἆθλα οὐ διεληλύθαμεν. Ἀμήχανόν τι, ἔφη,
λέγεις μέγεθος, εἰ τῶν εἰρημένων μείζω ἐστὶν ἄλλα. Τί δ'
ἄν, ἦν δ' ἐγώ, ἔν γε ὀλίγῳ χρόνῳ μέγα γένοιτο; πᾶς γὰρ
οὗτός γε ὁ ἐκ παιδὸς μέχρι πρεσβύτου χρόνος πρὸς τὸν πάν-
τα †) ὀλίγος πού τις ἂν εἴη. Οὐδὲν μὲν οὖν, ἔφη. Τί
οὖν ††); οἴει ἀθανάτῳ πράγματι ὑπὲρ τοσούτου δεῖν χρόνου
ἐσπουδακέναι, ἀλλ' οὐχ * ὑπὲρ τοῦ παντός; Οἶμαι ἔγωγ', D
ἔφη· ἀλλὰ τί τοῦτο λέγεις; Οὐκ ᾔσθησαι, ἦν δ' ἐγώ, ὅτι

---

*) γρ. ποτέ που.
**) ἄλλ. λέγομεν.
***) ἴσ. ᾐσθήμεθα.
†) γρ. πρὸς πάντα.
††) γρ. γοῦν.

dam, verum etiam utilem eam esse ad civitates vitamque humanam; et benivole audiemus; lucrum enim sane faciemus, si non iucunda solum reperiatur, sed etiam utilis. Quidni futurum sit, inquit, ut lucrum faciamus? Aliter, care amice, quemadmodum qui aliquando amore quempiam amplexi sunt, si existiment non utilem esse hunc amorem, quamvis aegre, se abstinent, ita nos quoque. propter huius poësis amorem quem pulchrarum civitatum institutio nobis iniecit, benivole quidem accipiemus reperiri eam quam optimam et verissimam, quamdiu autem nequeat se defendere, eam audiemus hanc nobismet ipsis orationem quam exposuimus hancque cantionem adhibentes quippe caventes ne rursus incidamus in puerilem et multitudinis amorem. cognitum igitur habemus non incumbendum esse in huiusmodi poësin tamquam veritatem attingentem et seriam, sed cautionem esse adhibendam auditori, de interiore sua civitate timenti, et ita sentiendum ut exposuimus de poësi. Prorsus, inquit, assentior. Magnum enim, inquam, certamen, o care Glauco, magnum, non quantum videtur, bonum aut malum exsistere; quocirca neque honore elatum neque pecunia neque imperio ullo neque poësi par est quemquam negligere iustitiam reliquamque virtutem. Assentior tibi, inquit, ex eis quae exposuimus; arbitror vero etiam alium quemvis.

Attamen, inquam, maximas virtutis mercedes ac praemia proposita non commemoravimus. Incredibilem quandam, inquit, dicis magnitudinem, si supra dictis maiora exstant alia. Quid vero, inquam, in parvo tempore magnum erit? omne enim hoc a puero ad senem tempus cum universo collatum exiguum sine dubio erit. Nihil sane, inquit. Quid igitur? num censes rem immortalem propter tam breve oportere tempus anniti, et non propter universum? Arbitror equidem, inquit; sed quid hoc dicis? Nonne perspectum habes, inquam,

ἀθάνατος ἡμῶν ἡ ψυχὴ καὶ οὐδέποτε ἀπόλλυται; Καὶ ὃς ἐμβλέψας μοι καὶ θαυμάσας εἶπε Μὰ Δί' οὐκ ἔγωγε· σὺ δὲ τοῦτ' ἔχεις λέγειν; Εἰ μὴ ἀδικῶ γ', ἔφην· οἶμαι δὲ καὶ σύ· οὐδὲν γὰρ χαλεπόν. Ἔμοιγ', ἔφη· σοῦ δ' ἂν ἡδέως ἀκούσαιμι τὸ οὐ χαλεπὸν τοῦτο. Ἀκούοις ἄν, ἦν δ' ἐγώ. Λέγε μόνον, ἔφη.

Ἀγαθόν τι, εἶπον, καὶ κακὸν καλεῖς; Ἔγωγε. * Ἆρ' E οὖν ὥσπερ ἐγὼ περὶ αὐτῶν διανοεῖ; Τὸ ποῖον; Τὸ μὲν ἀπολλύον καὶ διαφθεῖρον πᾶν τὸ κακὸν εἶναι, τὸ δὲ σῶζον καὶ ὠφελοῦν τὸ ἀγαθόν. Ἔγωγ', ἔφη. Τί δέ; κακὸν ἑκάστῳ τι καὶ ἀγαθὸν λέγεις; οἷον ὀφθαλμοῖς * ὀφθαλμίαν 609 καὶ ξύμπαντι τῷ σώματι νόσον, σίτῳ τε ἐρυσίβην, σηπεδόνα τε ξύλοις, χαλκῷ δὲ καὶ σιδήρῳ ἰόν, καὶ ὅπερ λέγω, σχεδὸν πᾶσι ξύμφυτον ἑκάστῳ κακόν τε καὶ νόσημα. Ἔγωγ', ἔφη. Οὐκοῦν ὅταν τῴ τι τούτων προςγένηται, πονηρόν τε ποιεῖ ᾧ προςεγένετο καὶ τελευτῶν ὅλον διέλυσε καὶ ἀπώλεσεν; Πῶς γὰρ οὔ; Τὸ ξύμφυτον ἄρα κακὸν ἑκάστου καὶ ἡ πονηρία ἕκαστον ἀπόλλυσιν, ἢ εἰ μὴ τοῦτο ἀπολεῖ, οὐκ ἂν ἄλλο γε αὐτὸ ἔτι * διαφθείρειεν· οὐ γὰρ τό γε ἀγαθὸν μή B ποτέ τι ἀπολέσῃ, οὐδὲ αὖ τὸ μήτε κακὸν μήτε ἀγαθόν. Πῶς γὰρ ἄν; ἔφη. Ἐὰν ἄρα τι τῶν ὄντων εὑρίσκωμεν ᾧ ἔστι μέν τι κακὸν ὃ ποιεῖ αὐτὸ μοχθηρόν, τοῦτο μέντοι οὐχ οἷόν τε αὐτὸ λύειν ἀπολλύον, οὐκ ἤδη εἰσόμεθα ὅτι τοῦ πεφυκότος οὕτως ὄλεθρος οὐκ ἦν; Οὕτως, ἔφη, εἰκός. Τί οὖν; ἦν δ' ἐγώ· ψυχῇ ἆρ' οὐκ ἔστιν ὃ ποιεῖ αὐτὴν κακήν; Καὶ μάλ', ἔφη, ἃ νῦν δὴ διῇμεν πάντα, ἀδικία τε καὶ * ἀκολασία καὶ δειλία καὶ ἀμαθία. Ἦ οὖν τι τούτων C αὐτὴν διαλύει τε καὶ ἀπόλλυσι; καὶ ἐννόει μὴ ἐξαπατηθῶμεν οἰηθέντες τὸν ἄδικον ἄνθρωπον καὶ ἀνόητον, ὅταν ληφθῇ ἀδικῶν, τότε ἀπολωλέναι ὑπὸ τῆς ἀδικίας, πονηρίας οὔσης ψυχῆς. ἀλλ' ὧδε ποίει *)· ὥςπερ σῶμα ἡ σώματος πονηρία νόσος οὖσα τήκει καὶ διόλλυσι καὶ ἄγει εἰς τὸ μηδὲ σῶμα εἶναι, καὶ ἃ νῦν δὴ ἐλέγομεν ἅπαντα ὑπὸ τῆς οἰκείας

---

*) ἴσ. νόει.

immortalem esse animum nostrum nec umquam interire? Tum ille in me intuens et admirans Haudquaquam hercle, inquit, equidem; tu autem hoc habes dicere? Nisi iniuste facio, inquam; arbitror vero etiam te; nihil enim difficile. Mihi sane, inquit; ex te autem libenter audierim hoc non difficile. Audies, inquam. Dic modo, inquit.

Bonum aliquid, inquam, et malum appellas? Equidem. Num igitur ita ut ego de eis sentis? Quomodo? Perdens et corrumpens omne malum esse, servans vero et iuvans bonum. Ego vero, inquit. Quid? malum cuique quid et bonum dicis? velut oculis lippitudinem et universo corpori morbum, frumento robiginem, putredinem lignis, aeri et ferro aeruginem, et quod dico fere omnibus innatum cuique malum et morbum. Ego vero, inquit. Nonne quando alicui horum quid accedit, pravum id efficit cui accedit et ad extremum totum dissolvit et perdit? Quidni? Insitum ergo cuique malum et pravitas quidque perdit, aut nisi hoc perdet, iam non aliud id corrumpet; neque enim id quod bonum est umquam aliquid perdet, nec id quod neque malum neque bonum est. Qui enim potest? inquit. Si quid igitur in rerum natura exstat cui malum aliquod est quod pravitatem ei iniicit, neque tamen potest ipsum solvere atque perdere, nonne iam sciemus eius rei natura ita comparatae non esse interitum? Ita, inquit, consentaneum est. Quid igitur? inquam; animone nihil est quod pravum eum efficiat? Admodum, inquit, quae modo commemoravimus omnia, iniustitia et incontinentia et ignavia et inscitia. Num igitur horum quid eum dissolvit ac perdit? at reputa ne decipiamur arbitrantes iniustum hominem atque insipientem, quum deprehendatur in facinore, tum perire ab iniustitia, quippe animi pravitate, sed ita specta: quemadmodum corpus pravitas corporis qui morbus est liquefacit et perdit et eo adducit ut ne corpus quidem sit, et quae supra di-

κακίας, τῷ προςκαθῆσθαι καὶ * ἐνεῖναι διαφθειρούσης, εἰς D
τὸ μὴ εἶναι ἀφικνεῖται· οὐχ οὕτως; Ναί. Ἴθι δή, καὶ
ψυχὴν κατὰ τὸν αὐτὸν τρόπον σκόπει· ἆρα ἐνοῦσα ἐν αὐτῇ
ἀδικία καὶ ἡ ἄλλη κακία τῷ ἐνεῖναι καὶ προςκαθῆσθαι φθεί-
ρει αὐτὴν καὶ μαραίνει, ἕως ἂν εἰς θάνατον ἀγαγοῦσα τοῦ
σώματος χωρίσῃ; Οὐδαμῶς, ἔφη, τοῦτό γε. Ἀλλὰ μέντοι
ἐκεῖνό γε ἄλογον, ἦν δ' ἐγώ, τὴν μὲν ἄλλου πονηρίαν
ἀπολλύναι τι, τὴν δὲ αὑτοῦ μή. Ἄλογον. Ἐννόει γάρ,
ἦν δ' ἐγώ, ὦ Γλαύκων, * ὅτι οὐδ' ὑπὸ τῆς τῶν σιτίων E
πονηρίας, ἣ *) ἂν ᾖ αὐτῶν ἐκείνων, εἴτε παλαιότης εἴτε
σαπρότης εἴτε ἡτιςοῦν οὖσα, οὐκ οἰόμεθα δεῖν σῶμα ἀπόλ-
λυσθαι, ἀλλ' ἐὰν μὲν ἐμποιῇ ἡ αὐτῶν πονηρία **) τῷ σώ-
ματι σώματος μοχθηρίαν, φήσομεν αὐτὸ δι' ἐκεῖνα ὑπὸ τῆς
αὑτοῦ κακίας νόσου οὔσης ἀπολωλέναι, ὑπὸ δὲ σιτίων πο-
νηρίας ἄλλων ὄντων ἄλλο * ὂν τὸ σῶμα, ὑπ' ἀλλοτρίου 610
κακοῦ μὴ ἐμποιήσαντος τὸ ἔμφυτον κακόν, οὐδέποτε ἀξιώ-
σομεν διαφθείρεσθαι. Ὀρθότατα, ἔφη, λέγεις. Κατὰ τὸν
αὐτὸν τοίνυν λόγον, ἦν δ' ἐγώ, ἐὰν μὴ σώματος πονηρία
ψυχῇ ψυχῆς***) πονηρίαν ἐμποιῇ, μή ποτε ἀξιῶμεν ὑπ' ἀλ-
λοτρίου κακοῦ ἄνευ τῆς ἰδίας πονηρίας ψυχὴν ἀπόλλυσθαι,
τῷ ἑτέρου κακῷ ἕτερον. Ἔχει γάρ, ἔφη, λόγον. Ἢ τοίνυν
ταῦτα ἐξελέγξωμεν ὅτι οὐ καλῶς λέγομεν, ἤ, ἕως ἂν * ᾖ B
ἀνέλεγκτα, μή ποτε φῶμεν ὑπὸ πυρετοῦ μηδ' αὖ ὑπ' ἄλλης νό-
σου μηδ' αὖ σφαγῆς †), μηδ' εἴ τις ὅτι σμικρότατα ὅλον
τὸ σῶμα κατατέμοι, ἕνεκα τούτων μηδὲν μᾶλλόν ποτε ψυ-
χὴν ἀπόλλυσθαι, πρὶν ἄν τις ἀποδείξῃ ὡς διὰ ταῦτα τὰ πα-
θήματα τοῦ ††) σώματος αὐτὴ ἐκείνη ἀδικωτέρα καὶ ἀνοσιω-
τέρα γίγνεται. ἀλλοτρίου δὲ κακοῦ ἐν ἄλλῳ γιγνομένου,
τοῦ δὲ ἰδίου ἑκάστῳ μὴ ἐγγιγνομένου, μήτε ψυχὴν μήτε
ἄλλο μηδὲν * ἐῶμεν φάναι τινὰ ἀπόλλυσθαι. Ἀλλὰ μέντοι, C
ἔφη, τοῦτό γε οὐδείς ποτε δείξει, ὡς τῶν ἀποθνησκόντων
ἀδικώτεραι αἱ ψυχαὶ διὰ τὸν θάνατον γίγνονται. Ἐὰν δέ
γέ τις, ἔφην ἐγώ, ὁμόσε τῷ λόγῳ τολμᾷ ἰέναι καὶ λέγειν

---

*) γρ. ἢ. **) γρ. ἡ αὐτ. πονηρία τῶν σιτίων.
***) γρ. πονηρία ψυχῆς. †) ἀλλ. ὑπὸ σφαγῆς.
††) γρ. τὰ τοῦ.

ximus omnia per insitam pravitatem, quae obsidendo et inhaerendo corrumpit, eo perveniunt ut nec sint; nonne ita? Etiam. Age dum, etiam animum eadem ratione considera: num iniustitia quae in eo inest et reliqua pravitas inhaerendo et obsidendo eum corrumpit et consumit, dum ad mortem eum perducens a corpore separet? Nequaquam, inquit, hoc. At vero illud non est consentaneum, inquam, alius quidem rei pravitatem perdere aliquid, propriam autem non perdere. Non est consentaneum. Cogita enim, inquam, Glauco, nec ciborum pravitate, quaecumque eorum ipsorum sit, sive vetustas sive putredo sive alia quaecumque, nos putare pereundum esse corpori, sed, si illorum pravitas corpori iniiciat corporis vitium, dicemus id per illos suo ipsum vitio qui morbus sit perire, ciborum autem pravitate qui diversi sint corpus quod diversum sit, id est, alieno malo quod non iniiciat insitum malum, numquam censebimus corrumpi. Rectissime, inquit, dicis. Eadem igitur ratione, inquam, si corporis vitium animo non iniicit animi vitium, numquam censeamus alieno malo sine propria pravitate animum perire, quippe diversum rei diversae malo. Consentaneum vero est, inquit. Aut igitur haec convincamus non recte nos sumere, aut, quoad non sunt convicta, numquam dicamus febri vel alio morbo neque etiam caede, neque si quis in partes quam minutissimas totum corpus secet, iccirco animum perire, priusquam aliquis probaverit per has corporis affectiones ipsum illum iniustiorem et improbiorem exsistere. alieno autem malo in alio exsistente, proprio vero cuiusque non inhaerente, neque animum neque aliud quid sinamus dicere quemquam perire. At vero, inquit, hoc quidem nemo umquam ostendet, morientium animos iniustiores per mortem evadere. Si quis autem, inquam, orationem nostram conabitur ado-

ὡς πονηρότερος καὶ ἀδικώτερος γίγνεται ὁ ἀποθνήσκων,
ἵνα δὴ μὴ ἀναγκάζηται ἀθανάτους τὰς ψυχὰς ὁμολογεῖν,
ἀξιώσομέν που, εἰ ἀληθῆ λέγει ὁ ταῦτα λέγων, τὴν ἀδι-
κίαν εἶναι θανάσιμον τῷ ἔχοντι ὥσπερ νόσον, καὶ ὑπ' * αὐ- D
τοῦ τοῦ *) ἀποκτιννύντος τῇ ἑαυτοῦ **) φύσει ἀποθνήσκειν
τοὺς λαμβάνοντας αὐτό, τοὺς μὲν μάλιστα θᾶττον, τοὺς δὲ
ἧττον σχολαίτερον, ἀλλὰ μή, ὥσπερ νῦν, διὰ τοῦτο ὑπ'
ἄλλων δίκην ἐπιτιθέντων ***) ἀποθνήσκουσιν οἱ ἄδικοι. Μὰ
Δία, ἦ δ' ὅς, οὐκ ἄρα πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ
θανάσιμον ἔσται τῷ λαμβάνοντι (ἀπαλλαγὴ γὰρ ἂν εἴη κα-
κῶν), ἀλλὰ μᾶλλον οἶμαι αὐτὴν φανήσεσθαι πᾶν τοὐναντίον
τοὺς ἄλλους ἀποκτιννῦσαν, εἴπερ οἷόν τε, * τὸν δ' ἔχοντα E
καὶ μάλα ζωτικὸν παρέχουσαν, καὶ πρός γε †) τῷ ζωτικῷ
ἄγρυπνον· οὕτω πόῤῥω που, ὡς ἔοικεν, ἐσκήνωται ††) τοῦ
θανάσιμος εἶναι. Καλῶς, ἦν δ' ἐγώ, λέγεις· ὁπότε γὰρ
δὴ μὴ ἱκανὴ ἥ γε οἰκεία πονηρία καὶ τὸ οἰκεῖον κακὸν
ἀποκτεῖναι καὶ ἀπολέσαι ψυχήν, σχολῇ τό γε ἐπ' ἄλλου
ὀλέθρῳ τεταγμένον κακὸν ψυχὴν ἤ τι ἄλλο ἀπολεῖ, πλὴν
ἐφ' ᾧ τέτακται. Σχολῇ γ', ἔφη, ὥς γε τὸ εἰκός. Οὐκοῦν,
ὁπότε μηδ' ὑφ' ἑνὸς ἀπόλλυται κακοῦ, μήτε οἰκείου μήτε
ἀλλοτρίου, * δῆλον ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι, εἰ δ' 611
ἀεὶ ὄν, ἀθάνατον. Ἀνάγκη, ἔφη.

Τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, οὕτως ἐχέτω· εἰ δ' ἔχει,
ἐννοεῖς ὅτι ἀεὶ ἂν εἶεν αἱ αὐταί· οὔτε γὰρ ἄν που ἐλάτ-
τους γένοιντο μηδεμιᾶς ἀπολλυμένης, οὔτε αὖ πλείους· εἰ
γὰρ ὁτιοῦν τῶν ἀθανάτων πλέον γίγνοιτο, οἶσθ' ὅτι ἐκ τοῦ
θνητοῦ ἂν γίγνοιτο καὶ πάντα ἂν εἴη τελευτῶντα ἀθάνατα.
Ἀληθῆ λέγεις. Ἀλλ', ἦν δ' ἐγώ, μήτε τοῦτο οἰώμεθα (ὁ
γὰρ λόγος οὐκ ἐάσει), μήτε * γε αὖ τῇ ἀληθεστάτῃ φύσει B
τοιοῦτον εἶναι ψυχὴν ὥστε πολλῆς ποικιλίας καὶ ἀνομοιό-
τητός τε καὶ διαφορᾶς γέμειν αὐτὸ πρὸς αὐτό. Πῶς λέγεις;
ἔφη. Οὐ ῥᾴδιον, ἦν δ' ἐγώ, ἀΐδιον εἶναι ξύνθετόν τε ἐκ
πολλῶν καὶ μὴ τῇ καλλίστῃ κεχρημένον ξυνθέσει, ὡς νῦν

*) ἄλλ. ὑπ' αὐτοῦ τούτου. ἴσ. ὑπὸ τούτου τοῦ. ἢ ὑπ αὐτοῦ τούτου τοῦ. **) ἴσ. αὐτοῦ.
***) γρ. ἐπιθέντων. †) ἄλλ. πρός γ' ἔτι.
††) ἄλλ. ἐσκήνηται.

viri et dicere improbiorem et iniustiorem exsistere morientem, ne videlicet cogatur concedere immortales esse animos, contendemus, ni fallor, si vera dicat qui haec dicat, iniustitiam mortem afferre ei qui eam habeat tamquam morbum, et per ipsum hoc quod interficiat ipsiusque natura mori eos qui id accipiant, et eos quidem qui maxime, citius, qui vero minus, tardius, non, sicut nunc, propter hoc per alios poena afficientes mori iniustos. Haudquaquam igitur hercle, inquit, horribile quid reperietur iniustitia, si mortem afferet ipsam accipienti (liberatio enim erit malorum), sed potius arbitror eam repertum iri plane e contrario reliquos interficientem, si possit, eum vero qui ipsam habeat admodum vitalem efficientem et praeterea insomnem: tam longe sane, ut patet, abest ut mortem afferat. Praeclare, inquam, dicis; quando enim propria improbitas propriumque malum non valet ad interficiendum ac perdendum animum, vix malum ad alius rei interitum destinatum animum vel aliud quid perdet praeter illud ad quod destinatum est. Vix vero, inquit, ut patet. Itaque, quando nullo perit malo, neque proprio neque alieno, liquet eum necessario semper esse, et si semper sit, immortalem. Necessario, inquit.

Hoc igitur, inquam, sic se habeto; sic autem si se habet, intelligis semper futuros esse eosdem; neque enim sane minores exsistent, nullus quum intereat, neque etiam plures; nam si quid immortalium plus evaderet, scis e mortali id evasurum esse omniaque fore ad extremum immortalia. Vera dicis. At, inquam, neque hoc arbitremur (oratio enim non permittet) neque etiam, animum e verissima natura spectatum eiusmodi esse ut multa varietate et dissimilitudine et discrepantia ad se ipse refertus sit. Quomodo dicis? inquit. Haud facile, inquam, sempiternum est compositum e multis nec optimam illam habens compositionem, qualem nunc

ἡμῖν ἐφάνη ἡ ψυχή. Οὔκουν εἰκός γε. Ὅτι μὲν τοίνυν
ἀθάνατον ψυχή, καὶ ὁ ἄρτι λόγος καὶ οἱ ἄλλοι ἀναγκάσειαν
ἄν· οἷον δ' ἐστὶ τῇ ἀληθείᾳ, οὐ λελωβημένον δεῖ αὐτὸ
θεάσασθαι * ὑπό τε τῆς τοῦ σώματος κοινωνίας καὶ ἄλλων C
κακῶν, ὥςπερ νῦν ἡμεῖς θεώμεθα, ἀλλ' οἷόν ἐστι καθαρὸν
γιγνόμενον, τοιοῦτον ἱκανῶς λογισμῷ διαθεατέον, καὶ πολὺ
γε κάλλιον αὐτὸ εὑρήσει καὶ ἐναργέστερον δικαιοσύνας τε
καὶ ἀδικίας διόψεται καὶ πάντα ἃ νῦν *) διήλθομεν. νῦν
δὲ εἴπομεν μὲν ἀληθῆ περὶ αὐτοῦ, οἷον ἐν τῷ παρόντι φαί-
νεται, τεθεάμεθα μέντοι διακείμενον αὐτὸ ὥςπερ οἱ τὸν
θαλάττιον Γλαῦκον ὁρῶντες οὐκ ἂν ἔτι * ῥᾳδίως αὐτοῦ D
ἴδοιεν τὴν ἀρχαίαν φύσιν, ὑπὸ τοῦ τά τε παλαιὰ τοῦ σώ-
ματος μέρη τὰ μὲν ἐκκεκλάσθαι, τὰ δὲ ξυντετρῖφθαι καὶ
πάντως λελωβῆσθαι ὑπὸ τῶν κυμάτων, ἄλλα δὲ προςπεφυ-
κέναι, ὄστρεά τε καὶ φύκια καὶ πέτρας, ὥςτε παντὶ μᾶλλον
θηρίῳ ἐοικέναι ἢ οἷος ἦν φύσει. οὕτω καὶ τὴν ψυχὴν
ἡμεῖς θεώμεθα διακειμένην ὑπὸ μυρίων κακῶν. ἀλλὰ δεῖ,
ὦ Γλαύκων, ἐκεῖσε βλέπειν. Ποῖ; ἦ δ' ὅς. Εἰς τὴν φι-
λοσοφίαν * αὐτῆς, καὶ ἐννοεῖν ὧν ἅπτεται καὶ οἵων ἐφίε- E
ται ὁμιλιῶν, ὡς ξυγγενὴς οὖσα τῷ τε θείῳ καὶ ἀθανάτῳ
καὶ ἀεὶ **) ὄντι, καὶ οἵα ἂν γένοιτο τῷ τοιούτῳ πᾶσα
ἐπισπομένη καὶ ὑπὸ ταύτης τῆς ὁρμῆς ἐκκομισθεῖσα ἐκ τοῦ
πόντου, ἐν ᾧ νῦν ἐστί, καὶ περικρουσθεῖσα ***) πέτρας τε
καὶ ὄστρεα, ἃ νῦν αὐτῇ, ἅτε γῆν ἑστιωμένῃ, * γεηρὰ καὶ 612
πετρώδη πολλὰ καὶ ἄγρια περιπέφυκεν ὑπὸ τῶν εὐδαιμόνων
λεγομένων ἑστιάσεων. καὶ τότ' ἄν τις ἴδοι ****) αὐτῆς τὴν
ἀληθῆ φύσιν, εἴτε πολυειδὴς εἴτε μονοειδής, εἴτε ὅπῃ ἔχει
καὶ ὅπως. Νῦν δὲ τὰ ἐν τῷ ἀνθρωπίνῳ βίῳ πάθη τε καὶ
εἴδη, ὡς ἐγῷμαι, ἐπιεικῶς αὐτῆς διεληλύθαμεν. Παντά-
πασι μὲν οὖν, ἔφη.

Οὐκοῦν, ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπεδυσάμεθα ἐν τῷ
λόγῳ, καὶ οὐ τοὺς μισθοὺς * οὐδὲ τὰς δόξας δικαιοσύνης B
ἐπηνέγκαμεν, ὥςπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε, ἀλλ'
αὐτὸ δικαιοσύνην αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον

---

*) ἴσ. νῦν δή. **) ἄλλ. τῷ ἀεί.
) ἴσ. παρακρουσθεῖσα. *) γρ. ἴδῃ.

nobis patuit animum habere. Minime vero consentaneum est. Itaque immortalem quidem esse animum, et prior oratio et reliquae convincent, sed si quaeris, qualis sit revera, non depravatum eum oportet spectari corporis communitate aliisque malis, ut nunc eum spectamus, sed qualem se exhibet purus si est, talem satis ratione considerari, et multo eum pulchriorem invenies clariusque iustitias et iniustitias perspicies omniaque quae modo persequuti sumus. nunc autem diximus quidem vera, qualis in praesentia videatur, spectavimus tamen eum instar Glauci marini affectum, quem qui vident iam non facile spectabunt priorem eius naturam, propterea quod pristina corporis membra partim fracta, partim contrita omnique modo corrupta sunt fluctibus, alia vero accreverunt, ostreae et algae et saxa, ut cuiusque magis belluae similis sit quam qualis fuerit natura. ita etiam animum nos videmus innumerabilibus malis affectum. oportet vero, Glauco, huc spectari. Quonam? inquit. Ad eius philosophiam, et considerari quae attingat qualesque appetat consuetudines, quippe qui cognatus sit divino et immortali et sempiterno, et qualis futurus sit hoc quisque sequens et hac contentione elatus e mari, in quo nunc est, excussis saxis et ostreis, quae nunc ei, quippe qui terra pascatur, terrena et saxosa multa et fera accreverunt per epula illa quae dicuntur beata. et tum, quis viderit veram eius naturam, multiformisne an uniusmodi sit an quonam modo se habeat. Nunc vero casus eius in humana vita et species, ut arbitror, satis exposuimus. Sane quidem, inquit.

Nonne igitur, inquam, cetera detraximus in oratione nostra, neque mercedes neque famam iustitiae afferentes, quemadmodum Hesiodum et Homerum vos dicebatis afferre, sed ipsam iustitiam ipsi animo optimam esse invenimus, et facienda ei esse iusta, sive habeat

εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ᾽ ἔχῃ τὸν Γύγου δακτύλιον ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἄϊδος κυνῆν; Ἀληθέστατα, ἔφη, λέγεις. Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους * τε C
καὶ οἵους τῇ ψυχῇ παρέχει παρ᾽ ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; Παντάπασι μὲν οὖν, ἦ δ᾽ ὅς. Ἆρ᾽ οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; Τί μάλιστα; Ἔδωκα ὑμῖν τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι καὶ τὸν ἄδικον δίκαιον· ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν * κριθείη· ἢ οὐ μνη- D
μονεύεις; Ἀδικοίην μέντ᾽ ἄν, ἔφη, εἰ μή. Ἐπειδὴ τοίνυν, ἦν δ᾽ ἐγώ*), κεκριμέναι εἰσίν, ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων, καὶ ὑμᾶς ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται, ἃ ἀπὸ τοῦ δοκεῖν κτωμένη δίδωσι τοῖς ἔχουσιν αὐτήν, ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. * Δίκαια, ἔφη, αἰτεῖ. Οὐκοῦν, E
ἦν δ᾽ ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν οἷός ἐστιν; Ἀποδώσομεν, ἔφη. Εἰ δὲ μὴ λανθάνετον, ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής, ὥσπερ καὶ κατ᾽ ἀρχὰς ὡμολογοῦμεν. Ἔστι ταῦτα. Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν * γί- 613
γνεται, πάντα γίγνεσθαι ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; Πάνυ μὲν οὖν. Οὕτως ἄρα ὑποληπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ᾽ ἐν πενίᾳ γίγνηται ἐάν τε ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι ἢ καὶ ἀποθανόντι· οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ * ὁμοιοῦ- B
σθαι θεῷ. Εἰκός γ᾽, ἔφη, τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ

*) γρ. τοίνυν κεκριμέναι.

Gygis annulum ſive non habeat, et praeter eiusmodi annulum Plutonis galeam? Veriſſima, inquit, dicis. Num igitur, inquam, Glauco, nunc nobis iam non erit invidiae praeter illa etiam praemia iuſtitiae et reliquae virtuti tribuere quanta et qualia animo affert ab hominibus et a diis tam viventi adhuc homini quam mortuo? Admodum, inquit. Num igitur mihi reddetis quod mutuum ſumpſiſtis in oratione? Quid potiſſimum? Dedi vobis iuſtum videri iniuſtum eſſe et iniuſtum iuſtum; vos enim cenſebatis, etiamſi fieri non poſſet ut haec laterent et deos et homines, tamen id dandum eſſe orationis cauſa, ut ipſa iuſtitia ex iniuſtitia ipſa iudicaretur; an non meminiſti? Iniuſte ſane facerem, niſi meminiſſem. Quoniam igitur, inquam, iudicatae ſunt, ego viciſſim repoſco iuſtitiae nomine ut, prout cenſeatur et a diis et ab hominibus, vos quoque confiteamini ita de ea exiſtimari, ut etiam palmam accipiat quam ex eo quod talis videtur partam tribuit eis qui ipſam poſſident, ſiquidem etiam bona ex eo quod eſt manantia reperimus eam tribuere nec decipere eos qui revera ipſam nanciſcerentur. Iuſta, inquit, petis. Nonne igitur, inquam, primum hoc reddetis deos non latere qualis uterque eorum ſit? Reddemus vero, inquit. Quodſi non latent, unus quidem deo carus, alter vero inviſus erit, quemadmodum etiam initio confeſſi ſumus. Sunt iſta. Deo autem caro nonne confitebimur quaecumque a diis proficiſcantur omnia proficiſci quam maxime bona, niſi quid mali ei neceſſario e priore peccato contingat? Sane quidem. Ita igitur iudicandum eſt de iuſto viro, ſive in paupertate verſetur ſive in morbis ſive alio quo quae cenſeantur malorum, huic haec in bonum aliquod evaſura eſſe viventi vel etiam mortuo; neque enim a diis umquam negligitur qui omni ope atque opera enititur ut iuſtus exſiſtat et virtutem colens quam maxime poteſt homo ad dei ſimilitudinem accedat. Conſentaneum ſane eſt, inquit, talem non negligi a ſimili. Nonne de iniuſto

τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ
διανοεῖσθαι; Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ'
ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ γοῦν ἐμὴν δόξαν,
ἔφη. Τί δέ, ἦν δ' ἐγώ, παρ' ἀνθρώπων; ἆρ' οὐχ ὧδε
ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι; οὐχ οἱ μὲν δεινοί τε καὶ ἄδικοι
δρῶσιν ὅπερ οἱ δρομῆς, ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω,
ἀπὸ δὲ τῶν ἄνω μή; τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τε-
λευτῶντες * δὲ καταγέλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν C
ὤμων ἔχοντες καὶ ἀστεφάνωτοι ἀποτρέχοντες, οἱ δὲ τῇ ἀλη-
θείᾳ δρομικοὶ εἰς τέλος ἐλθόντες τά τε ἆθλα λαμβάνουσι
καὶ στεφανοῦνται. οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ
ξυμβαίνει, πρὸς τὸ τέλος *) ἑκάστης πράξεως καὶ ὁμιλίας
καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀν-
θρώπων φέρονται; Καὶ μάλα. Ἀνέξει ἄρα λέγοντος ἐμοῦ
περὶ τούτων ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων· ἐρῶ γὰρ
δὴ ὅτι οἱ * μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται, ἐν D
τῇ αὑτῶν πόλει ἄρχουσί τε ἂν βούλωνται τὰς ἀρχάς **),
γαμοῦσί τε ὁπόθεν ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν
ἐθέλωσι· καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ
τῶνδε. καὶ αὖ καὶ περὶ τῶν ἀδίκων, ὅτι οἱ πολλοὶ αὐτῶν,
καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρε-
θέντες καταγέλαστοί εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προ-
πηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν, μαστιγούμενοι καὶ
ἃ * ἄγροικα ἔφησθα σὺ εἶναι ἀληθῆ λέγων, εἶτα στρεβλώ- E
σονται καὶ ἐκκαυθήσονται, πάντα ***) ἐκεῖνα οἴου καὶ ἐμοῦ
ἀκηκοέναι ὡς πάσχουσιν. ἀλλ' ὃ λέγω, ὅρα εἰ ἀνέξει. Καὶ
πάνυ, ἔφη· δίκαια γὰρ λέγεις.

Ἃ μὲν τοίνυν, ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν
τε καὶ ἀνθρώπων * ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται 614
πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς, οἷς αὐτὴ παρείχετο ἡ δικαιο-
σύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλ', ἔφη, καλά τε καὶ βέβαια.
Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει
πρὸς ἐκεῖνα ἃ τελευτήσαντα ἑκάτερον περιμένει. χρὴ δ'
αὐτὰ ἀκοῦσαι, ἵνα τελέως ἑκάτερος αὐτῶν ἀπειληφὼς ᾖ †)

*) ἀλλ. πρὸς τέλος. **) ἴσ. ἃς ἂν βούλωνται ἀρχάς. ***) ἴσ. λέγων, πάντα. †) ἀλλ. ἀπειλήφῃ

contraria horum oportet ſtatui? Etiam. Et haec fere erunt a diis proficiſcentia iuſti praemia. Ex mea certe ſententia, inquit. Quid vero, inquam, ab hominibus? nonne ita habet, ſi verum nos fateri oportet: vafri et iniuſti idem faciunt quod curſores, qui bene currunt ex inferiore loco, ex ſuperiore autem non item? primo videlicet celeriter deſiliunt, ad extremum autem ridiculos ſe praebent, aures ad humeros demittentes et ſine corona aufugientes, veri contra curſores ad metam pervenientes praemia accipiunt et coronantur. nonne hoc etiam iuſtis ex maxima parte evenit, ut ad finem cuiusque actionis et communitatis et vitae gloriam conſequantur et victoriae inſignia ab hominibus reportent? Sane quidem. Permittes igitur mihi ut in his dicam quae ipſe dixiſti in iniuſtis; dicam videlicet iuſtos, quum ſeniores facti fuerint, in civitate ſua quascumque voluerint poteſtates gerere, uxorem ducere undecumque voluerint nuptumque dare quibuscumque libuerit; et omnia quae tu in illis, ego nunc dico in his. atque etiam in iniuſtis, pleroſque eorum, etiamſi iuvenes latuerint, in fine curſus deprehenſos ridiculos eſſe ſenesque factos miſere contumelia vexari ab exteris et civibus, verberibus caſtigatos et quae ſaeva tu aiebas eſſe vere dicens, [deinde torqueri et exuri], omnia illa exiſtima a me quoque audire eos pati. at quod dixi, vide an permiſſurus ſis. Sane quidem, inquit; iuſta enim dicis.

Quae igitur, inquam, viventi iuſto a diis et hominibus praemia et mercedes et munera tribuuntur praeter bona illa quae ipſa afferebat iuſtitia, haec fere erunt. Admodum illa quidem, inquit, praeclara et certa. Haec tamen, inquam, nihil ſunt multitudine et magnitudine ad illa quae mortuum utrumque manent. oportet autem ea audiri, ut perfecte uterque eorum accipiat quae

τὰ ὑπὸ τοῦ λόγου ὀφειλόμενα ἀκοῦσαι. Λέγοις ἄν, ἔφη,
ὡς οὐ πολλὰ ἄλλ' *) ἥδιον * ἀκούοντι **). Ἀλλ' οὐ μέντοι B
σοι, ἦν δ' ἐγώ, Ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου
μὲν ἀνδρός, Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου· ὅς
ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων τῶν
νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνῃρέθη, κομισθεὶς
δὲ οἴκαδε, μέλλων θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ
κείμενος ἀνεβίω, ἀναβιοὺς δ' ἔλεγεν ἃ ἐκεῖ ἴδοι ***). ἔφη
δέ· ἐπειδὴ οὗ ἐκβῆναι τὴν ψυχήν, πορεύεσθαι μετὰ πολ-
λῶν, καὶ ἀφικνεῖσθαι * σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν C
ᾧ τῆς τε γῆς δύ' εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ
οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα καταντικρύ· δικαστὰς δὲ με-
ταξὺ τούτων καθῆσθαι, οὕς, ἐπειδὴ διαδικάσειαν, τοὺς
μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω
διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντας τῶν δεδικασμένων
ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ
κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα * πάν- D
των ὧν ἔπραξαν· ἑαυτοῦ δὲ προςελθόντος εἰπεῖν ὅτι δέοι
αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ, καὶ διακελεύε-
σθαί οἱ (*) ἀκούειν τε καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ.
ὁρᾶν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ
τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ αὐτοῦ δικα-
σθεῖεν (**), κατὰ δὲ τὸ ἕτερον (***) ἐκ μὲν τοῦ ἀνιέναι ἐκ
τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου
καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρανοῦ καθαράς· καὶ * τὰς ἀεὶ E
ἀφικνουμένας ὥςπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν,
καὶ ἀσμένας (****) εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανη-
γύρει κατασκηνᾶσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώ-
ριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ
τῶν ἑτέρων τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ' ἐκεί-
ναις· διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ
κλαούσας, ἀναμιμνησκομένας * ὅσα τε καὶ οἷα πάθοιεν καὶ 615
ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλιετῆ),

*) γρ. πολλά, ἀλλ'. ἴσ. πολλὰ ἄττ'.
) ἴσ. ἀκούοντος. *) ἴσ. εἶδεν.
(*) γρ. διακελεύοιντό οἱ. (**) ἄλλ. αὐταῖς δικασθείη.
(***) ἄλλ. τῷ ἑτέρῳ. (****) γρ. ἀσμένως.

ab oratione ei audienda sunt. Dic, inquit, arbitrans non multa esse quae libentius audiam. Neque tamen tibi, inquam, Alcinoi apologum narrabo, sed strenui scilicet viri, Eris Armenii filii, oriundi e Pamphylia; qui aliquando, quum in acie cecidisset et decem diebus post sublati essent caesi iam corrupti, integer sublatus est, domumque deportatus ut sepeliretur duodecim diebus post rogo impositus revixit et quum revixisset narravit quae ibi viderat. dixit autem: quum animus ipsius egressus esset, profectum esse cum multis et venisse se ad locum quendam admirabilem, ubi duo fuerint terrae hiatus inter se connexi et caeli quoque hiatus supra alii e regione; iudices autem medios eorum sedere, qui. quum iudicaverint, iustos quidem iubeant proficisci dextrorsus et sursum per caelum, signa affigentes iudicatorum fronti, iniustos autem sinistrorsus et deorsum, habentes hos quoque a tergo signa omnium quae fecerint; ipse autem quum accessisset, illos dixisse oportere ipsum nuncium hominibus afferre de eis quae ibi gererentur, et iussisse ipsum audire et spectare omnia quae hoc in loco fierent. itaque se vidisse per utrumque hiatum et caeli et terrae discedentes animos, postquam ibi in iudicium vocati fuissent, ex altero autem adscendisse e terra plenos squaloris et pulveris, ex altero descendisse alios de caelo puros; et omnes advenientes tamquam ex multo itinere videri accedere, et libenter in campum discedentes velut in festo coetu commorari, et salutare inter se quicumque noti, et sciscitari e terra venientes ex alteris quae ibi gererentur et e caelo profectos quae apud illos fierent; narrare vero inter se illos quidem lamentantes ac plorantes, quippe recordantes quanta et qualia perpessi essent et vidissent sub terra proficiscentes (esse autem profectionem mille annorum), qui vero e caelo migrassent,

τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θέας ἀμηχάνους τὸ κάλλος. τὰ μὲν οὖν πολλά, ὦ Γλαύκων, πολλοῦ χρόνου διηγήσασθαι· τὸ δ' οὖν κεφάλαιον ἔφη τόδε εἶναι, ὅσα πώποτέ τινα ἠδίκησαν καὶ ὅσους ἕκαστοι, ὑπὲρ ἁπάντων δίκην δεδωκέναι ἐν μέρει, ὑπὲρ ἑκάστου δεκάκις· τοῦτο δ' εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς * βίου B
ὄντος τοσούτου τοῦ ἀνθρωπίνου, ἵνα δεκαπλάσιον τὸ ἔκτισμα τοῦ ἀδικήματος ἐκτίνοιεν· καὶ οἷον *) εἴ τινες πολλῶν θανάτων ἦσαν αἴτιοι, ἢ πόλεις προδόντες ἢ στρατόπεδα καὶ εἰς δουλείας ἐμβεβληκότες, ἤ τινος ἄλλης κακουχίας μεταίτιοι, πάντων τούτων δεκαπλασίας ἀλγηδόνας ὑπὲρ ἑκάστου κομίσαιντο, καὶ αὖ εἴ τινας εὐεργεσίας εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν, κατὰ ταὐτὰ τὴν ἀξίαν κομίζοιντο. τῶν * δὲ εὐθὺς γενομένων **) καὶ ὀλίγον χρόνον βιούν- C
των πέρι ἄλλα ἔλεγεν οὐκ ἄξια μνήμης. εἰς δὲ θεοὺς ἀσεβείας τε καὶ εὐσεβείας καὶ γονέας ***) καὶ αὐτόχειρας †) φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖτο. ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρου ὅπου εἴη Ἀριδαῖος ††) ὁ μέγας. ὁ δὲ Ἀριδαῖος οὗτος τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον, γέροντά τε πατέρα ἀποκτείνας καὶ * πρεσβύτερον ἀδελ- D
φόν, καὶ ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη οὖν τὸν ἐρωτώμενον εἰπεῖν, Οὐχ ἥκει, φάναι, οὐδ' ἂν ἥξοι δεῦρο. ἐθεασάμεθα γὰρ οὖν δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων. ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν μέλλοντες ἀνιέναι καὶ τἆλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους· ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων· οὓς οἰομένους * ἤδη ἀναβήσεσθαι οὐκ ἐδέχετο τὸ στόμιον, E
ἀλλ' ἐμυκᾶτο, ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην ἐπιχειροῖ ἀνιέναι. ἐνταῦθα δὴ ἄνδρες, ἔφη, ἄγριοι καὶ διάπυροι †††) ἰδεῖν, παρεστῶτες καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν ἰδίᾳ λα-

*) ἴσ. ἀνθρωπίνου, οἷον. **) ἴσ. γενομένων ἀποθανόντων. ***) ἴσ. καὶ εἰς γονέας. †) ἴσ. αὐτοχειρίας. ††) γρ. Ἀρδιαῖος. †††) ἄλλ. ἄγριοι, διάπυροι.

lautitias narrare et ſpectationes mirum quam pulchras. ac plurima quidem, Glauco, narrare multi eſt temporis; ſummam autem dixit in hoc conſiſtere: quot umquam alicui iniurias feciſſent et quibuscumque quisque, harum omnium poenas dediſſe ſingulos, cuiusque decies; hoc autem eſſe centenis quibusque annis, quia vitae humanae tantum eſſet ſpatium, ut malefacti poenas decies luerent, velut ſi qui multorum caedis cauſam ſustinuiſſent, vel civitates prodentes vel exercitus et in ſervitutem coniicientes, vel aliam quam calamitatem intuliſſent, omnium horum cuiusque decies poenas penderent, atque etiam ſi quos beneficiis affeciſſent iuſtique et pii exſtitiſſent, eodem modo pro dignitate honorarentur. de eis vero qui ſtatim ut nati fuiſſent mortem obiſſent et breve tempus vixiſſent alia retulit haud digna quae memorentur. pietatis autem et impietatis erga deos et parentes mortisque conſcitae etiam maiores commemoravit mercedes. narravit enim ſe adfuiſſe quum alter ab altero interrogaretur ubi eſſet Aridaeus magnus. hic autem Aridaeus in Pamphyliae urbe quadam tyrannus fuerat, abhinc annis iam mille, ſenem patrem occiderat fratremque natu maiorem, et alia multa impia commiſerat, ut tradebatur. dixit igitur interrogatum reſpondiſſe: Non venit nec veniet huc. vidimus igitur etiam hoc horribile ſpectaculum. quum prope oſtium eſſemus reliqua omnia perpeſſi et adſcendere vellemus, illum conſpeximus repente aliosque plurimos fere tyrannos; aderant etiam privati quidam ex iis qui magna peccaverant, quos opinantes ſe iam adſcenſuros eſſe non recipiebat oſtium, ſed mugiebat, quotiescumque aliquis eorum qui tam inſanabili eſſent improbitate vel qui non ſatis poenas luiſſet conaretur adſcendere. hic igitur viri, inquit, feri et ardentes ad adſpectum, prope ſtantes et fremitum percipientes, illos quidem ſeparatim

βόντες *) ἦγον, τὸν δὲ Ἀριδαῖον καὶ ἄλλους ξυμποδίσαντες
χεῖράς τε καὶ πόδας * καὶ κεφαλήν, καταβαλόντες καὶ ἐκδεί- 616
ραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνά-
πτοντες, καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες ὧν ἕνεκά τε ταῦτα
ὑπομένοιεν καὶ ὅτι εἰς τὸν τάρταρον ἐμπεσούμενοι ἄγοιντο,
ἔνθα δὴ φόβων, ἔφη, πολλῶν καὶ παντοδαπῶν σφίσι γεγο-
νότων τοῦτον ὑπερβάλλειν τὸν φόβον, μὴ γένοιτο ἑκάστῳ
τὸ φθέγμα, ὅτε ἀναβαίνοι **), καὶ ἀσμεναίτατα ***) ἕκαστον
σιγήσαντος ἀναβῆναι. καὶ τὰς μὲν δὴ δίκας τε καὶ τιμω-
ρίας τοιαύτας * τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύταις B
ἀντιστρόφους. ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ
ἡμέραι γένοιντο, ἀναστάντας ἐντεῦθεν δεῖν τῇ ὀγδόῃ πορεύε-
σθαι, καὶ ἀφικνεῖσθαι τεταρταίους, ὅθεν καθορᾶν ἄνωθεν
διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύ, οἷον
κίονα, μάλιστα τῇ Ἴριδι προσφερές †), λαμπρότερον δὲ καὶ
καθαρώτερον, εἰς ὃ ἀφικέσθαι προελθόντας ἡμερησίαν ὁδόν,
καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον * τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τὰ C
ἄκρα αὐτοῦ τῶν δεσμῶν τεταμένα· εἶναι γὰρ τοῦτο τὸ φῶς
ξύνδεσμον τοῦ οὐρανοῦ, οἷον τὰ ὑποζώματα τῶν τριήρων,
οὕτω πᾶσαν ξυνέχον τὴν περιφοράν. ἐκ δὲ τῶν ἄκρων τετα-
μένον Ἀνάγκης ἄτρακτον, δι' οὗ πάσας ἐπιστρέφεσθαι τὰς
περιφοράς· οὗ τὴν μὲν ἠλακάτην τε καὶ τὸ ἄγκιστρον εἶναι ἐξ
ἀδάμαντος, τὸν δὲ σφόνδυλον μικτὸν ἔκ τε τούτου καὶ ἄλλων
γενῶν. τὴν δὲ τοῦ σφονδύλου φύσιν * εἶναι τοιάνδε, τὸ μὲν D
σχῆμα, οἵαπερ ἡ τοῦ ἐνθάδε, νοῆσαι δὲ δεῖ ἐξ ὧν ἔλεγε,
τοιόνδε αὐτὸν εἶναι, ὥσπερ ἂν εἰ ἐν ἑνὶ μεγάλῳ σφονδύ-
λῳ κοίλῳ καὶ ἐξεγλυμμένῳ διαμπερὲς ἄλλος τοιοῦτος ἐλάτ-
των ἐγκέοιτο ἁρμόττων, καθάπερ οἱ κάδοι οἱ εἰς ἀλλήλους
ἁρμόττοντες· καὶ οὕτω δὴ τρίτον ἄλλον καὶ τέταρτον καὶ
ἄλλους τέτταρας· ὀκτὼ γὰρ εἶναι τοὺς ξύμπαντας σφονδύ-
λους, ἐν ἀλλήλοις ἐγκειμένους, κύκλους ἄνωθεν τὰ χείλη
* φαίνοντας, νῶτον ξυνεχὲς ἑνὸς σφονδύλου ἀπεργαζομένους E
περὶ τὴν ἠλακάτην· ἐκείνην δὲ διὰ μέσου τοῦ ὀγδόου διαμ-

*) ἄλλ. μὲν διαλαβόντες. **) γρ. φόβον, εἰ μυκήσαιτο τὸ στόμιον· καὶ ἀσμεν. ἴσ. μὴ γένοιτο τὸ φθέγμα, ὅτε ἀναβαίνοιεν.

***) γρ. ἀσμενέστατα. †) ἄλλ. προσφερῆ.

prehendentes duxerunt, Aridaeum vero aliosque colligatis et manibus et pedibus et capite prostratos et excarnificatos traxerunt iuxta viam foras super spinis laniantes, et cuique praetereunti significantes quam ob causam illi haec paterentur, eosque abduci ut in Tartarum coniicerentur, ubi, quum multi, inquit, variique terrores eis iniicerentur, hunc tamen terrorem ac metum superare omnes, ne fremitus ederetur, quando adscensuri essent, et libentissime quemque illo silente adscendere. ac poenas quidem et supplicia haec fere esse, atque etiam beneficia his respondentia. quum autem quisque in campo septem dies traduxisset, surgentibus hinc octavo die proficiscendum fuisse, et venisse quatriduo in locum unde spectaverint desuper per totum caelum et terram extensum lumen directum instar columnae, maxime Iridis simile, splendidius vero ac purius, ad quod venisse quum viam confecissent unius diei, ibique vidisse medio in lumine extremitates caeli vinculorum ex illo suspensas; esse enim hoc lumen colligationem caeli quae, sicuti cingula triremium, ita universum contineret circuitum. ex illis vero extremitatibus suspensum esse Necessitatis fusum, per quem omnes converterentur circuitus; eiusque scapum et hamum esse adamantinum, verticillum vero compositum ex hoc aliisque generibus. verticilli autem naturam esse hanc ut speciem quidem talem haberet qualem hic apud nos, ex iis autem quae retulit cogitandus est perinde se habere, ac si uni magno verticillo eique cavo et exsculpto penitus alius huiusmodi minor insertus sit congruens, quemadmodum cadi inter se quadrantes; et ita tertius alius et quartus aliique quattuor; octo enim esse universos verticillos, inter se insertos, orbes superne labia ostendentes, dorsum continuum unius verticilli efficientes circum scapum, hunc autem per totum medium octavum per-

περὲς ἐληλάσθαι. τὸν μὲν οὖν πρῶτόν τε καὶ ἐξωτάτω σφόνδυλον πλατύτατον τὸν τοῦ χείλους κύκλον ἔχειν, τὸν δὲ τοῦ ἕκτου δεύτερον, τρίτον δὲ τὸν τοῦ τετάρτου, τέταρτον δὲ τὸν τοῦ ὀγδόου, πέμπτον δὲ τὸν τοῦ ἑβδόμου, ἕκτον δὲ τὸν τοῦ πέμπτου, ἕβδομον δὲ τὸν τοῦ τρίτου, ὄγδοον δὲ τὸν τοῦ δευτέρου. καὶ τὸν μὲν τοῦ μεγίστου ποικίλον, τὸν δὲ τοῦ ἑβδόμου λαμπρότατον, τὸν δὲ τοῦ ὀγδόου τὸ χρῶμα ἀπὸ τοῦ ἑβδόμου ἔχειν * προςλάμποντος, τὸν δὲ τοῦ δευτέ- 617
ρου καὶ πέμπτου παραπλήσια ἀλλήλοις, ξανθότερα ἐκείνων, τρίτον δὲ λευκότατον χρῶμα ἔχειν, τέταρτον δὲ ὑπέρυθρον, δεύτερον δὲ λευκότητι τὸν ἕκτον ὑπερβάλλειν. κυκλεῖσθαι δὲ δὴ στρεφόμενον τὸν ἄτρακτον ὅλον μὲν τὴν αὐτὴν φοράν· ἐν δὲ τῷ ὅλῳ περιφερομένῳ τοὺς μὲν ἐντὸς ἑπτὰ κύκλους τὴν ἐναντίαν τῷ ὅλῳ ἠρέμα περιφέρεσθαι, αὐτῶν δὲ τούτων τάχιστα μὲν ἰέναι τὸν ὄγδοον, δευτέρους * δὲ καὶ ἅμα ἀλ- B
λήλοις τόν τε ἕβδομον καὶ ἕκτον καὶ πέμπτον· τὸν τρίτον δὲ φορᾷ ἰέναι, ὡς σφίσι φαίνεσθαι, ἐπανακυκλούμενον τὸν τέταρτον, τέταρτον δὲ τὸν τρίτον καὶ πέμπτον τὸν δεύτερον. στρέφεσθαι δὲ αὐτὸν ἐν τοῖς τῆς Ἀνάγκης γόνασιν. ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι Σειρῆνα ξυμπεριφερομένην, φωνὴν μίαν ἱεῖσαν, ἕνα τόνον *)· ἐκ πασῶν δὲ ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν ξυμφωνεῖν. ἄλλας δὲ καθημένας πέριξ δι' ἴσου τρεῖς, ἐν θρόνῳ * ἑκάστην, θυγατέρας τῆς C
Ἀνάγκης, Μοίρας, λευχειμονούσας, στέμματα ἐπὶ τῶν κεφαλῶν ἐχούσας, Λάχεσίν τε καὶ Κλωθὼ καὶ Ἄτροπον, ὑμνεῖν πρὸς τὴν τῶν Σειρήνων ἁρμονίαν, Λάχεσιν μὲν τὰ γεγονότα, Κλωθὼ δὲ τὰ ὄντα, Ἄτροπον δὲ τὰ μέλλοντα. καὶ τὴν μὲν Κλωθὼ τῇ δεξιᾷ χειρὶ ἐφαπτομένην ξυνεπιστρέφειν τοῦ ἀτράκτου τὴν ἔξω περιφοράν, διαλείπουσαν χρόνον, τὴν δὲ Ἄτροπον τῇ ἀριστερᾷ τὰς ἐντὸς αὖ ὡσαύτως, τὴν δὲ Λάχεσιν * ἐν μέρει ἑκατέρας ἑκατέρᾳ τῇ χειρὶ ἐφάπτεσθαι. Σφᾶς D
οὖν, ἐπειδὴ ἀφικέσθαι, εὐθὺς δεῖν ἰέναι πρὸς τὴν Λάχεσιν. προφήτην οὖ τινὰ σφᾶς πρῶτον μὲν ἐν τάξει διαστῆσαι, ἔπειτα λαβόντα ἐκ τῶν τῆς Λαχέσεως γονάτων κλήρους τε καὶ βίων παραδείγματα, ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν εἰ-

*) γρ. ἀνάτονον.

tinere. ac primum quidem et extremum verticillum latissimum labii orbem habere, sexti orbem secundum esse, tertium quarti, quartum octavi, quintum septimi, sextum quinti, septimum tertii, octavum secundi. et maximi quidem orbem esse varium, septimi splendidissimum, octavi colorem a septimo habere affulgente, secundi et quinti similes inter se colores habere, magis flavos quam illos, tertium candidissimum, quartum subrufum, et secundum candore sextum superare. ferri autem fusum se convertentem totum quidem eodem motu; in toto autem se convertente interiores septem orbes in contrariam totius partem leniter circumferri; et ex his ipsis celerrime agitari octavum, secundos et simul septimum et sextum et quintum; tertium vero, ut ipsis visum esset, ita ferri ut quarto se circumvolveret, quartum ut tertio et quintum ut secundo. agitari autem eum in Necessitatis genibus. in orbibus eius singulis superne insistere Sirena una circumactam, vocem unam fundentem, unum tonum; et ex omnibus quae octo essent unum concentum effici concordem. alias vero sedentes circumcirca pari intervallo tres, in solio quamque, filias Necessitatis, Parcas, albis vestibus indutas, infulas in capite habentes, Lachesin, Clotho et Atropon, canere ad Sirenum concentum, Lachesin praeterita, Clotho praesentia et Atropon futura. et Clotho quidem dextra manu attingentem una circumagere exteriorem fusi circuitum, interiecto tempore, Atropon sinistra interiores eodem modo, Lachesin autem alternis utrasque utraque manu. Ipsos igitur quum advenissent statim oportuisse ad Lachesin accedere: tum vatem aliquem ipsos primum in ordinem disposuisse, deinde sumptis e Lachesis genibus sortibus vitaeque exemplis suggestum quendam excelsum conscendisse verbaque haecce se-

πεῖν Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγος. Ψυχαὶ ἐφήμεροι, ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου, οὐχ ὑμᾶς * δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. E
πρῶτος δ' ὁ λαχὼν πρῶτος αἱρείσθω βίον, ᾧ ξυνέσται ἐξ ἀνάγκης. ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου, θεὸς ἀναίτιος. Ταῦτα εἰπόντα ῥῖψαι ἐπὶ πάντας τοὺς κλήρους, τὸν δὲ παρ' αὐτὸν πεσόντα ἕκαστον ἀναιρεῖσθαι, πλὴν οὗ· ἓ δὲ οὐκ ἐᾶν. τῷ δὲ ἀνελομένῳ δῆλον εἶναι ὁπόστος εἰλήχει *).
* μετὰ δὲ τοῦτο αὖθις τὰ τῶν βίων παραδείγματα εἰς τὸ 618
πρόσθεν σφῶν θεῖναι ἐπὶ τὴν γῆν, πολὺ πλείω τῶν παρόντων· εἶναι δὲ παντοδαπά· ζώων τε γὰρ πάντων βίους καὶ δὴ καὶ τοὺς ἀνθρωπίνους ἅπαντας· τυραννίδας τε γὰρ ἐν αὐτοῖς εἶναι, τὰς μὲν διατελεῖς, τὰς δὲ καὶ μεταξὺ διαφθειρομένας καὶ εἰς πενίας τε καὶ φυγὰς καὶ εἰς πτωχείας τελευτώσας· εἶναι δὲ καὶ δοκίμων ἀνδρῶν βίους, τοὺς μὲν ἐπὶ εἴδεσι καὶ κατὰ κάλλη καὶ τὴν ἄλλην ἰσχύν τε * καὶ ἀγω- B
νίαν, τοὺς δ' ἐπὶ γένεσι καὶ προγόνων ἀρεταῖς, καὶ ἀδοκίμων **) κατὰ ταὐτά· ὡσαύτως δὲ καὶ γυναικῶν. ψυχῆς δὲ τάξιν οὐκ ἐνεῖναι διὰ τὸ ἀναγκαίως ἔχειν ἄλλον ἑλομένην βίον ἀλλοίαν γίγνεσθαι· τὰ δ' ἄλλα ἀλλήλοις τε καὶ πλούτοις καὶ πενίαις, τὰ δὲ νόσοις, τὰ δὲ ὑγιείαις μεμίχθαι, τὰ δὲ καὶ μεσοῦν ***) τούτων.

Ἔνθα δή, ὡς ἔοικεν, ὦ φίλε Γλαύκων, ὁ πᾶς κίνδυνος ἀνθρώπῳ, καὶ διὰ ταῦτα μάλιστα ἐπιμελητέον ὅπως ἕκαστος ἡμῶν * τῶν ἄλλων μαθημάτων ἀμελήσας τούτου τοῦ μαθή- C
ματος καὶ ζητητὴς καὶ μαθητὴς ἔσται, ἐάν ποθεν οἷός τ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν τίς †) αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον καὶ χρηστὸν καὶ πονηρὸν διαγιγνώσκοντα, τὸν βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι, ἀναλογιζόμενον πάντα τὰ νῦν δὴ ῥηθέντα καὶ ξυντιθέμενα ἀλλήλοις καὶ διαιρούμενα πρὸς ἀρετὴν βίου πῶς ἔχει· καὶ εἰδέναι τί κάλλος πενίᾳ ἢ πλούτῳ κραθὲν * καὶ μετὰ ποίας D

*) γρ. εἴληφε. ἄλλ. εἰλήχειν.
**) γρ. εὐδοκίμων. ἴσ. καὶ αὖ ἀδοκίμων.
***) γρ. μέσον. †) ἴσ. ἐξευρεῖν, ὅ τι.

cisse: Necessitatis filiae virginis Lachesis oratio: Animi in diem viventes, initium alius circuitus mortalis generis letiferi, non vos genius sortietur, sed vos genium eligetis. qui primus sortem ducit primus eligito vitam in qua versabitur necessitate adstrictus. virtus autem libera est, quam ut quisque maxime colet aut negliget, ita maxime aut minime habebit. culpa penes eligentem, deus culpa caret. Quae quum dixisset, coniecisse in omnes sortes, et quemque sustulisse sibi obiectam, se excepto; sibi enim illum non permisisse, quum vero sustulisset quisque, liquere quotus sortito factus esset. deinde rursus vitarum exempla ante ipsos posuisse in terra, multo plura quam praesentia; fuisse autem varii generis; animantium enim omnium vitas atque etiam humanas omnes; etenim tyrannides in eis fuisse, partim perpetuas, partim quoque medio in cursu exstinctas et in paupertatem, exsilium et mendicitatem versas; fuisse etiam spectatorum virorum vitas, partim ad speciem et pulchritudinem reliquasque vires et certationem, partim ad nobilitatem maiorumque virtutes, et ignobilium similiter, itemque mulierum. animi autem ordinem non inesse propterea quod necessario aliam eligens vitam alius exsisteret; reliqua et inter se et divitiis ac paupertate, morbis et sanitate mixta esse, nonnulla etiam medium quiddam tenere.

Hic iam, ut patet, care Glauco, omne periculum homini, et hanc ob causam omnem cuiusque nostrum curam versari oportet in hoc ut reliquis disciplinis neglectis hanc disciplinam et investiget et addiscat, sicunde possit addiscere et invenire, quae ipsum ita comparet, ut possit ac sciat, vitam bonam a prava discernens, meliorem ex omnibus quaecumque eligi possint ubique eligere, secum reputans omnia modo dicta eaque inter se componens atque diiudicans ad vitam virtute praestantem quomodo se habeant; ut porro intelligat, quid pulchritudo cum paupertate aut divitiis coniuncta et cum

τινὸς ψυχῆς ἕξεως κακὸν ἢ ἀγαθὸν ἐργάζεται, καὶ τί εὐγέ-
νειαι καὶ δυσγένειαι καὶ ἰδιωτεῖαι καὶ ἀρχαὶ καὶ ἰσχύες καὶ
ἀσθένειαι καὶ εὐμαθίαι καὶ δυσμαθίαι, καὶ πάντα τὰ τοιαῦ-
τα τῶν φύσει περὶ ψυχὴν ὄντων καὶ τῶν ἐπικτήτων τί ξυγ-
κεραννύμενα πρὸς ἄλληλα ἐργάζεται, ὥστε ἐξ ἁπάντων αὐ-
τῶν δυνατὸν εἶναι ξυλλογισάμενον αἱρεῖσθαι, πρὸς τὴν τῆς
ψυχῆς φύσιν ἀποβλέποντα, τόν τε χείρω καὶ τὸν ἀμείνω
βίον, χείρω * μὲν καλοῦντα ὃς αὐτὴν ἐκεῖσε ἄξει εἰς τὸ E
ἀδικωτέραν γίγνεσθαι, ἀμείνω δὲ ὅστις εἰς τὸ δικαιοτέραν,
τὰ δὲ ἄλλα πάντα χαίρειν ἐᾶν· ἑωράκαμεν γὰρ ὅτι ζῶντί τε
καὶ τελευτήσαντι αὕτη κρατίστη αἵρεσις. ἀδαμαντίνως * δεῖ 619
δὴ *) ταύτην τὴν δόξαν ἔχοντα εἰς Ἅιδου ἰέναι, ὅπως ἂν ᾖ
καὶ ἐκεῖ ἀνέκπληκτος ὑπὸ πλούτων τε καὶ τῶν τοιούτων
κακῶν, καὶ μὴ ἐμπεσὼν εἰς τυραννίδας καὶ ἄλλας τοιαύτας
πράξεις πολλὰ μὲν ἐργάσηται καὶ ἀνήκεστα κακά, ἔτι δὲ
αὐτὸς μείζω πάθῃ, ἀλλὰ γνῷ τὸν μέσον ἀεὶ τῶν τοιούτων
βίον αἱρεῖσθαι καὶ φεύγειν τὰ ὑπερβάλλοντα ἑκατέρωσε καὶ
ἐν τῷδε τῷ βίῳ κατὰ τὸ δυνατὸν καὶ ἐν παντὶ τῷ ἔπειτα·
οὕτω γὰρ εὐδαιμονέστατος * γίγνεται ἄνθρωπος. B

Καὶ δὴ οὖν καὶ τότε ὁ ἐκεῖθεν ἄγγελος ἤγγελλε τὸν μὲν προ-
φήτην οὕτως εἰπεῖν Καὶ τελευταίῳ ἐπιόντι, σὺν τῷ ἑλομένῳ,
ξυντόνως ζῶντι, κεῖται βίος ἀγαπητός, οὐ κακός. μήτε ὁ
ἄρχων αἱρέσεως ἀμελείτω μήτε ὁ τελευτῶν ἀθυμείτω. Εἰ-
πόντος δὲ ταῦτα τὸν πρῶτον λαχόντα ἔφη εὐθὺς ἐπιόντα
τὴν μεγίστην τυραννίδα ἑλέσθαι, καὶ ὑπὸ ἀφροσύνης τε καὶ
λαιμαργίας οὐ πάντα ἱκανῶς ἀνασκεψάμενον ἑλέσθαι, * ἀλλ' C
αὐτὸν λαθεῖν ἐνοῦσαν εἱμαρμένην, παίδων αὑτοῦ βρώσεις
καὶ ἄλλα κακά· ἐπειδὴ δὲ κατὰ σχολὴν σκέψασθαι, κόπτε-
σθαί τε καὶ ὀδύρεσθαι τὴν αἵρεσιν, οὐκ ἐμμένοντα τοῖς
προρρηθεῖσιν ὑπὸ τοῦ προφήτου· οὐ γὰρ ἑαυτὸν αἰτιᾶσθαι
τῶν κακῶν, ἀλλὰ τύχην τε καὶ δαίμονας καὶ πάντα μᾶλλον
ἀνθ' ἑαυτοῦ. εἶναι δὲ αὐτὸν τῶν ἐκ τοῦ οὐρανοῦ ἡκόντων,
ἐν τεταγμένῃ πολιτείᾳ ἐν τῷ προτέρῳ βίῳ βεβιωκότα, ἔθει

---

*) γρ. δὴ δεῖ.

animi habitu qualiscumque est mali aut boni efficiat, et quid generis splendor aut humilitas, vita privata et imperia, robur et imbecillitas, ingenium docile et indocile omniaque eiusdem generis quae vel natura animo inhaerent vel acquiruntur, quid igitur haec inter se conflata efficiant, ut ex omnibus illis colligens eligere possit, ad animi naturam spectans, deteriorem ac meliorem vitam, deteriorem quidem vocans quae ipsum eo ducat ut iniustior exsistat, meliorem autem quae iustiorem eum reddat, reliqua vero omnia missa faciat; vidimus enim hanc tam viventi quam mortuo optimam esse electionem. firmissime igitur eum oportet hanc sententiam tenentem ad inferos abire, ut ibi quoque neque divitiis neque aliis huiusmodi malis perturbetur, nec incidens in tyrannides aliasque eiusmodi actiones multa committat insanabilia facinora, atque etiam maiora ipse patiatur, sed intelligat mediam semper harum vitam eligendam et fugienda esse quae in alterutram partem modum excedant et in hacce vita quoad eius fieri possit et in omni postera; ita enim beatissimus exsistit homo.

Atque etiam tum nuncius istinc veniens nunciavit vatem haec dixisse: Etiam postremo accedenti, si prudenter eligit et contente vivit, proposita est vita probata, non mala. neque qui incipit electionem negligens esto neque qui eam finit desperato. Quae quum dixisset, eum qui primus sortem duxisset narravit statim procedentem maximam elegisse tyrannidem, et prae dementia atque insatiabili cupiditate non omnia satis perpendentem eam elegisse, sed fugisse eum hoc fatum inesse, ut suos ipse liberos voraret aliaque facinora committeret; ubi vero per otium perpenderet, plangi et queri de electione quod non observasset a vate praedicta; neque enim sibi causam attribuere malorum, sed fortunae et geniis omnibusque potius quam sibi. fuisse autem eum ex illis qui e caelo venissent, et in civitate bene constituta priore in vita vixisse, consuetudine sine philosophia

ἄνευ φιλοσοφίας ἀρετῆς * μετειληφότα. ὡς δὲ καὶ εἰπεῖν, D
οὐκ ἐλάττους εἶναι ἐν τοῖς τοιούτοις ἁλισκομένους τοὺς ἐκ
τοῦ οὐρανοῦ ἥκοντας, ἅτε πόνων ἀγυμνάστους· τῶν δ' ἐκ
τῆς γῆς τοὺς πολλούς, ἅτε αὐτούς τε πεπονηκότας ἄλλους
τε ἑωρακότας, οὐκ ἐξ ἐπιδρομῆς τὰς αἱρέσεις ποιεῖσθαι. διὸ
δὴ καὶ μεταβολὴν τῶν κακῶν καὶ τῶν ἀγαθῶν ταῖς πολλαῖς
τῶν ψυχῶν γίγνεσθαι, καὶ διὰ τὴν τοῦ κλήρου τύχην· ἐπεὶ
εἴ τις ἀεί, ὁπότε εἰς τὸν ἐνθάδε βίον ἀφικνοῖτο, ὑγιῶς φι-
λοσοφοῖ * καὶ ὁ κλῆρος αὐτῷ τῆς αἱρέσεως μὴ τελευταῖος *) E
πίπτοι, κινδυνεύει ἐκ τῶν ἐκεῖθεν ἀπαγγελλομένων οὐ μό-
νον ἐνθάδε εὐδαιμονεῖν ἄν, ἀλλὰ καὶ τὴν ἐνθένδε ἐκεῖσε καὶ
δεῦρο πάλιν πορείαν οὐκ ἂν χθονίαν καὶ τραχεῖαν πορεύε-
σθαι, ἀλλὰ λείαν τε καὶ οὐρανίαν. ταύτην γὰρ δὴ ἔφη τὴν
θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ ᾑροῦντο τοὺς
βίους· * ἐλεεινήν **) τε γὰρ ἰδεῖν εἶναι καὶ γελοίαν καὶ 620
θαυμασίαν· κατὰ ξυνήθειαν γὰρ τοῦ προτέρου βίου τὰ πολ-
λὰ αἱρεῖσθαι. ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη τήν ποτε Ὀρφέως
γενομένην κύκνου βίον αἱρουμένην μίσει τοῦ γυναικείου γέ-
νους, διὰ τὸν ὑπ' ἐκείνων θάνατον οὐκ ἐθέλουσαν ἐν γυναι-
κὶ γεννηθεῖσαν γενέσθαι· ἰδεῖν δὲ τὴν Θαμύρου ἀηδόνος
ἑλομένην· ἰδεῖν δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπί-
νου βίου αἵρεσιν, καὶ ἄλλα ζῶα μουσικὰ ὡσαύτως, * ὡς τὸ B
εἰκός. τὴν δὲ λαχοῦσαν ψυχὴν ἑλέσθαι λέοντος βίον· εἶναι
δὲ τὴν Αἴαντος τοῦ Τελαμωνίου, φεύγουσαν ἄνθρωπον γε-
νέσθαι, μεμνημένην τῆς τῶν ὅπλων κρίσεως. τὴν δ' ἐπὶ τού-
τῳ Ἀγαμέμνονος· ἔχθρᾳ ***) δὲ καὶ ταύτην τοῦ ἀνθρωπί-
νου γένους διὰ τὰ πάθη ἀετοῦ διαλλάξαι βίον. ἐν μέσοις
δὲ λαχοῦσαν τὴν Ἀταλάντης ψυχήν, κατιδοῦσαν μεγάλας τι-
μὰς ἀθλητοῦ ἀνδρός, οὐ δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν.
μετὰ * δὲ ταύτην ἰδεῖν τὴν Ἐπειοῦ τοῦ Πανοπέως εἰς C
τεχνικῆς γυναικὸς ἰοῦσαν φύσιν· πόρρω δ' ἐν ὑστάτοις ἰδεῖν
τὴν τοῦ γελωτοποιοῦ Θερσίτου πίθηκον ἐνδυομένην. κατὰ
τύχην δὲ τὴν Ὀδυσσέως λαχοῦσαν πασῶν ὑστάτην, αἱρησο-

*) ἄλλ. ἐν τελευταίοις. **) ἴσ. ἐλεινήν.
***) γρ. ἐχθράν.

virtutem adeptum. omnino etiam non pauciores esse qui hac in causa deprehenderentur ex iis qui e caelo venirent, quippe qui aerumnarum imperiti essent; eorum contra qui e terra venirent, plurimos, quippe qui et ipsi labores exanclassent et alios vidissent, non subito electiones facere. quocirca etiam conversionem malorum et bonorum plurimis animis contingere, simulque propter sortem fortuitam; quamquam si quis semper, quotiescumque hanc in vitam venerit, vere philosophetur et sors ei electionis non postrema cadat, ex eis quae inde renunciata sunt videatur non solum hic beatus fore, verum etiam hinc illuc et huc rursus viam haud terrestrem et asperam ingredi, sed lenem et caelestem. hoc enim dixit spectaculum dignum esse quod videretur, quomodo animi singuli elegissent vitas; miserabile enim esse ad adspectum et ridiculum et admirabile; pro consuetudine enim prioris vitae ex maxima parte eos eligere. etenim se vidisse narravit animum qui quondam Orphei fuisset cycni vitam eligentem odio muliebris sexus, propter mortem ab illis illatam nolentem in muliere procreatum nasci; vidisse porro Thamyrae animum lusciniae vitam eligentem; vidisse etiam cycnum ad humanae vitae electionem se convertentem, et alia animantia musica itidem, ut consentaneum esset. animum vero cuius sors excidisset leonis elegisse vitam; fuisse autem hunc Aiacis Telamonis filii, fugientem hominis vitam, memorem armorum iudicii. post hunc vero Agamemnonis; odio hunc quoque humani generis propter mala quae ei accidissent aquilae sumpsisse vitam. Atalantes vero animum, cuius sors in mediis excidisset, quum magnos athletae viri conspexisset honores, non potuisse praeterire, sed sumpsisse. post hunc autem se vidisse Epei Panopei animum in artificiosae mulieris abeuntem naturam; procul autem in ultimis se vidisse Thersitis scurrae animum simiae speciem sibi induentem. Ulixis vero animum, cuius sors casu omnium postrema

μένην ἰέναι· μνήμῃ δὲ τῶν προτέρων πόνων φιλοτιμίας λε-
λωφηκυῖαν ζητεῖν περιιοῦσαν χρόνον πολὺν βίον ἀνδρὸς
ἰδιώτου ἀπράγμονος *), καὶ μόγις εὑρεῖν κείμενόν που καὶ
παρημελημένον ὑπὸ τῶν ἄλλων, καὶ εἰπεῖν * ἰδοῦσαν ὅτι τὰ D
αὐτὰ ἂν ἔπραξε καὶ πρώτη λαχοῦσα, καὶ ἁσμένην ἑλέσθαι.
καὶ ἐκ τῶν ἄλλων δὴ θηρίων ὡσαύτως εἰς ἀνθρώπους ἰέναι
καὶ εἰς ἄλληλα, τὰ μὲν ἄδικα εἰς τὰ ἄγρια, τὰ δὲ δίκαια
εἰς τὰ ἥμερα μεταβάλλοντα, καὶ πάσας μίξεις μίγνυσθαι.
ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι, ὥσπερ
ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάστῳ
ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν * τοῦ βίου καὶ E
ἀποπληρωτὴν τῶν αἱρεθέντων. ὃν πρῶτον μὲν ἄγειν αὐτὴν
πρὸς τὴν Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρά τε καὶ ἐπιστροφὴν τῆς
τοῦ ἀτράκτου δίνης, κυροῦντα ἣν λαχὼν εἵλετο μοῖραν· ταύ-
της δ' ἐφαψάμενον αὖθις ἐπὶ τὴν τῆς Ἀτρόπου ἄγειν νῆ-
σιν, ἀμετάστροφα τὰ ἐπικλωσθέντα **) ποιοῦντα· ἐντεῦθεν
δὲ δὴ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς * Ἀνάγκης ἰέναι θρόνον, 621
καὶ δι' ἐκείνου διεξελθόντα, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθον,
πορεύεσθαι ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον διὰ καύμα-
τός τε καὶ πνίγους δεινοῦ· καὶ γὰρ εἶναι αὐτὸ κενὸν δέν-
δρων τε καὶ ὅσα γῆ φύει. σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας
γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμόν, οὗ τὸ ὕδωρ ἀγγεῖον
οὐδὲν στέγειν. μέτρον μὲν οὖν τι τοῦ ὕδατος πᾶσιν ἀναγ-
καῖον εἶναι πιεῖν, τοὺς δὲ φρονήσει μὴ σῳζομένους πλέον
πίνειν τοῦ μέτρου· τὸν δὲ ἀεὶ πιόντα * πάντων ἐπιλανθά- B
νεσθαι. ἐπειδὴ δὲ κοιμηθῆναι καὶ μέσας νύκτας γενέσθαι,
βροντήν τε καὶ σεισμὸν γενέσθαι, καὶ ἐντεῦθεν ἐξαπίνης ἄλ-
λον ἄλλῃ φέρεσθαι ἄνω εἰς τὴν γένεσιν, ᾄττοντας ὥσπερ
ἀστέρας. αὐτὸς δὲ τοῦ μὲν ὕδατος κωλυθῆναι πιεῖν· ὅπῃ
μέντοι καὶ ὅπως εἰς τὸ σῶμα ἀφίκοιτο, οὐδὲν ***) εἰδέναι,
ἀλλ' ἐξαίφνης ἀναβλέψας ἰδεῖν ἕωθεν αὐτὸν ἤδη κείμενον
ἐπὶ τῇ πυρᾷ.

Καὶ οὕτως, ὦ Γλαύκων, μῦθος ἐσώθη καὶ οὐκ ἀπώλε-
το, καὶ ἡμᾶς * ἂν σώσειεν, ἂν πειθώμεθα αὐτῷ, καὶ τὸν C

*) ἴσ. καὶ ἀπράγμονος. **) γρ. ἐπικλωθέντα.
***) ἄλλ. οὐκ.

excidisset, processisse electurum; recordatum autem priorum aerumnarum ambitione deposita quaesivisse oberrantem diu viri vitam privati et otiosi, vixque invenisse alicubi sitam et neglectam a reliquis, atque dixisse quum eam vidisset, idem se facturum fuisse etiam si prima ipsius sors excidisset, et libenter se eam elegisse. et ex reliquis quoque animantibus similiter animos in homines migrasse et in se invicem, iniusta in fera, iusta autem in mansueta transeuntia, omnique modo inter se misceri. quum vero omnes animi vitas elegissent, prout sors cuiusque excidisset, ex ordine accessisse ad Lachesin, quae cuique quem elegisset genium custodem vitae attribuerit et effectorem eorum quae animus elegisset. hunc autem primum duxisse eum ad Clothus manum fusique se rotantis conversionem, ratam efficientem quam elegisset sortem; hanc vero ubi attigisset rursus ad Atropon eum duxisse nentem ut immutabilia redderet stamina fatalia; hinc vero propere ad Necessitatis solium se profectum esse; per quod quum pervasisset cum reliquis, perrexisse cunctos in Lethes campum in calore aestuque vehemente; fuisse enim illum arboribus omnibusque quae terra gigneret vacuum. recubuisse igitur ipsos quum iam vesper esset iuxta Ameleten fluvium, cuius aquam nullum vas contineret. ac modum quidem certum aquae omnibus esse bibendum, prudentia autem non servatos supra modum bibere; quemque vero bibentem omnium oblivisci. postquam recubuissent mediaque nox esset, tonitru terraeque motum exstitisse, et illinc subito alium alio latum esse sursum ad procreationem, prosilientes instar stellarum. se quidem prohibitum fuisse aquam bibere; quomodo autem in corpus venerit se nescire, sed repente quum suspexisset mane se ipsum vidisse iam impositum in rogum.

Atque haec, Glauco, fabula servata est nec interît, et nos servabit, si fidem ei habebimus, et Lethes flu-

τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα, καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα. ἀλλ' ἂν ἐμοὶ πειθώμεθα, νομίζοντες ἀθάνατον τὴν ψυχὴν καὶ δυνατὴν πάντα μὲν κακὰ ἀνέχεσθαι, πάντα δὲ ἀγαθά, τῆς ἄνω ὁδοῦ ἀεὶ ἑξόμεθα καὶ δικαιοσύνην μετὰ φρονήσεως παντὶ τρόπῳ ἐπιτηδεύσομεν, ἵνα καὶ ἡμῖν αὐτοῖς φίλοι ὦμεν καὶ τοῖς θεοῖς, αὐτοῦ τε μένοντες ἐνθάδε, καὶ ἐπειδὰν τὰ ἆθλα * αὐτῆς κομιζώμεθα, ὥσ- D περ οἱ νικηφόροι περιαγειρόμενοι, καὶ ἐνθάδε καὶ ἐν τῇ χιλιετεῖ πορείᾳ, ἣν διεληλύθαμεν, εὖ πράττωμεν.

viam bene traiiciemus, nec animum contaminabimus sed si mihi fidem habebimus, credentes immortalem esse animum et valere ad omnia mala sustinenda omniaque bona, viam sursum ducentem semper sequemur et iustitiam cum sapientia omni modo colemus, ut et nobismet ipsis amici simus et diis, dum hic manemus et quum eius praemia reportamus, quemadmodum victores circumducti, utque tam hic quam in mille annorum quod narravimus itinere praeclare nobiscum agatur.

T I M A I O Σ.

ΣΩΚΡΑΤΗΣ ΚΡΙΤΙΑΣ ΤΙΜΑΙΟΣ ΕΡΜΟΚΡΑΤΗΣ.

17 Εἷς, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων;

ΤΙ. Ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας.

ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος.

B ΤΙ. Πάνυ μὲν οὖν, καὶ κατὰ δύναμίν γε οὐδὲν * ἐλλείψομεν· οὐδὲ γὰρ ἂν εἴη δίκαιον χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεστιᾶν *).

*) ἄλλ. ἀνταφεστιᾶν.

SOCRATES CRITIAS TIMAEUS HERMOCRATES.

Unus, duo, tres; quartus autem nobis, o care Timaee, ubinam hesternorum quidem convivarum, hodiernorum vero convivatorum?

Ti. Incommoda ei valitudo incidit, Socrate; voluntate enim non abesset ab hac congressione.

So. Itaque tuum est et horum, etiam absentis partes sustinere.

Ti. Sane quidem, atque pro viribus nihil praetermittemus; neque enim par esset si reliqui nostrûm heri a te hospitalibus epulis rite excepti non prompto animo tibi vicissim epulum daremus.

ΣΩ. Ἆρ' οὖν μέμνησθε ὅσα ἡμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν;

ΤΙ. Τὰ μὲν μεμνήμεθα, ὅσα δὲ μή, σὺ παρὼν ὑπομνήσεις. μᾶλλον δέ, εἰ μή τί σοι χαλεπόν, ἐξ ἀρχῆς διὰ βραχέων πάλιν ἐπάνελθε αὐτά, ἵνα βεβαιωθῇ μᾶλλον παρ' ἡμῖν.

ΣΩ. Ταῦτ' ἔσται. χθές που τῶν * ὑπ' ἐμοῦ ῥηθέν- C
των λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ' ἂν μοι γενέσθαι.

ΤΙ. Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν.

ΣΩ. Ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν, ὅσαι τε ἄλλαι τέχναι, πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων;

ΤΙ. Ναί.

ΣΩ. Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὐτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα ἑκάστῃ * τέχνῃ *), τού- D
τους οὓς πρὸ πάντων ἔδει πολεμεῖν εἴπομεν, ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδον ἴοι κακουργήσων, δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν ἅτε φύσει φίλοις * οὖσι, 18
χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους.

ΤΙ. Παντάπασι μὲν οὖν.

ΣΩ. Φύσιν γάρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾶοι καὶ χαλεποὶ γίγνεσθαι.

ΤΙ. Ναί.

ΣΩ. Τί δὲ **) τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασί τε, ὅσα προσήκει τούτοις ***), ἐν ἅπασι τεθράφθαι;

ΤΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τοὺς * δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε B

---

*) ἴσ. ἐπιτήδευμα, τούτους. ἄλλ. ἐπιτήδευμα καὶ μίαν ἑκάστῳ τέχνην. **) γρ. δαί.
***) γρ. ὅσοις προσήκει, τούτοις ἐν ἅπασι.

So. Num vero meministis quanta vobis et de quibus rebus mandaverim ut diceretis?

Ti. Partim meminimus, quae vero non, ea tu praesens in memoriam nobis reduces. potius vero, nisi tibi molestum est, ab initio rursus brevi ea repete, ut magis apud nos confirmentur.

So. Ita fiet. disputationum igitur heri a me de civitate habitarum summa in hoc consistebat qualis qualibusque e viris optima videretur mihi posse exsistere.

Ti. Ac sane quidem nobis, Socrate, exposita est omnibus ex animi sententia.

So. Nonne vero agricolarum genus et quotquot aliae sunt artes primum in ea separavimus a propugnatorum genere?

Ti. Etiam.

So. Et secundum naturam quidem cuique per se conveniens quum tribueremus unum tantummodo studium atque opus, eos quibus pro omnibus pugnandum esset diximus custodes debere esse tantummodo civitatis, sive quis foris sive intus maleficium conaretur committere, clementer quidem iudicantes contra subiectos imperio, quippe qui natura amici essent, feroces autem in pugnis contra hostes in quos inciderent sese praebentes.

Ti. Prorsus quidem res sic se habet.

So. Naturam videlicet, ut arbitror, custodum animi diximus simul iracundam simulque philosopham oportere esse insigniter, ut erga utrosque possint recte mites et feroces se praebere.

Ti. Etiam.

So. Quid vero quod ad institutionem attinet? nonne gymnastica et musica et disciplinis quaecumque his conveniunt omnibus institutos esse?

Ti. Sane quidem.

So. Sic autem institutos dicebamus neque aurum

χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας ἀρετῆς διὰ παντός, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν.

ΤΙ. Ἐλέχθη καὶ ταῦτα ταύτῃ.

ΣΩ. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν * ἐπεμνήσθημεν, C ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον καὶ τὰ τῶν ἐπιτηδευμάτων *) πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις.

ΤΙ. Ταύτῃ καὶ ταῦτα ἐλέγετο.

ΣΩ. Τί δὲ δὴ τὸ περὶ τῆς παιδοποιίας **); ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανώμενοι ***) ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῷ ἰδίᾳ γνώσοιτο †), νομιοῦσι δὲ * πάντες πάντας D αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοιπερ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους τε καὶ παῖδας ††) ἐκγόνων;

ΤΙ. Ναί, καὶ ταῦτα εὐμνημόνευτα ᾗ λέγεις.

ΣΩ. Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων ξύνερξιν λάθρᾳ * μηχανᾶσθαι κλήροις τισὶν ὅπως οἱ κακοὶ χωρὶς οἵ E τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς ξυλλήξεως †††);

ΤΙ. Μεμνήμεθα.

ΣΩ. Καὶ μὴν ὅτι γε τὰ * μὲν τῶν ἀγαθῶν θρεπτέον 19 ἔφαμεν εἶναι, τὰ δὲ τῶν φαύλων εἰς τὴν ἄλλην λάθρᾳ δια-

*) ἄλλ. τὰ ἐπιτηδεύματα. **) γρ. Τί δὲ τὸ περὶ παιδοποιίας; ***) γρ. μηχανωμένους. ἄλλ. μηχανωμένοις. †) γρ. γνώσαιτο. ἴσ. γνώσεται. ††) ἄλλ. ἐκγόνους παῖδάς τε ἐκγόνων; †††) γρ. ξυλλέξονται — ξυλλέξεως.

neque argentum neque aliam umquam rem ſibi propriam debere exiſtimare, ſed pro adiutoribus ſe habere mercedem accipientibus cuſtodiae ab eis quos ſervarent quanta temperantibus ſatis eſſet; ſumptus facere communiter et vita victuque communi frui, curam adhibentes de virtute usquequaque, reliquis vero ſtudiis vacantes.

Ti. Haec quoque ita dicebamus.

So. Atque etiam de mulieribus memoravimus, naturas earum eſſe ſimiles virorum naturae concinnandas, et ſtudia omnia communia tam ad bellum quam ad reliquum victum ſpectantia attribuenda eſſe omnibus.

Ti. Ita haec quoque dicta ſunt.

So. Quid vero de liberorum procreatione? an hoc quidem propter inſolentiam dictorum facile memoria tenetur communes nos nuptias liberosque omnibus omnes poſuiſſe, id agentes ut nullus umquam ſuam propriam prolem cognoſceret, ſed omnes cunctos exiſtimarent cognatos, ſorores quidem et fratres, quicumque intra convenientem aetatem gignerentur, natu vero maiores ac ſuperiores parentes parentumque progenitores, et aetate inferiores poſteros filiosque poſterorum?

Ti. Vero, etiam haec facile memoria tenentur quomodo dicis.

So. Ut autem quam poſſent optimi natura ſtatim naſcerentur, nonne nos meminimus dixiſſe gubernatores et gubernatrices oportere ad nuptias conciliandas clam machinari ſortibus quibusdam ut mali ſeparatim et boni cum ſimilibus utrique ſortito compararentur, et, ne inimicitias propterea ſuſciperent, caſum pro huius comparationis cauſa haberent.

Ti. Meminimus vero.

So. Atque etiam nos dixiſſe bonorum prolem eſſe educandam, vilium autem in reliquam civitatem clam

δοτέον πόλιν, ἐπαυξομένων *) δὲ σκοποῦντας ἀεὶ τοὺς
ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους
εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν;

ΤΙ. Οὕτως.

ΣΩ. Ἆρ' οὖν δὴ **) διεληλύθαμεν ἤδη, καθάπερ χθὲς,
ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν; ἢ ποθοῦμεν ἔτι τι τῶν
ῥηθέντων ***), ὦ φίλε Τίμαιε, ἀπολειπόμενον †);

ΤΙ. Οὐδαμῶς, ἀλλ' αὐτὰ ταῦτ' ἦν τὰ * λεχθέντα, ὦ B
Σώκρατες.

ΣΩ. Ἀκούοιτ' ἂν ἤδη τὰ μετὰ ταῦτα περὶ τῆς πολι-
τείας ἣν διήλθομεν, οἷόν τι πρὸς αὐτὴν πεπονθὼς τυγχάνω.
προςέοικε δὲ δή τινί μοι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῶα
καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα εἴτε καὶ
ζῶντα ἀληθινῶς, ἡσυχίαν δὲ ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο
θεάσασθαι κινούμενά τε αὐτὰ καί τι τῶν τοῖς σώμασι δο-
κούντων προςήκειν κατὰ τὴν ἀγωνίαν ἀθλοῦντα. ταὐτὸν
* καὶ ἐγὼ πέπονθα πρὸς τὴν πόλιν ἣν διήλθομεν· ἡδέως C
γὰρ ἄν του λόγῳ διεξιόντος ἀκούσαιμ' ἄν, ἄθλους οὓς πό-
λις ἀθλεῖ, τούτους αὐτὴν ἀγωνιζομένην πρὸς πόλεις ἄλλας,
πρεπόντως εἴς τε ††) πόλεμον ἀφικομένην καὶ ἐν τῷ πολεμεῖν
τὰ προςήκοντα ἀποδιδοῦσαν τῇ παιδείᾳ καὶ τροφῇ κατά τε
τὰς ἐν τοῖς ἔργοις πράξεις καὶ κατὰ τὰς ἐν τοῖς λόγοις διερ-
μηνεύσεις πρὸς ἑκάστας τῶν πόλεων. * ταῦτ' οὖν, ὦ Κριτία D
καὶ Ἑρμόκρατες, ἐμαυτοῦ μὲν αὐτὸς κατέγνωκα μήποτ' ἂν
δυνατὸς γενέσθαι τοὺς ἄνδρας καὶ τὴν πόλιν ἱκανῶς ἐγκω-
μιάσαι. καὶ τὸ μὲν ἐμὸν οὐδὲν θαυμαστόν· ἀλλὰ τὴν αὐ-
τὴν δόξαν εἴληφα καὶ περὶ τῶν πάλαι γεγονότων καὶ τῶν
νῦν ὄντων ποιητῶν, οὔτι τὸ ποιητικὸν ἀτιμάζων γένος, ἀλλὰ
παντὶ δῆλον ὡς τὸ μιμητικὸν ἔθνος, οἷς ἂν ἐντραφῇ, ταῦτα
μιμήσεται ῥᾶστα καὶ ἄριστα, τὸ δ' ἐκτὸς τῆς τροφῆς ἑκά-
στοις †††) * γιγνόμενον χαλεπὸν μὲν ἔργοις, ἔτι δὲ χαλεπώ- E
τερον λόγοις εὖ μιμεῖσθαι. τὸ δὲ τῶν σοφιστῶν γένος αὖ
πολλῶν μὲν λόγων καὶ καλῶν (*) μάλα ἔμπειρον ἥγημαι,

*) ἄλλ. ἐπαυξανομένων. **) γρ. Ἀρ' οὖν. ***) γρ. ἢ ποθοίης ἔτι, τῶν ῥηθέντων. †) ἴσ. ὡς ἀπολειπόμενον. ††) γρ. εἰς. †††) γρ. ἑκάστης. (*) ἄλλ. καλῶν ἄλλων.

transfundendam, et ex adultis rectores oportere inquirentes dignos quosque rursus evehere, indignos vero apud se in locum evectorum transferre?

Ti. Ita.

So. Num vero illa iam exposuimus quemadmodum heri, quippe nunc summatim ea repetentes? an desideramus adhuc aliquid dictorum, o care Timaee, tamquam praetermissum?

Ti. Nequaquam, sed ipsa haec sunt dicta, Socrate.

So. Audite iam deinceps de civitate quam persequuti sumus, quomodo in eam animatus sim. ita vero comparata videtur mihi esse haec affectio, ut si quis animantia pulchra alicubi spectaverit sive pictura effícta sive revera viva, sed quieta, et desiderio afficiatur videndi quomodo et ipsa moveantur et aliquid eorum quae corpori videantur convenire certando exsequantur. eodem ego quoque modo animatus sum in civitatem quam descripsimus; libenter enim aliquem audiverim verbis exponentem certamina quae urbs tentet quomodo conferat cum aliis urbibus, decenter ad bellum proficiscatur et in pugna exhibeat quae institutioni et educationi conveniant, tam in rebus gerendis quam in sermonum commercio cum singulis civitatibus. in his igitur, Critia et Hermocrate, mihi ipse despero fore umquam ut virorum et civitatis satis possim laudes celebrare. ac quod ad me attinet, haud id mirandum, sed eandem sententiam teneo etiam de veteris aeque ac nostrae memoriae poëtis, haudquaquam poëticum despiciens genus, sed cuilibet patet imitatorum nationem in quibus educata fuerit ea imitaturam esse facillime et optime, extra institutionem vero cuique positum difficile esse re, etiamque difficilius verbis ad bene imitandum. sophistarum autem genus multarum quidem pulchrarum orationum peritum existimo, sed vereor ne, quippe er-

φοβοῦμαι δὲ μή πως, ἅτε πλανητὸν ὂν κατὰ πόλεις οἰκήσεις τε ἰδίας οὐδαμῇ διῳκηκός, ἄστοχον ἅμα *) φιλοσόφων ἀνδρῶν ᾖ καὶ πολιτικῶν, ὅσ' ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντες ἔργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις πράττοιεν καὶ λέγοιεν. καταλέλειπται δὴ τὸ τῆς ὑμετέρας **) ἕξεως γένος, ἅμα ἀμφοτέρων * φύσει καὶ τροφῇ μετέχον. 20
Τίμαιός τε γὰρ ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς ἐν ***) τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ' αὖ κατ' ἐμὴν δόξαν ἐπ' ἄκρον ἁπάσης ἐλήλυθε· Κριτίαν δέ που πάντες οἱ τῇδ' ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν· τῆς δ' Ἑρμοκράτους αὖ πέρι φύσεως καὶ τροφῆς, πρὸς ἅπαντα ταῦτ' εἶναι †) ἱκανῆς ††) πολλῶν μαρτυρούντων * πιστευτέον. διὸ καὶ χθὲς ἐγὼ δια- B
νοούμενος ὑμῶν δεομένων τὰ περὶ τῆς πολιτείας διελθεῖν προθύμως ἐχαριζόμην, εἰδὼς ὅτι τὸν ἑξῆς λόγον οὐδένες ἂν ὑμῶν ἐθελόνταν ἱκανώτερον ἀποδοῖεν· εἰς γὰρ πόλεμον πρέποντα καταστήσαντες τὴν πόλιν πάντ' αὐτῇ τὰ προσήκοντα ἀποδοῖτ' ἂν μόνοι τῶν νῦν. εἰπὼν δὴ τἀπιταχθέντα ἀντεπέταξα ὑμῖν ἃ καὶ νῦν λέγω. ξυνωμολογήσατ' †††) οὖν κοινῇ σκεψάμενοι πρὸς ὑμᾶς αὐτοὺς εἰς νῦν * ἀνταποδώσειν μοι C
τὰ τῶν λόγων ξένια· πάρειμί τε οὖν δὴ κεκοσμημένος ἐπ' αὐτὰ (*) καὶ πάντων ἑτοιμότατος ὢν δέχεσθαι (**).

ΕΡ. Καὶ μὲν δή, καθάπερ εἶπε Τίμαιος ὅδε, ὦ Σώκρατες, οὔτε ἐλλείψομεν προθυμίας οὐδὲν οὔτ' ἔστιν οὐδεμία πρόφασις ἡμῖν τοῦ μὴ δρᾶν ταῦτα· ὥστε καὶ χθὲς εὐθὺς ἐνθένδε, ἐπειδὴ παρὰ Κριτίαν πρὸς τὸν ξενῶνα, οὗ καὶ καταλύομεν, ἀφικόμεθα, καὶ ἔτι πρότερον καθ' ὁδὸν αὖ ταῦτα ἐσκοποῦμεν. * ὁ δ' (***) οὖν ἡμῖν λόγον εἰσηγήσατο ἐκ D
παλαιᾶς ἀκοῆς· ὃν καὶ νῦν λέγε, ὦ Κριτία, τῷδε, ἵνα ξυνδοκιμάσῃ πρὸς τὴν ἐπίταξιν εἴτ' ἐπιτήδειος εἴτ' ἀνεπιτήδειός ἐστιν.

---

*) γρ. ἅμα καὶ. **) γρ. ἡμετέρας. ***) ἄλλ. τῶν ἐν. †) γρ. ἅπαντα εἶναι ταῦτα. ††) ἱκανὴν. †††) γρ. ξυνομολογήσατ'. (*) ἴσ. ἐπ' αὐτὰ ταῦτα. (**) γρ. ἑτοιμότατος δέχεσθαι. (***) γρ. ὅδ'.

rans circum urbes propriaque domicilia nullo modo habens, coniectura assequi nequeat quanta et qualia viri philosophi et civiles in bello et pugnis gerentes re et verbis, quum commercium cum quoque habeant, facturi et dicturi sint. relinquitur igitur vestri habitus genus, utriusque simul natura et institutione particeps. nam Timaeus hic ex Locris in Italia, civitate optime instituta, opibus et genere nulli eorum qui ibi versantur cedens, summos magistratus et honores in civitate adeptus est et philosophiae quoque universae ex mea sententia in fastigio stat; Critiam porro omnes hi scimus nullius earum rerum imperitum esse, quas dicimus; et de Hermocratis ingenio et institutione, quum ad omnia haec idoneum esse multi testentur, fides habenda est. quocirca etiam heri hoc mecum reputans vobis rogantibus ut de re publica exponerem lubenter gratificatus sum, sciens orationem sequentem nullos melius quam vos si volueritis expressuros esse; in bellum enim decens inducentes civitatem omnia ei convenientia attributuros esse vos solos ex omnibus qui nunc sunt. mandata igitur quum persequutus essem, vobis vicissim mandavi ea quae etiam nunc dico. statuistis videlicet communiter inter vos deliberantes ut in hodiernum diem mihi reddituri essetis sermones hospitales. adsum igitur hanc ipsam ob causam ornatus omniumque paratissimus ad eos accipiendos.

Her. Quin etiam, quemadmodum dixit Timaeus, neque operae parcemus neque ulla nobis causa est cur non faciamus haec; quare etiam heri statim hinc, ubi ad Critiam in cubiculum hospitale in quod devertimus veneramus, et prius etiam inter vias haec perpendimus. ille vero nobis historiam narravit veteris memoriae; quam nunc quoque refer, Critia, huic, ut examinet nobiscum utrum ad ea quae nobis mandavit accommodata sit necne.

ΚΡ. Ταῦτα χρὴ δρᾶν, εἰ καὶ τῷ τρίτῳ κοινωνῷ Τι-
μαίῳ ξυνδοκεῖ.

ΤΙ. Δοκεῖ μήν.

ΚΡ. Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου,
παντάπασί γε μὴν ἀληθοῦς, ὡς ὁ *) τῶν ἑπτὰ σοφώτατος
* Σόλων ποτ᾽ ἔφη. ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος E
ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ
καὶ αὐτὸς ἐν τῇ ποιήσει· πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον
πάππον εἶπεν, ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων,
ὅτι μεγάλα καὶ θαυμαστὰ τῆσδ᾽ εἴη παλαιὰ ἔργα τῆς πόλεως
ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα, πάντων δὲ
ἓν μέγιστον, οὗ νῦν ἐπιμνησθεῖσι * πρέπον ἂν ἡμῖν εἴη 21
σοί τε ἀποδοῦναι χάριν καὶ τὴν θεὸν ἅμα ἐν τῇ πανηγύρει
δικαίως τε καὶ **) ἀληθῶς οἷόνπερ ὑμνοῦντας ἐγκωμιάζειν.

ΣΩ. Εὖ λέγεις. ἀλλὰ δὴ ποῖον ἔργον τοῦτο Κριτίας
οὐ λεγόμενον μέν, ὡς δὲ πραχθὲν ὄντως ὑπὸ τῆσδε τῆς
πόλεως ἀρχαῖον διηγεῖτο ***) κατὰ τὴν Σόλωνος ἀκοήν;

ΚΡ. Ἐγὼ φράσω παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀν-
δρός. ἦν μὲν γὰρ δὴ τότε Κριτίας, ὡς ἔφη, σχεδὸν * ἐγ- B
γὺς ἤδη τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δέ πῃ μάλιστα δεκέτης·
ἡ δὲ Κουρεῶτις ἡμῖν οὖσα ἐτύγχανεν Ἀπατουρίων, τὸ δὲ †)
τῆς ἑορτῆς ξύνηθες ἑκάστοτε καὶ τότε ξυνέβη τοῖς παισίν·
ἆθλα γὰρ ἡμῖν οἱ πατέρες ἔθεσαν ῥαψῳδίας. πολλῶν μὲν
οὖν δὴ καὶ πολλὰ ἐλέχθη ποιητῶν ποιήματα, ἅτε δὲ νέα
κατ᾽ ἐκεῖνον τὸν χρόνον ὄντα τὰ Σόλωνος πολλοὶ τῶν παί-
δων ᾔσαμεν. εἶπεν οὖν δή τις ††) τῶν φρατόρων, εἴτε δὴ
δοκοῦν αὐτῷ τότε εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ * φέρων, C
δοκεῖν οἱ τά τε ἄλλα σοφώτατον γεγονέναι Σόλωνα καὶ κατὰ
τὴν ποίησιν αὖ τῶν ποιητῶν πάντων ἐλευθεριώτατον. ὁ δὲ †††)
γέρων (σφόδρα γὰρ οὖν μέμνημαι) μάλα τε ἥσθη καὶ δια-
μειδιάσας εἶπεν Εἴ γε, ὦ Ἀμύνανδρε, μὴ παρέργῳ τῇ ποι-
ήσει κατεχρήσατο, ἀλλ᾽ ἐσπουδάκει καθάπερ ἄλλοι, τόν τε
λόγον ὃν ἀπ᾽ Αἰγύπτου δεῦρο ἠνέγκατο ἀπετέλεσε, καὶ μὴ

---

*) γρ. ὡς δή. **) γρ. δικαίως καί. ***) γρ. διηγεῖται. †) ἄλλ. δή. ††) γρ. οὖν τις. †††) ἄλλ. δή.

Cr. Haec sunt facienda, si tertio quoque socio Timaeo ita videtur.

Ti. Videtur vero.

Cr. Audi igitur, Socrate, narrationem valde quidem admirabilem, prorsus tamen veram, ut septem illorum sapientissimus Solon aliquando dixit. erat autem familiaris et admodum amicus Dropidis nostri proavi, quemadmodum ipse quoque saepius dicit in carminibus; et Critiae nostro avo retulit, ut memoravit nobis rursus senex, magna et mirabilia olim hanc urbem edidisse opera, tempore hominumque interitu exstincta, omnium vero unum maximum, quod nunc commemorantes nos deceat tibi gratiam persolvere simulque deam in festo coetu iuste et vere tamquam carmine celebrare.

So. Bene dicis. at quale illud opus Critias non dictum, sed revera editum ab hacce urbe antiquitus narravit e Solonis relatione?

Cr. Ego dicam veterem narrationem a viro non iuveni perceptam. aberat enim tum Critias, ut dixit, prope fere ab anno nonagesimo, et ego admodum fui decennis. agebatur autem nobis tertius Apaturiorum dies Cureotis dictus, et quod diebus festis semper fieri consueverat, id tum quoque evenit pueris; praemia enim nobis patres proposuerunt carminum recitationis. multorum igitur multaque recitabantur poëtarum carmina, Solonis autem versus quippe novos id temporis multi puerorum cantavimus. dixit igitur aliquis tribulium, sive ita ei tum videbatur sive gratum facere volebat Critiae, sibi videri quum ad reliqua sapientissimum exstitisse Solonem, tum etiam in poësi poëtarum omnium generosissimum. tum senex (bene enim memini) valde laetatus est ridensque Immo si, inquit, Amynandre, non subsicivis operis in poësi se exercuisset, sed serium ad eam studium contulisset, sicut alii, et historiam quam ex Aegypto huc attulerat absolvisset

διὰ τὰς στάσεις ὑπὸ κακῶν τε ἄλλων, ὅσα εὗρεν ἐνθάδε ἥκων, ἠναγκάσθη * καταμελῆσαι, κατά γ' ἐμὴν δόξαν οὔτε D
Ἡσίοδος οὔτε Ὅμηρος οὔτε ἄλλος οὐδεὶς τῶν ποιητῶν *) εὐδοκιμώτερος ἐγένετο ἄν ποτε αὐτοῦ. Τίς δ' ἦν ὁ λόγος, ἦ δ' ὅς, ὦ Κριτία; Περὶ **) μεγίστης, ἔφη, καὶ ὀνομαστοτάτης πασῶν δικαιότατ' ἂν πράξεως οὔσης, ἣν ***) ἥδε ἡ πόλις ἔπραξε μέν, διὰ δὲ χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων οὐ διήρκεσε δεῦρο ὁ λόγος. Λέγε ἐξ ἀρχῆς, ἦ δ' ὅς, τί τε καὶ πῶς καὶ παρὰ †) τίνων * ὡς ἀληθῆ διακη- E
κοὼς ἔλεγεν ὁ Σόλων.

Ἔστι τις κατ' Αἴγυπτον, ἦ δ' ὅς, ἐν τῷ Δέλτα, περὶ ὃ κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα, Σαϊτικὸς ἐπικαλούμενος νομός, τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάϊς, ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς· οἷ ††) τῆς πόλεως θεὸς ἀρχηγός τίς ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηΐθ, Ἑλληνιστὶ δέ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ· μάλα δὲ φιλαθήναιοι καί τινα τρόπον οἰκεῖοι τῶνδ' εἶναί φασιν. οἷ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ' αὐτοῖς ἔντιμος, καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν * τοὺς μάλιστα περὶ 22
ταῦτα τῶν ἱερέων ἐμπείρους σχεδὸν οὔτε αὑτὸν οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν ὡς ἔπος εἰπεῖν εἰδότα περὶ τῶν τοιούτων ἀνευρεῖν. καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους, τῶν τῇδε τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖν, περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης, καὶ μετὰ τὸν κατακλυσμὸν αὖ περὶ Δευκαλίωνος καὶ Πύῤῥας ὡς διεγένοντο μυθολογεῖν, καὶ * τοὺς ἐξ αὐτῶν B
γενεαλογεῖν, καὶ τὰ τῶν ἐτῶν ὅσα ἦν οἷς ἔλεγε πειρᾶσθαι διαμνημονεύων τοὺς χρόνους ἀριθμεῖν· καί τινα εἰπεῖν τῶν ἱερέων εὖ μάλα παλαιόν †††), Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. Ἀκούσας οὖν, Πῶς τί (*) τοῦτο λέγεις; φάναι. Νέοι ἐστέ, εἰπεῖν, τὰς ψυχὰς πάντες· οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε δι' ἀρχαίαν ἀκοὴν παλαιὰν δόξαν οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν.

---

*) ἄλλ. οὐδεὶς ποιητής. **) ἄλλ. Ἡ περὶ μ. ***) γρ. ὧν. †) γρ. περί. ††) ἄλλ. οἷς. ἴσ. νομός, οὗ τῆς πόλεως κτλ. †††) γρ. παλαιῶν. (*) γρ. Πᾶς τε.

nec feditionibus aliisque malis quae repererat huc reversus coactus fuisset eam negligere, mea quidem sententia neque Hesiodus neque Homerus neque alius ullus poetarum nobilior umquam ipso evasisset. Quaenam erat narratio illa, inquit, Critia? Facti summi, inquit, iureque celebratissimi omnium, quod haec urbs gessit, licet ob temporum longinquitatem eorumque qui id gesserunt interitum eius fama usque ad hoc tempus non duraverit. Dic ab initio, inquit, quid et quomodo et a quibusnam Solon audiverit et retulerit.

Est quaedam in Aegypto, inquit, in Delta, circum quod in vertice scinditur Nili fluvius, Saitica quae appellatur praefectura, huiusque praefecturae maxima urbs Sais, unde etiam Amasis erat rex: cuius quidem urbis deus quidam conditor est, ab Aegyptiis dictus Neith, a Graecis vero, ut illi tradunt, Athene; admodum autem Atheniensibus amicos et quodammodo cognatos hisce se dicunt esse. quo quidem Solon se narravit profectum magno apud eos in honore fuisse, atque etiam, quum res pristinas quaesivisset ex eis sacerdotibus qui talium peritissimi fuissent, propemodum sese reperisse neque se ipsum neque alium quem Graecum vel minimam harum rerum notitiam habentem. atque aliquando quum eos incitare voluisset ut de rebus antiquis narrarent, de antiquissimis horum factis se narrare incepisse, de Phoroneo primo dicto et Niobe, et post eluvionem de Deucalione et Pyrrha quomodo evaserint disseruisse, eorum stirpem enumerasse et annos quot cuique contigissent eorum de quibus exponeret conatum se esse commemorantem tempora numerasse; tum aliquem dixisse e sacerdotibus aetate valde provectum: O Solon, Solon, Graeci semper pueri estis, senex Graecorum est nullus. Quae quum audivisset, Quomodo et quid hoc dicis? se interrogasse. Iuvenes estis, illum respondisse, ad animos omnes; nullam enim in his habetis ex antiqua auditione veterem sententiam neque disciplinam

* τὸ δὲ τούτων αἴτιον τόδε. πολλαὶ καὶ κατὰ πολλὰ φθο- C
ραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι
μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. τὸ γὰρ οὖν
καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων Ἡλίου παῖς τὸ
τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν
τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς ξυνέκαυσε καὶ αὐ-
τὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον
λέγεται, τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν
* ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν D
ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε οὖν ὅσοι κατ' ὄρη καὶ
ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται
τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων· ἡμῖν δὲ ὁ Νεῖ-
λος εἴς τε τἄλλα σωτὴρ καὶ τότε ἐκ ταύτης τῆς ἀπορίας
σώζει λυόμενος. ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαί-
ροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται βου-
κόλοι νομῆς *) τε, οἱ δ' ἐν ταῖς * παρ' ὑμῖν πόλεσιν εἰς E
τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· κατὰ δὲ τήνδε
τὴν χώραν οὔτε τότε οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας
ὕδωρ ἐπιῤῥεῖ, τὸ δ' ἐναντίον κάτωθεν ἐπανιέναι πέφυκεν.
ὅθεν καὶ δι' ἃς αἰτίας τἀνθάδε σωζόμενα λέγεται παλαιό-
τατα. τὸ δὲ ἀληθές, ἐν πᾶσι τοῖς τόποις ὅπου μὴ χειμὼν
ἐξαίσιος ἢ καῦμα ἀπείργει, ποτὲ μὲν πλέον, ποτὲ δὲ ἔλαττον
ἀεὶ γένος ἐστὶν ἀνθρώπων· * ὅσα δὲ ἢ παρ' ὑμῖν **) ἢ 23
τῇδε ἢ καὶ κατ' ἄλλον τόπον ὧν ***) ἀκοῇ ἴσμεν, εἴ πού
τι καλὸν ἢ μέγα γέγονεν ἤ καί τινα διαφορὰν ἄλλην ἔχον,
πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ
σεσωσμένα. τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευα-
σμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πό-
λεις δέονται, καὶ πάλιν δι' εἰωθότων ἐτῶν ὥςπερ νόσημα
ἥκει φερόμενον αὐτοῖς ῥεῦμα * οὐράνιον καὶ τοὺς ἀγραμ- B
μάτους τε καὶ ἀμούσους ἔλιπεν ὑμῶν, ὥςτε πάλιν ἐξ ἀρχῆς
οἷον νέοι †) γίγνεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε

*) γρ. νομεῖς.
**) γρ. ἡμῖν.
***) γρ. ὄν.
†) γρ. πάλιν νέοι ἐξ ἀρχῆς.

tempore canam ullam. cuius quidem rei causa haec est. multi multisque modis interitus fuerunt hominum et futuri sunt, igne quidem et aqua maximi, innumerabilibus vero aliis rebus alii breviores. etenim etiam id quod apud vos narratur, Phaëthontem Solis filium in currum patris sublatum, quum non potuisset in patris via eum ducere, terrena exussisse ipsumque ictu fulminis deflagrantem interisse, hoc fabulae quidem speciem habens traditur, revera autem eorum quae circum terram et in caelo feruntur significatur declinatio et longis temporum intervallis exsistens rerum terrenarum multum per ignem exstinctio. tum vero quicumque in montibus locisque editis et siccis habitant magis pereunt quam ii qui fluvios et mare accolunt; nobis autem Nilus et reliquis in rebus servator et tum quoque ex hac difficultate nos servat liberans. quando vero dii terram aquis purgantes inundant, in montibus quidem versantes servantur bubulci et pastores, urbium autem vestrarum incolae ad mare a fluviis feruntur; in hac contra regione neque tum neque alias desuper in agros aqua infunditur, sed ab imo natura sua emergit. iccirco hasque ob causas res hic servatae dicuntur vetustissimae. reapse autem res sic se habet: omnibus in locis ubi non hiems nimia aut calor arcet, modo plus, modo minus semper genus est hominum; quaecumque vero vel apud vos vel hic vel alio in loco ex eis quos auditu cognitos habemus pulchra vel magna vel alia qua ratione insignia facta sunt, omnia litteris consignata usque a veteribus temporibus hic sunt in templis atque conservata. res autem apud vos et reliquos gestae recens quandoque mandantur scriptis omnibusque eis quae urbibus opus sunt, rursusque consuetis post annis tamquam morbus ingruit in eos sese effundens flumen caeleste et ex vobis relinquit qui litterarum et humanitatis inopes sunt, ut rursus ab initio velut iuvenes exsistatis, nihil scientes rerum hic et apud vos gestarum

τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. τὰ γοῦν νῦν δὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων, οἳ πρῶτον μὲν ἕνα γῆς κατακλυσμὸν μέμνησθε πολλῶν ἔμπροσθεν γεγονότων, ἔτι δὲ τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ τῇ παρ' ὑμῖν * οὐκ ἴστε γεγονός, ἐξ ὧν σύ τε C καὶ πᾶσα ἡ πόλις ἔστι τὰ νῦν ὑμῶν περιλειφθέντος ποτὲ σπέρματός βραχέος, ἀλλ' ὑμᾶς λέληθε διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾶν ἀφώνους. ἦν γάρ δή ποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη πρός τε τὸν πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως, ᾗ κάλλιστα ἔργα καὶ πολιτεῖαι γενέσθαι κάλλισται λέγονται πασῶν, ὁπόσων *) ὑπὸ * τὸν οὐρανὸν ἡμεῖς ἀκοὴν παρεδεξάμεθα. D

Ἀκούσας οὖν ὁ Σόλων ἔφη θαυμάσαι καὶ πᾶσαν προθυμίαν σχεῖν δεόμενος τῶν ἱερέων πάντα δι' ἀκριβείας οἱ τὰ περὶ τῶν πάλαι πολιτῶν ἑξῆς διελθεῖν. τὸν οὖν ἱερέα φάναι Φθόνος οὐδείς, ὦ Σόλων, ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν, μάλιστα δὲ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε καὶ ἔθρεψε καὶ ἐπαίδευσε, προτέραν μὲν τὴν παρ' ἡμῖν ἔτεσι χιλίοις, ἐκ Γῆς τε καὶ * Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν, τήνδε δὲ ὑστέραν· τῆς E δὲ ἐνθαδὶ **) διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. περὶ δὴ ***) τῶν ἐνακισχίλια ἔτη γεγονότων πολιτῶν σοι δηλώσω διὰ βραχέων νόμους τε καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη· τὸ δ' ἀκριβὲς * περὶ πάντων ἐφεξῆς εἰσαῦθις κατὰ σχολήν, 24 αὐτὰ τὰ γράμματα λαβόντες, διέξιμεν. τοὺς μὲν οὖν νόμους σκόπει πρὸς τοὺς τῇδε· πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων ἐνθάδε νῦν ἀνευρήσεις· πρῶτον μὲν τὸ τῶν ἱερέων γένος ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον, μετὰ δὲ τοῦτο τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὑτὸ ἕκαστον, ἄλλῳ δὲ οὐκ ἐπιμιγνύμενον δημιουργεῖ, τό τε τῶν νομέων καὶ τὸ τῶν θηρευτῶν τό τε τῶν γεωργῶν· καὶ δὴ καὶ †) τὸ μά-

*) γρ. ὁπόσων νῦν. **) γρ. ἐνθάδε. ***) γρ. δέ. †) γρ. καὶ δή.

quotquot erant veteribus temporibus. ista certe quae modo, Solon, de vestrorum hominum stirpe ac genere exposuisti, a puerilibus paullulum differunt fabulis; primum enim unam terrae eluvionem memoria tenetis, quum multae ante fuerint, tum pulcherrimum optimumque hominum genus in vestra regione nescitis exstitisse, ex quo tu et universa vestra civitas nunc oriundi estis relicto olim semine exiguo, sed fugit hoc vos, qui superstites multas per aetates a litteris interierunt muti. erat videlicet aliquando, Solon, supra maximam per aquas exstinctionem civitas quae nunc est Atheniensium tam optima ad bellum quam ad omnia insignite legibus temperata, cuius praeclarissima opera statusque civitatis fuisse dicuntur praestantissimi omnium quorumcumque sub caelo fama ad aures nostras pervenit.

Quibus auditis Solon narravit se miratum esse summoque studio rogasse et orasse sacerdotes ut omnia accurate sibi priscorum civium facta ordine exponerent. tum sacerdotem respondisse Haud gravabor, Solon, sed et tua et urbis vestrae gratia dicam, maxime autem deae gratia, quae et vestram et hanc sortito obtinuit et educavit et instituit, prius vestram mille annis, e Terra et Vulcano semen vestri generis sumens, et hancce posterius. huius autem nostrae constitutionis apud nos in sacris libris octies mille annorum numerus scriptus est. iam civium illorum qui novem millibus annorum ante fuerunt exponam tibi breviter leges et operum quae ediderunt pulcherrimum; accurate vero omnia deinceps alias per otium, ipsos libros sumentes, explicabimus. iam leges considera cum eis quae hic sunt comparans; multa enim exempla eorum quae tunc apud vos fuerunt hic nunc reperies; primum sacerdotum genus a ceteris separatum, deinde opificum genus, quum per se quisque, non cum alio permixtus, opus suum faciat. porro pastorum et venatorum et agricolarum; atque etiam bellico-

χιμον γένος * ἤσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν B
κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον
ὑπὸ τοῦ νόμου προςετάχθη μέλειν· ἔτι δὲ ἡ τῆς ὁπλίσεως
αὐτῶν σχέσις, ἀσπίδων καὶ δοράτων, οἷς ἡμεῖς πρῶτοι τῶν
περὶ τὴν Ἀσίαν ὡπλίσμεθα, τῆς θεοῦ, καθάπερ ἐν ἐκείνοις
τοῖς τόποις, παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης. τὸ δ' αὖ περὶ
τῆς φρονήσεως, ὁρᾷς που τὸν νόμον τῇδε ὅσην ἐπιμέλειαν
ἐποιήσατο * εὐθὺς κατ' ἀρχὰς περί τε τὸν κόσμον ἅπαντα μέχρι C
μαντικῆς καὶ ἰατρικῆς πρὸς ὑγίειαν, ἐκ τούτων θείων ὄντων εἰς
τὰ ἀνθρώπινα ἐξανευρὼν*), ὅσα τε ἄλλα τούτοις ἕπεται μαθή-
ματα, πάντα κτησάμενος**). ταύτην οὖν δὴ τότε ξύμπασαν τὴν
διακόσμησιν καὶ ξύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσα-
σα κατῴκισεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐ-
κρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄν-
δρας οἴσοι. * ἅτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς D
οὖσα τὸν προςφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄν-
δρας, τοῦτον ἐκλεξαμένη πρῶτον***) κατῴκισεν. ᾠκεῖτε δὴ οὖν
νόμοις τε τοιούτοις χρώμενοι καὶ ἔτι μᾶλλον εὐνομούμενοι
πάσῃ τε πάντας ἀνθρώπους ὑπερβεβηκότες ἀρετῇ, καθάπερ
εἰκός, γεννήματα καὶ παιδεύματα θεῶν ὄντας. πολλὰ μὲν
οὖν ὑμῶν καὶ μεγάλα τῆς πόλεως τῇδε γεγραμμένα ἔργα
θαυμάζεται, πάντων μὴν ἓν ὑπερέχει * μεγέθει καὶ ἀρετῇ. E
λέγει γὰρ τὰ γεγραμμένα, ὅσην ἡ πόλις ὑμῶν ἔπαυσέ ποτε
δύναμιν ὕβρει πορευομένην ἅμα ἐπὶ πᾶσαν Εὐρώπην καὶ
Ἀσίαν, ἔξωθεν ὁρμηθεῖσαν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους.
τότε γὰρ πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος· νῆσον γὰρ πρὸ
τοῦ στόματος εἶχεν, ὃ καλεῖτε, ὥς φατε ὑμεῖς, Ἡρακλέους στή-
λας· ἡ δὲ νῆσος ἅμα Λιβύης ἦν καὶ Ἀσίας μείζων, ἐξ ἧς
ἐπιβατὸν ἐπὶ τὰς ἄλλας νήσους τοῖς τότ' ἐγίγνετο πορευο-
μένοις, ἐκ δὲ τῶν νήσων ἐπὶ τὴν καταντικρὺ πᾶσαν * ἤπει- 25
ρον τὴν περὶ τὸν ἀληθινὸν ἐκεῖνον πόντον. τάδε μὲν γάρ,
ὅσα ἐντὸς τοῦ στόματος οὗ λέγομεν, φαίνεται λιμὴν στενόν
τινα ἔχων εἴςπλουν· ἐκεῖνο δὲ πέλαγος ὄντως ἥ τε περιέχου-
σα αὐτὸ γῆ παντελῶς ἀληθῶς ὀρθότατ' ἂν λέγοιτο ἤπειρος.

*) ἄλλ. ἀνευρών. **) ἴσ. καταστησάμενος. ***) γρ. τὸ πρῶτον.

sum genus intelligis sine dubio hic ab omnibus generibus separatum esse, quod in alia nulla re nisi in militari lex iubet curam ponere; praeterea armaturae ratio, clypei et hastae, quibus nos primi in Asia induti sumus, dea, sicut in illis locis, apud vos primos ea commonstrante. etiam quod ad prudentiam attinet, vides sine dubio quantum curae hic lex adhibuerit statim initio de ordine universo usque ad artem vaticinandi et medicinam ad sanitatem spectantem, haec quae divina sunt ad res humanas accommodans, et de omnibus aliis cum illis coniunctis disciplinis quas condidit. hanc igitur universam constitutionem et compositionem quum dea prioribus vobis instruxisset, eam vobis sedem delegit in qua nati estis, temperationem tempestatum in ea intelligens prudentissimos esse viros laturam. etenim dea belli et sapientiae studiosa locum qui viros ipsi simillimos laturus esset primum delegit domicilio. vixistis igitur talibus legibus utentes et magis etiam bene instituti omnique omnes homines superantes virtute, sicut par est, quum a diis generati et instituti fueritis. ac multa quidem et magna urbis vestrae hic consignata opera admirationem movent, inter omnia tamen unum eminet magnitudine et virtute. dicunt enim scripta, quantam urbs vestra aliquando vim compresserit insolenter grassantem in universam simul Europam et Asiam extrinsecus irrumpentem ex Atlantico mari. tunc enim navigabile erat illud mare et insulam ante ostium habebat quod appellatis, ut vos dicitis, Herculis columnas, insula autem simul Libya erat et Asia maior, unde aditus ad reliquas insulas tunc erat proficiscentibus, et ex insulis ad continentem e regione positam circum verum illud mare. omnia enim intra ostium quod dicimus videntur portus esse angustum quendam habens introitum; illud autem mare est verum itemque terra id cingens prorsus vere rectissime dicetur continens. in hac autem Atlantide in-

ἐν δὲ τῇ *) Ἀτλαντίδι νήσῳ ταύτῃ μεγάλη ξυνέστη καὶ θαυμα-
στὴ δύναμις βασιλέων, κρατοῦσα μὲν ἁπάσης τῆς νήσου,
πολλῶν δὲ ἄλλων νήσων καὶ μερῶν τῆς ἠπείρου· πρὸς δὲ
τούτοις ἔτι τῶν ἐντὸς τῇδε * Λιβύης μὲν ἦρχον μέχρι **) πρὸς B
Αἴγυπτον, τῆς δὲ Εὐρώπης μέχρι Τυῤῥηνίας. αὕτη δὴ ***)
πᾶσα ξυναθροισθεῖσα εἰς ἓν ἡ δύναμις τόν τε παρ' ὑμῖν
καὶ τὸν παρ' ἡμῖν καὶ τὸν ἐντὸς τοῦ στόματος πάντα τό-
πον μιᾷ ποτ' ἐπεχείρησεν ὁρμῇ δουλοῦσθαι. τότε οὖν ὑμῶν,
ὦ Σόλων, τῆς πόλεως ἡ δύναμις εἰς ἅπαντας ἀνθρώπους
διαφανὴς ἀρετῇ τε καὶ ῥώμῃ ἐγένετο· πάντων γὰρ προστᾶ-
σα εὐψυχίᾳ καὶ τέχναις ὅσαι κατὰ πόλεμον, τὰ μὲν τῶν Ἑλ-
λήνων * ἡγουμένη, τὰ δ' αὐτὴ μονωθεῖσα ἐξ ἀνάγκης τῶν C
ἄλλων ἀποστάντων, ἐπὶ τοὺς ἐσχάτους ἀφικομένη κινδύνους,
κρατήσασα μὲν τῶν ἐπιόντων τρόπαια ἀνέστησε, τοὺς δὲ μή-
πω δεδουλωμένους διεκώλυσε δουλωθῆναι, τοὺς δ' ἄλλους,
ὅσοι κατοικοῦμεν ἐντὸς ὅρων Ἡρακλείων, ἀφθόνως ἅπαντας
ἠλευθέρωσεν. ὑστέρῳ δὲ †) χρόνῳ σεισμῶν ἐξαισίων καὶ κα-
τακλυσμῶν γενομένων, μιᾶς ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐλ-
θούσης * τό τε παρ' ὑμῶν ††) μάχιμον πᾶν ἀθρόον ἔδυ κα- D
τὰ γῆς, ἥ τε Ἀτλαντὶς νῆσος ὡσαύτως κατὰ τῆς θαλάττης
δῦσα ἠφανίσθη· διὸ καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέ-
γονε τοὐκεῖ πέλαγος, πηλοῦ καταβραχέος †††) ἐμποδὼν ὄντος,
ὃν ἡ νῆσος ἱζομένη παρέσχετο.

Τὰ μὲν δὴ ῥηθέντα, ὦ Σώκρατες, ὑπὸ τοῦ παλαιοῦ
Κριτίου κατ' ἀκοὴν τὴν Σόλωνος, * ὡς ξυντόμως εἰπεῖν, E
ἀκήκοας· λέγοντος δὲ δὴ χθὲς σοῦ περὶ πολιτείας τε καὶ τῶν
ἀνδρῶν οὓς ἔλεγες, ἐθαύμαζον ἀναμιμνησκόμενος αὐτὰ ἃ
νῦν λέγω, κατανοῶν ὡς δαιμονίως ἔκ τινος τύχης οὐκ ἄπο
σκοποῦ ξυνηνέχθης τὰ πολλὰ οἷς Σόλων εἶπεν. οὐ μὴν ἐβου-
λήθην παραχρῆμα εἰπεῖν· * διὰ χρόνου γὰρ οὐχ ἱκανῶς 26
ἐμεμνήμην. ἐνενόησα οὖν ὅτι χρεὼν εἴη με πρὸς ἐμαυτὸν πρῶτον
ἱκανῶς πάντα ἀναλαβόντα λέγειν οὕτως. ὅθεν ταχὺ ξυνωμολό-
γησά σοι τἀπιταχθέντα (†) χθές, ἡγούμενος, ὅπερ ἐν ἅπασι

*) ἄλλ. ἐν δὲ δὴ τῇ. **) γρ. ἄχρι. ***) γρ. δέ.
†) ἴσ. ὑστέρῳ δ' ἐν χρόνῳ. ††) ἴσ. παρ' ὑμῖν.
†††) ἄλλ. κάρτα βραχέος. κάρτα βαθέος.
(†) γρ. τὰ ἐπιταχθέντα.

sula magna coaluit et admirabilis vis regum, imperans toti insulae multisque aliis insulis ac partibus continentis; praeterea quoque interioris huius Libyae incolas rexerunt usque ad Aegyptum, Europae vero usque ad Tyrrheniam. haec igitur omnis in unum collecta vis regionem universam vestram, nostram et intra ostium uno aliquando impetu conata est servitute opprimere. tunc igitur vestrae, Solon, civitatis vis omnibus hominibus sese illustrem ad virtutem ac robur exhibuit; omnibus enim antecellens magnanimitate artibusque omnibus ad bellum spectantibus, partim Graecos duxit partim ipsa sola pugnavit necessitate coacta, quum reliqui discessissent, et in extrema pericula adducta devictis hostibus adorientibus tropaea statuit, eos qui servitute nondum oppressi erant impedivit subigi, et reliquis nobis quicumque habitamus intra terminos Herculeos omnibus libertatem est largita. postero autem tempore quum terrae motus ingentes et eluviones obortae essent, uno die et nocte gravi ingruente vestrum bellicosum genus omne simul submersum est terra, itemque Atlantis insula mari submersa evanuit; quocirca nunc quoque innavigabile omnemque respuens pervestigationem mare illud exstitit, quum lutum admodum profundum impedimento sit, quod insula considens effecit.

Ac relata quidem, Socrate, a prisco Critia secundum Solonis narrationem concisa expositione audivisti; heri autem te disputante de civitate ac viris quos descripsisti, admiratus sum recordans eorum ipsorum quae nunc protuli, quum intelligerem mirum in modum casu quodam te vere ex maxima parte consentire iis quae Solon narrasset. neque tamen volui statim ea proferre; propter longum enim intervallum non satis ea memoria tenui. existimavi igitur me oportere primum omnia mecum repetere, et tum demum dicere. quocirca protinus assensus sum eis quae mandasti heri, arbitratus fore ut, quod

τοῖς τοιοῖςδε μέγιστον ἔργον, λόγον τινὰ πρέποντα τοῖς βουλήμασιν †) ὑποθέσθαι, τούτου μετρίως ἡμᾶς εὐπορήσειν. οὕτω δή, καθάπερ ὅδ' εἶπε, χθὲς τε εὐθὺς ἐνθένδε ἀπιὼν πρὸς τούςδε ἀνέφερον αὐτὰ ἀναμιμνησκόμενος, * ἀπελθών B τε σχεδόν τι ἅπαντα ἐπισκοπῶν τῆς νυκτὸς ἀνέλαβον. ὡς δή τοι, τὸ λεγόμενον, τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. ἐγὼ γὰρ ἃ μὲν χθὲς ἤκουσα, οὐκ ἂν οἶδ' εἰ δυναίμην ἅπαντα ἐν μνήμῃ πάλιν λαβεῖν· ταῦτα δὲ ἃ πάμπολυν χρόνον διακήκοα, παντάπασι θαυμάσαιμ' ἂν εἴ τί με αὐτῶν διαπέφευγεν. ἦν μὲν οὖν μετὰ πολλῆς ἡδονῆς καὶ παιδικῆς τότε ἀκουόμενα, καὶ ††) τοῦ * πρεσβύτου προθύ- C μως με διδάσκοντος, ἅτ' ἐμοῦ †††) πολλάκις ἐπανερωτῶντος, ὥςτε οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε. καὶ δὴ καὶ τοῖςδε εὐθὺς ἔλεγον ἕωθεν αὐτὰ ταῦτα, ἵνα εὐποροῖεν λόγων μετ' ἐμοῦ. νῦν οὖν, οὗπερ ἕνεκα πάντα εἴρηται, λέγειν εἰμὶ ἕτοιμος, ὦ Σώκρατες, μὴ μόνον ἐν κεφαλαίοις, ἀλλ' ὥςπερ ἤκουσα καθ' ἕκαστον. τοὺς δὲ πολίτας καὶ τὴν πόλιν, ἣν χθὲς ἡμῖν ὡς ἐν μύθῳ διῄεισθα σύ, * μετενεγκόντες ἐπὶ τἀληθὲς δεῦρο θήσομεν ὡς ἐκείνην τήν- D δε οὖσαν, καὶ τοὺς πολίτας οὓς διενοοῦ φήσομεν ἐκείνους τοὺς ἀληθινοὺς εἶναι προγόνους ἡμῶν οὓς ἔλεγεν ὁ ἱερεύς· πάντως ἁρμόσουσι, καὶ οὐκ ἀπασόμεθα*) λέγοντες αὐτοὺς εἶναι τοὺς ἐν τῷ τότε ὄντας χρόνῳ. κοινῇ δὲ διαλαμβάνοντες ἅπαντες πειρασόμεθα τὸ πρέπον εἰς δύναμιν οἷς ἐπέταξας ἀποδοῦναι. σκοπεῖν οὖν δεῖ**), ὦ Σώκρατες, εἰ κατὰ νοῦν ὁ λόγος ἡμῖν * οὗτος, ἤ τινα ἔτ' ἄλλον ἀντ' αὐτοῦ ζη- E τητέον.

ΣΩ. Καὶ τίν' ἄν, ὦ Κριτία, μᾶλλον ἀντὶ τούτου μεταλάβοιμεν, ὃς τῇ τε παρούσῃ τῆς θεοῦ θυσίᾳ διὰ τὴν οἰκειότητα ἂν πρέποι μάλιστα, τό τε μὴ πλασθέντα μῦθον, ἀλλ' ἀληθινὸν λόγον εἶναι πάμμεγά που. πῶς γὰρ καὶ πόθεν ἄλλους εὑρήσομεν***) ἀφέμενοι τούτων; οὐκ ἔστιν, ἀλλ' ἀγα-

†) ἴσ. προβλήμασιν. ††) ἴσ. ἅτε τοῦ πρεσβύτου — διδάσκοντος καὶ ἐμοῦ κτλ. †††) γρ. ἅτε μοι.
*) γρ. ἀπωσόμεθα. **) ἄλλ. δὴ χρή.
***) ἄλλ. ἀνευρήσομεν.

in omnibus huiusmodi rebus maximum est negotium, orationem aliquam proposito convenientem afferre, haec nobis res bene succederet. itaque, quemadmodum hic dixit, heri statim ut hinc discesseram hisce illa retuli memoriam eorum repetens, et digressus ab his omnia fere meditans noctu retractavi. habent nimirum, ut in proverbio est, ea quae pueri percipimus incredibilem quandam recordationem. ego enim quae heri audivi vereor ut possim omnia memoria rursus comprehendere; de illis autem quae perlongo ante tempore exaudivi, prorsus admirarer si quid eorum mihi excidisset. ac magna cum voluptate eaque puerili tunc audita sunt, quippe sene prompte me docente et me saepenumero sciscitante, ut instar colorum inustorum indelebilis picturae stabilia mihi evaserint. atque etiam hisce statim narravi mane haec ipsa, ut sermonum copiam mecum haberent. nunc igitur, quam ob causam omnia dicta sunt, paratus sum ad narrandum, Socrate, non solum summatim, sed ita ut audivi singula. cives vero et civitatem, quam heri nobis tamquam in fabula persequutus es, transferentes in veritatem, huc ponemus quasi illa haec sit, et cives quos cogitatione comprehendisti illos dicemus veros esse nostros progenitores de quibus narraverit sacerdos: omni modo convenient, nec pugnantia loquemur dicentes eos esse illos qui id temporis vixerint. communiter autem explorantes omnes conabimur pro viribus cuique eorum quos mandasti convenientia attribuere. considerari igitur oportet, Socrate, num ex animi sententia haec oratio nobis sit, an aliam quam pro ea quaerere debeamus.

So. At quamnam, Critia, potius pro hac sumamus, quae praesenti deae sacrificio propter cognationem maxime conveniat et, id quod sine dubio permagnum quid est, non ficta sit fabula, sed vera oratio. quomodo enim et unde alias reperiemus, has si missas faciamus? non

θῇ τύχῃ χρὴ λέγειν μὲν ὑμᾶς, ἐμὲ δὲ ἀντὶ τῶν χθὲς * λό- 27
γων νῦν ἡσυχίαν ἄγοντα ἀκούειν †).

ΚΡ. Σκόπει δὴ τὴν τῶν ξενίων σοι διάθεσιν, ὦ Σώ-
κρατες, ᾗ διέθεμεν. ἔδοξε γὰρ ἡμῖν Τίμαιον μέν, ἅτε
ὄντα ††) ἀστρονομικώτατον ἡμῶν καὶ περὶ φύσεως τοῦ παν-
τὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον, πρῶτον λέγειν ἀρχό-
μενον ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, τελευτῶντα δὲ εἰς ἀν-
θρώπων φύσιν· ἐμὲ δὲ μετὰ τοῦτον, ὡς παρὰ μὲν τούτου
δεδεγμένον ἀνθρώπους τῷ λόγῳ γεγονότας, * παρὰ σοῦ δὲ B
πεπαιδευμένους διαφερόντως αὐτῶν τινάς, κατὰ δὲ τὸν Σό-
λωνος λόγον τε καὶ νόμον εἰσαγαγόντα αὐτοὺς ὡς εἰς δικα-
στὰς ἡμᾶς ποιῆσαι πολίτας τῆς πόλεως τῆσδε ὡς ὄντας
τοὺς τότε Ἀθηναίους, οὓς ἐμήνυσεν ἀφανεῖς ὄντας ἡ τῶν
ἱερῶν γραμμάτων φήμη, τὰ λοιπὰ δὲ ὡς περὶ πολιτῶν καὶ
Ἀθηναίων ὄντων ἤδη ποιεῖσθαι τοὺς λόγους.

ΣΩ. Τελέως τε καὶ λαμπρῶς ἔοικα ἀνταπολήψεσθαι τὴν
τῶν λόγων ἑστίασιν. Σὸν οὖν ἔργον λέγειν ἂν εἴη, ὦ Τίμαιε,
τὸ μετὰ τοῦτο, * ὡς ἔοικε, καλέσαντα *) κατὰ νόμον θεούς. C

ΤΙ. Ἀλλ', ὦ Σώκρατες, τοῦτό γε δὴ πάντες ὅσοι καὶ
κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς **) ὁρμῇ
καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν·
ἡμᾶς δὲ τοὺς περὶ τοῦ παντὸς λόγους ποιεῖσθαί πῃ μέλλον-
τας, εἰ γέγονεν ἢ καὶ ἀγενές ἐστιν, εἰ μὴ παντάπασι παραλ-
λάττομεν, ἀνάγκη θεούς τε καὶ θεὰς ἐπικαλουμένους εὔχε-
σθαι πάντα κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα, ἑπομένως δὲ
ἡμῖν εἰπεῖν. καὶ τὰ μὲν περὶ θεῶν ταύτῃ παρακεκλήσθω·
* τὸ δ' ἡμέτερον παρακλητέον, ᾗ ῥᾷστ' ἂν ὑμεῖς μὲν μά- D
θοιτε ***), ἐγὼ δὲ ᾗ διανοοῦμαι μάλιστ' ἂν περὶ τῶν προ-
κειμένων ἐνδειξαίμην.

Ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν πρῶτον διαιρετέον τά-
δε, τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γιγνόμενον
μέν (†), ὂν δὲ οὐδέποτε. τὸ μὲν * δὴ νοήσει μετὰ λόγου 28
περιληπτόν, ἀεὶ κατὰ ταὐτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθή-

---

†) ἄλλ. ἀντακούειν. ††) γρ. ἅτε.
*) ἄλλ. ἔοικεν, ἐπικαλέσαντα. **) γρ. πάσῃ.
***) γρ. μάθητε. (†) γρ. γιγνόμενον μὲν ἀεί.

est, sed, quod bene vertat, vobis quidem dicendum, mihi autem pro hesternis disputationibus quiescenti audiendum.

Cr. Considera quaeso munera hospitalia, Socrate, quomodo tibi disposuerimus. placuit enim nobis ut Timaeus, quippe qui astrologiae peritissimus e nobis esset et ad naturam universi cognoscendam summum contulerit studium, primus verba faceret incipiens a mundi ortu et desinens in hominum natura, ego autem post hunc, quippe ab hoc accipiens homines oratione procreatos, et a te institutos insigniter quosdam eorum, secundum Solonis vero orationem ac legem adducens eos ad vos tamquam ad iudices exhiberem cives huius civitatis velut si hi essent qui tunc fuissent Athenienses, quos declarasset evanuisse litterarum sacrarum fama, et ceterum iam de ipsis ut de civibus et Atheniensibus loquerer.

So. Perfecte et splendide videor vicissim accepturus esse sermonum epulationem. Tuum iam erit dicere, Timaee, deinceps, ut patet, postquam deos lege invocaveris.

Ti. Hoc quidem, Socrate, omnes faciunt quicumque etiam paululum sapiunt: in quoque enim opere suscipiendo tam exiguo quam magno deum semper fere invocant; nos vero qui de universo verba facturi simus utrum ortum habeat necne, nisi prorsus desipiamus, necesse est deos et deas invocantes precari ut omnia ex ipsorum maxime sententia nobisque convenienter dicamus. ac dii quidem ita invocati sunto, nos autem provocandi ut eam disputandi viam ingrediamur qua vos facillime percipiatis et ego sententiam meam de re proposita maxime declarem.

Est autem meo iudicio primum hoc explicandum, quid sit id quod semper sit neque ullum habeat ortum, et quid id quod gignatur nec umquam sit, quorum quidem alterum intelligentia et ratione comprehendatur semperque sit uno et eodem statu, alterum, opinabile,

σεως ἀλόγου, δοξαστὸν, γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν· πᾶν δὲ αὖ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεσθαι †)· παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν σχεῖν. ὅτου ††) μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεὶ, τοιούτῳ τινὶ προσχρώμενος παραδείγματι, τὴν ἰδέαν αὐτοῦ καὶ δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως * ἀποτελεῖσθαι πᾶν, οὗ δ' ἂν εἰς B
τὸ γεγονὸς, γεννητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν. ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅ τί ποτε ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο, τοῦθ' ἡμῖν ὠνομάσθω, σκεπτέον δ' οὖν †††) περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν (*) σκοπεῖν, πότερον ἦν ἀεὶ, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινὸς ἀρξάμενος. γέγονεν· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δὲ αἰσθητά, δόξῃ περιληπτὰ * μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γεννητὰ *) ἐφάνη· C
τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν. τόδε δ' αὖ **) πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον * πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον, ἢ πρὸς τὸ 29
γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δέ, ὃ μηδ' εἰπεῖν τινὶ θέμις, πρὸς τὸ γεγονός. παντὶ δὴ ***) σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν καὶ κατὰ ταὐτὰ (†) ἔχον δεδημιούργηται. τούτων δὲ ὑπαρχόντων αὖ πᾶσα * ἀνάγκη B
τόνδε τὸν κόσμον εἰκόνα τινὸς εἶναι. μέγιστον δὴ (††) παντὸς ἄρξασθαι κατὰ φύσιν ἀρχήν· ὧδε οὖν περί τε εἰκό-

---

†) ἴσ. γίγνεται. ††) γρ. ὅπου. †††) γρ. οὖν δή.
(*) ἴσ. ὃ περὶ παντὸς ὅπερ ὑπόκειται ἐν ἀρχῇ δεῖ.
*) γρ. γενητά. **) ἄλλ. οὖν. ***) γρ. δέ.
(†) ἴσ. ταὐτὰ ἀεί. (††) ἴσ. δέ.

opinione et sensu rationis experte percipiatur, gignatur et intereat, nec umquam vere sit. omne porro quod gignatur ex aliqua causa necesse esse gigni; nihil enim posse causa sublata ortum habere. cuiuscumque autem operis effector hoc intueatur quod semper eodem modo est eiusque speciem ac vim exprimat, hoc sibi proponens exemplar, praeclarum id necessario ita effici, sin autem id quod gignitur, natum sibi proponens exemplar, non praeclarum. omne igitur caelum sive mundus, sive quo alio vocabulo gaudet hoc a nobis nuncupatus sit, sed de hoc primum considerandum quod principio in omni quaestione considerari oportet, semperne fuerit, ortus initium nullum sumens, an natus sit, ab initio aliquo orsus. natus est; cernitur enim et tangitur et corpus habet; omnia autem talia sensum movent, et quae sensum movent, opinione et sensu comprehendenda, gigni ortaque esse diximus; id autem quod ortum habet, dicimus a causa aliqua profectum sit necesse esse. atque effectorem quidem et parentem huius universitatis indagare difficile et quum indagaveris omnibus eum indicare non potes. hoc rursus videndum utrum sit imitatus exemplar huius operis fabricator, idne quod semper uno et eodem modo se habet, an id quod generatum est. atqui si pulcher est hic mundus, si probus eius artifex, profecto speciem aeternitatis imitari maluit, sin secus, quod ne dictu quidem fas est, generatum expressit exemplar. non igitur dubium quin aeternum sit imitatus; ille enim rerum generatarum pulcherrima est, et hic auctorum optimus. ita igitur generatus ad id quod ratione sapientiaque comprehenditur et eodem semper modo se habet effectus est. quae quum ita sint, prorsus necesse est hunc quem cernimus mundum simulacrum alicuius esse exemplaris. maximum autem est cuiusque rei exordium secundum

νος καὶ περὶ τοῦ παραδείγματος αὖ (*) διοριστέον, ὡς
ἄρα τοὺς λόγους, ὧνπέρ εἰσιν ἐξηγηταί, τούτων αὐτῶν καὶ
ξυγγενεῖς ὄντας· τοῦ μὲν οὖν μονίμου καὶ βεβαίου καὶ με-
τὰ νοῦ καταφανοῦς μονίμους καὶ ἀμεταπτώτους, καθ' ὅσον
τε ἀνελέγκτοις προσήκει λόγοις εἶναι καὶ ἀκινήτοις, τούτου
δεῖ (†) μηδὲν ἐλλείπειν· τοὺς δὲ τοῦ πρὸς μὲν ἐκεῖνο ἀπει-
κασθέντος, * ὄντος δὲ εἰκόνος εἰκότας ἀνὰ λόγον τε ἐκεί- C
νων (††) ὄντας· ὅ τι γὰρ πρὸς γένεσιν οὐσία, τοῦτο πρὸς
πίστιν ἀλήθεια. ἐὰν οὖν, ὦ Σώκρατες, πολλὰ πολλῶν εἰπόν-
των περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως μὴ δυνατοὶ γι-
γνώμεθα πάντῃ πάντως αὐτοὺς (†††) αὐτοῖς ὁμολογουμέ-
νους καὶ ἀπηκριβωμένους λόγους ἀποδοῦναι, μὴ θαυμά-
σῃς, ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας,
ἀγαπᾶν χρή, * μεμνημένον ὡς ὁ λέγων ἐγὼ ὑμεῖς *) τε οἱ D
κριταὶ φύσιν ἀνθρωπίνην ἔχομεν, ὥστε περὶ τούτων τὸν εἰ-
κότα μῦθον ἀποδεχομένους πρέπει τούτου **) μηδὲν ἔτι πέ-
ρα ζητεῖν.

ΣΩ. Ἄριστα, ὦ Τίμαιε, παντάπασί τε ὡς κελεύεις ἀπο-
δεκτέον. τὸ μὲν οὖν προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου,
τὸν δὲ δὴ λόγον ***) ἡμῖν ἐφεξῆς πέραινε.

ΤΙ. Λέγωμεν δὴ δι' ἣν †) αἰτίαν γένεσιν καὶ τὸ πᾶν
τόδε ὁ ξυνιστὰς ξυνέστησεν. * ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς E
περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς
ὢν πάντα ὅτι μάλιστα ἐβουλήθη γενέσθαι παραπλήσια ἑαυ-
τῷ. ταύτην δὴ γενέσεως καὶ κόσμου μάλιστ' ἄν τις ἀρχὴν
κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος * ὀρθό- 30
τατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάν-
τα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν
ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινού-
μενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς
ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις
δὲ οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο ††) πλὴν τὸ κάλλι-
στον· λογισάμενος οὖν εὕρισκεν ἐκ * τῶν κατὰ φύσιν ὁρατῶν B

(*) ἄλλ. αὐτῆς. (†) ἴσ. δεῖν. (††) ἴσ. ἐκείνοις.
(†††) γρ. πάντως ἂν τοὺς αὐτούς.
*) γρ. ὁ λέγων ὑμεῖς. **) γρ. πρέπει. ***) γρ. νόμον.
†) ἄλλ. ἥν τινα. ††) ἴσ. ἄλλο τι.

naturam explicare; ita igitur de simulacro et de exemplari rursus statuendum, orationes quorum interpretes sint eis ipsis etiam cognatas esse; et eas quidem quae de re stabili, firma mentique perspicua habeantur, stabiles et immutabiles esse et, quoad in orationes cadat ut redargui nequeant et immobiles sint, eo non debere defici, quae autem habeantur de re ad illius similitudinem efficta eiusque simulacro, eas similes esse et huic respondere; quantum enim ad id quod gignitur valet id quod est, tantum ad fidem veritas. quocirca si forte, Socrate, quum multa multi disseruerint de deorum natura et universitatis ortu, minus id consequi poterimus ut oratio nostra ex omni parte secum ipsa consentiat, ne mireris, sed si non minus quam alius ullus probabiles afferamus, contentus esse debes, memor, tam dicentem me quam vos iudices naturam humanam habere: ut probabilem de hoc orationem accipientes nil ultra vos deceat requirere.

So. Egregie, Timaee, et omnino ut iubes accipiendum. atque exordium quidem mirum in modum probamus, iam orationem nobis deinceps perfice.

Ti. Dicamus igitur quam ob causam originem rerum et universum hoc is qui construxit construxerit. probus erat; probus autem nihil umquam alicui invidet; ab invidia vero alienus omnia quam maxime voluit sui similia effici. hoc igitur rerum originis et mundi principium verissimum si quis maxime probaverit a viris sapientibus positum rectissime probaverit. nam quum deus voluisset bona omnia, mali vero nihil esse quoad natura pateretur, quicquid erat quod in cernendi sensum caderet id sibi assumpsit, non tranquillum et quietum, sed immoderate agitatum et fluctuans, idque ex inordinato in ordinem adduxit; hoc enim iudicabat esse omnino praestantius. fas nec fuit nec est quicquam nisi pulcherrimum facere eum qui sit optimus. quum igitur rationem iniviffet, reperiebat nullum eorum quae

οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτ' ἔργον, νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο, ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῶον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι * πρόνοιαν. C

Τούτου δ' ὑπάρχοντος αὖ τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον, τίνι τῶν ζώων αὐτὸν εἰς ὁμοιότητα ὁ ξυνιστὰς ξυνέστησε. τῶν μὲν οὖν ἐν μέρους εἴδει πεφυκότων μηδενὶ καταξιώσωμεν· ἀτελεῖ γὰρ ἐοικὸς οὐδέν ποτ' ἂν γένοιτο καλόν· οὗ δ' ἔστι τἄλλα ζῶα καθ' ἓν καὶ κατὰ γένη μόρια, τούτῳ πάντων ὁμοιότατον αὐτὸν *) εἶναι τιθῶμεν· τὰ γὰρ δὴ νοητὰ ζῶα πάντα ἐκεῖνο ἐν ἑαυτῷ περιλαβὸν ἔχει, καθάπερ ὅδε ὁ κόσμον * ἡμᾶς ὅσα τε ἄλλα θρέμματα ξυνέστηκεν ὁρατά. D τῷ γὰρ τῶν νοουμένων καλλίστῳ καὶ κατὰ πάντα τελέῳ μάλιστ' αὐτὸν ὁ θεὸς ὁμοιῶσαι βουληθεὶς ζῶον ἓν ὁρατόν, πάνθ' ὅσα κατὰ φύσιν αὐτοῦ ξυγγενῆ ζῶα ἐντὸς ἔχον * ἑαυτοῦ, ξυνέστησε. Πότερον οὖν ὀρθῶς ἕνα 31 οὐρανὸν προσειρήκαμεν, ἢ πολλοὺς καὶ ἀπείρους λέγειν ἦν ὀρθότερον; ἕνα, εἴπερ κατὰ τὸ παράδειγμα δεδημιουργημένος ἔσται· τὸ γὰρ περιέχον πάντα ὁπόσα νοητὰ ζῶα μεθ' ἑτέρου δεύτερον οὐκ ἄν ποτ' εἴη· πάλιν γὰρ ἂν ἕτερον εἶναι τὸ περὶ **) ἐκείνω δέοι ζῶον, οὗ μέρος ἂν ἤτην ***) ἐκείνω, καὶ οὐκ ἂν ἔτι ἐκείνοιν, ἀλλ' ἐκείνῳ τῷ περιέχοντι τόδ' ἂν ἀφωμοιωμένον λέγοιτο ὀρθότερον. ἵνα οὖν τόδε κατὰ τὴν * μόνωσιν ὅμοιον ᾖ τῷ παντελεῖ ζώῳ, διὰ ταῦτα οὔτε B δύο οὔτ' ἀπείρους ἐποίησεν ὁ ποιῶν κόσμους, ἀλλ' εἷς ὅδε μονογενὴς οὐρανὸς γεγονὼς ἔστι τε καὶ ἔσται. Σωματοειδὲς

---

*) γρ. μόρια, πάντων — αὐτῷ.

**) ἴσ. τὸ περιέχον.

***) ἄλλ. εἴτην. ἴσ. εἰήτην.

natura cernerentur operum non intelligens intelligente in toto genere umquam fore praestantius, intelligentiam autem nisi in animo nulla alia in natura posse reperiri. atque hac quidem inita subductaque ratione intelligentiam in animo, animum vero in corpore concludens universum fabricatus est, ut quam pulcherrimum natura optimumque opus efficeret. quam ob causam non est cunctandum profiteri, si modo investigari aliquid coniectura potest, hunc mundum animal esse idque vere intelligens et divina providentia constitutum.

Hoc posito quod sequitur nobis dicendum est, ad cuiusnam animantium similitudinem is qui construxit mundum construxerit. ac de iis quidem quae particularum instar nata sunt, nullius eum existimemus similitudinem sequutum esse; imperfecto enim simile nihil umquam pulchrum erit; cuius vero reliqua animalia singulatim et generatim particulae sunt, eius omnium simillimum dicamus mundum esse; omnia enim quae ratione intelliguntur animantia hoc in se continet, sicut hicce mundus nos et quaecumque alia animantia ficta sunt sub adspectum cadentia. omnium enim quae mente comprehenduntur pulcherrimi et ex omni parte absoluti quum simillimum eum deus efficere vellet, animal unum adspectabile, in quo omnia animalia natura ipsi cognata continerentur, construxit. Utrum vero recte unum caelum diximus, an plures et innumerabiles dicere rectius erat? unum, siquidem ad exemplar factus erit; quod enim omnes animantes eos qui ratione intelliguntur complectitur id cum alio secundum numquam erit; rursus enim alium animantem qui illum contineret esse oporteret, cuius partes essent animantes superiores, nec iam illis, sed huic qui complecteretur hoc caelum simile effectum rectius diceretur. ut igitur mundus hoc ipso quod solus atque unus esset similis exsisteret perfecto animanti, iccirco neque duos neque innumerabiles finxit is qui finxit mundos, sed singularis hic atque unigena mundus

δὲ δὴ καὶ ὁρατὸν ἁπτόν τε δεῖ τὸ γενόμενον εἶναι, χωρι-
σθὲν δὲ πυρὸς οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο, οὐδὲ ἁπτὸν
ἄνευ τινὸς στερεοῦ, στερεὸν δὲ οὐκ ἄνευ γῆς· ὅθεν ἐκ πυρὸς
καὶ γῆς τὸ τοῦ παντὸς ἀρχόμενος ξυνιστάναι σῶμα ὁ θεὸς
ἐποίει. δύο δὲ μόνω καλῶς ξυνίστασθαι τρίτου χωρὶς οὐ
* δυνατόν· δεσμὸν γὰρ ἐν μέσῳ δεῖ τινὰ ἀμφοῖν ξυναγω- C
γὸν γίγνεσθαι. δεσμῶν δὲ κάλλιστος ὃς ἂν αὑτὸν καὶ τὰ
ξυνδούμενα ὅτι μάλιστα ἓν ποιῇ. τοῦτο δὲ πέφυκεν ἀνα-
λογία κάλλιστα ἀποτελεῖν· ὁπόταν γὰρ ἀριθμῶν τριῶν εἴτε
ὄγκων εἴτε δυνάμεων ὡντινωνοῦν ᾖ τὸ * μέσον, ὅ τιπερ τὸ 32
πρῶτον πρὸς αὐτό, τοῦτο αὐτὸ πρὸς τὸ ἔσχατον, καὶ πάλιν
αὖθις ὅ τι τὸ ἔσχατον πρὸς τὸ μέσον, τοῦτο τὸ μέσον πρὸς
τὸ πρῶτον, τότε τὸ μέσον μὲν πρῶτον καὶ ἔσχατον γιγνόμε-
νον, τὸ δὲ ἔσχατον καὶ τὸ πρῶτον αὖ μέσα ἀμφότερα, πάνθ᾿
οὕτως ἐξ ἀνάγκης ταὐτὰ εἶναι ξυμβήσεται, ταὐτὰ δὲ γενό-
μενα ἀλλήλοις ἓν πάντα ἔσται. εἰ μὲν οὖν ἐπίπεδον μέν,
βάθος δὲ μηδὲν ἔχον ἔδει γίγνεσθαι τὸ τοῦ παντὸς σῶμα,
μία μεσότης ἂν ἐξήρκει * τά τε μεθ᾿ αὑτῆς ξυνδεῖν καὶ B
ἑαυτήν, νῦν δὲ στερεὸν γὰρ αὐτὸ *) προσῆκεν εἶναι, τὰ δὲ
στερεὰ μία μὲν οὐδέποτε, δύο δὲ ἀεὶ μεσότητες ξυναρμότ-
τουσιν. οὕτω δὴ πυρός τε καὶ γῆς ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν
μέσῳ θείς, καὶ πρὸς ἄλληλα καθ᾿ ὅσον ἦν δυνατὸν ἀνὰ τὸν
αὐτὸν λόγον ἀπεργασάμενος, ὅ τι πῦρ πρὸς ἀέρα, τοῦτο
ἀέρα πρὸς ὕδωρ, καὶ ὅ τι ἀὴρ πρὸς ὕδωρ, τοῦτο ὕδωρ
πρὸς γῆν, ξυνέδησε καὶ ξυνεστήσατο οὐρανὸν ὁρατὸν καὶ
ἁπτόν. καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τοιούτων καὶ τὸν
* ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη δι᾿ ἀνα- C
λογίας ὁμολογῆσαν, φιλίαν τε ἔσχεν ἐκ τούτων, ὥστε εἰς
ταὐτὸν αὑτῷ ξυνελθὸν ἄλυτον ὑπό του ἄλλου **) πλὴν ὑπὸ
τοῦ ξυνδήσαντος γενέσθαι. Τῶν δὲ δὴ τεττάρων ἓν ὅλον
ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου ξύστασις· ἐκ γὰρ πυρὸς παν-
τὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς ξυνέστησεν αὐτὸν ὁ ξυνι-

*) ἀλλ. στερεοειδῆ — αὐτόν. ἴσ. στερεῷ — αὐτῷ.

**) γρ. τῶν ἄλλων.

procreatus et eſt et erit. Corporeum autem et adſpectabile itemque tractabile neceſſe eſt omne eſſe quod natum eſt. nihil porro igni vacuum videri poteſt, nec vero tangi quod careat ſolido, ſolidum autem nihil quod terrae ſit expers. quamobrem ex igne et terra univerſitatis corpus deus mundum conſtruere moliens finxit. duo autem ſola bene cohaerere ſine tertio nequeunt; vinculum enim interiectum ſit oportet ambo coniungens. ſed vinculorum id eſt pulcherrimum quod ex ſe atque iis quae adſtringit quam maxime unum efficit. id optime aſſequitur proportio; quando enim trium vel numerorum vel corporum vel quorumcumque generum medium, quod primum ad ipſum, hoc ipſum ad poſtremum eſt, viciſſimque quod extremum ad medium, id medium ad primum, tum id quod medium eſt primum et poſtremum fit, poſtremum vero et primum media fiunt ambo, itaque neceſſitas cogit ut omnia ſint eadem, eadem autem quum facta ſint inter ſe, unum ſint omnia. quodſi latitudinem quidem, altitudinem vero nullam habere debuiſſet univerſitatis corpus, unum interiectum medium ſatis fuiſſet ad ea quibus eſſet interpoſitum et ſe ipſum colliganda; nunc autem ſolidum eſſe debebat, ſolida vero unum medium numquam, ſed duo ſemper copulant. itaque inter ignem et terram deus aquam et aërem poſuit eaque quoad fieri poterat inter ſe comparans eademque proportione coniungens, ut quod ignis ad aërem, hoc aër ad aquam, et quod aër ad aquam, id aqua ad terram eſſet, colligavit et conſtruxit caelum adſpectabile et tractabile. atque hanc ob cauſam et ex his talibus numeroque quattuor mundi corpus effectum eſt proportione ſecum conſentiens et amicitia ſe inde complectitur, ut, quum in unum ſecum coaluerit, diſſolvi a nullo alio queat niſi ab eodem a quo eſt colligatum. Quattuor autem illarum rerum unam totam quamque accepit mundi conſtructio; igne enim omni et aqua et aëre et terra compoſuit eum is qui compoſuit, partem nullam

στάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών *),
τάδε διανοηθείς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα * ζῶον D
τέλεον ἐκ τελέων τῶν μερῶν εἴη, * πρὸς δὲ τούτοις ἕν, ἅτε 33
οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἂν **), ἔτι
δὲ ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ ***), κατανοῶν ὡς ἃ ξυνιστᾷ
τὰ σώματα †), θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνά-
μεις ἰσχυρὰς ἔχει, περιιστάμενα ἔξωθεν καὶ προςπίπτοντα
ἀκαίρως λύει καὶ νόσους γῆράς τε ἐπάγοντα φθίνειν ποιεῖ.
διὰ δὴ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε ἓν ††) ὅλον ὅλων
ἐξ ἁπάντων †††) τέλεον (*) καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν
ἐτεκτήνατο. * Καὶ σχῆμα δὲ ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ B
τὸ ξυγγενές. τῷ γὰρ τὰ πάντ' ἐν αὐτῷ ζῶα περιέχειν μέλ-
λοντι ζώῳ πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ
πάντα ὁπόσα σχήματα. διὸ καὶ σφαιροειδές, ἐκ μέσου πάντη
πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον, καὶ κυκλοτερὲς (**) αὐτὸ ἐτόρ-
νεύσατο, πάντων τελεώτατον ὁμοιότατόν τε αὐτὸ ἑαυτῷ σχη-
μάτων, νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου. Λεῖον δὲ
δὴ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ * ἀπηκριβοῦτο, πολλῶν χάριν· C
ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδὲν (ὁρατὸν γὰρ οὐδὲν ὑπελεί-
πετο ἔξωθεν) οὐδ' ἀκοῆς (οὐδὲ γὰρ ἀκουστόν), πνεῦμά τε (***)
οὐκ ἦν περιεστὸς δεόμενον ἀναπνοῆς· οὐδ' αὖ τινὸς ἐπι-
δεὲς ἦν ὀργάνου σχεῖν, ᾧ τὴν μὲν εἰς ἑαυτὸ τροφὴν δέξοι-
το, τὴν δὲ πρότερον ἐξικμασμένην ἀποπέμψοι πάλιν· ἀπῄει
τε γὰρ οὐδὲν οὐδὲ προςῄειν αὐτῷ ποθὲν οὐδέν· οὐ (†) γὰρ
ἦν· αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον
καὶ πάντα ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον * καὶ δρῶν ἐκ D
τέχνης γέγονεν· ἡγήσατο γὰρ αὐτὸ ὁ ξυνθεὶς αὔταρκες ὂν
ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προςδεὲς ἄλλων. χειρῶν δέ, αἷς
οὔτε λαβεῖν οὔτε αὖ (††) τινὰ ἀμύνασθαι χρεία τις ἦν, μάτην
οὐκ ᾤετο δεῖν αὐτῷ προσάπτειν, οὐδὲ ποδῶν οὐδὲ ὅλως τῆς
περὶ τὴν βάσιν ὑπηρεσίας (†††). * κίνησιν γὰρ ἀπένειμεν αὐ- 34

---

*) γρ. ὑπολείπων. **) γρ. τοιοῦτ' ἂν γένοιτο. ***) ἴσ. εἴη. †) ἴσ. ὡς τῷ σώματι θερμά. ††) ἴσ. ἕνα. †††) γρ. ὅλον ἐξ ἁπάντων. (*) ἴσ. καὶ τελέων τέλεον. (**) γρ. ἀπέχον, κυκλοτερὲς (***) ἴσ. διὰ πνεῦμά τε. (†) ἄλλ. ποθέν· οὐδέ. (††) γρ. ἄν. (†††) ἴσ. τὴν — ὑπηρεσίαν.

nullius neque vim extrinsecus relinquens, has ob causas primum, ut totus quam maxime animans perfectus esset ex perfectis partibus, deinde ut unus esset, nulla parte unde alius eiusmodi gigneretur relicta, postremo ut et senectutis et morbi expers esset, perspiciens, calida et frigida omniaque quaecumque vim habent vehementem, corpori circumiecta extrinsecus et immoderate ingruentia ipsum solvere et morbis senectuteque adductis perniciem ei afferre. hanc igitur ob caussam et haec reputans mundum ita fabricatus est ut unum totum perfectum ex omnibus totis perfectis et morbo senioque carentem efficeret. Et formam quoque ei dedit decoram et cognatam. a quo enim animante omnes reliquos contineri vellet animantes, hunc ea forma figuravit qua omnes reliquae formae concluduntur. quocirca globosum et orbiculatum eum tornavit, ita ut a medio usquequaque extrema aequaliter absint, quae quidem forma omnium perfectissima sibique ipsa simillima; existimabat enim longe praestantiorem similitudinem dissimilitudine. Levitate autem circumcirca totum extrinsecus exornavit, multis de causis; nec enim oculis egebat (nihil enim extra quod cerni posset relictum erat) nec auribus (quia ne quod audiretur quidem), neque erant aëre circumfusa extrema mundi ut respirationem requireret; neque vero instrumento aliquo indigebat quo alimenta sumeret priusque confecta et consumpta rursus emitteret; decedebat enim nihil neque accedebat ei aliquid alicunde: neque enim erat; nam artificiose ita factum erat ut sibi ipse alimentum praeberet quo consumeretur omniaque ipse in se et a se et pateretur et faceret; arbitrabatur enim qui eum condidit melius fore si totus ex se aptus esset mundus, quam si aliis egeret. manus autem, quippe quibus neque capiendum quicquam erat neque repellendum, frustra ei non putabat affigendas esse; nec pedes nec omnino ingrediendi adminiculum. motum enim caelo dedit eius corpori con-

τῷ τὴν τοῦ σώματος οἰκείαν, τῶν ἑπτὰ τὴν περὶ νοῦν καὶ φρόνησιν μάλιστα οὖσαν. διὸ δὴ κατὰ ταὐτὰ ἐν τῷ αὐτῷ καὶ ἐν ἑαυτῷ περιαγαγὼν αὐτὸ ἐποίησε κύκλῳ κινεῖσθαι στρεφόμενον, τὰς δὲ ἓξ ἁπάσας κινήσεις ἀφεῖλε καὶ ἀπλανὲς ἀπειργάσατο ἐκείνων. ἐπὶ δὲ τὴν περίοδον ταύτην ἅτ' οὐδὲν ποδῶν δέον ἀσκελὲς καὶ ἄπουν αὐτὸ ἐγέννησεν.

Οὗτος δὴ πᾶς ὄντος *) ἀεὶ λογισμὸς θεοῦ περὶ τόν ποτε ἐσόμενον θεὸν λογισθεὶς λεῖον καὶ * ὁμαλὸν πανταχῇ B
τε ἐκ μέσου ἴσον καὶ ὅλον καὶ τέλεον ἐκ τελέων σωμάτων σῶμα ἐποίησε. ψυχὴν δὲ εἰς τὸ μέσον αὐτοῦ θεὶς διὰ παντός τε ἔτεινε καὶ ἔτι ἔξωθεν **) τὸ σῶμα αὐτῇ περιεκάλυψε, καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε, δι' ἀρετὴν δὲ αὐτὸν αὑτῷ δυνάμενον ξυγγίγνεσθαι καὶ οὐδενὸς ἑτέρου προσδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὑτῷ. διὰ πάντα δὴ ταῦτα εὐδαίμονα θεὸν αὐτὸν ἐγεννήσατο.

Τὴν δὲ δὴ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, * οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ C
ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου ξυνέρξας εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ ταύτῃ πῃ καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου, ξυνεστήσατο ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ. τῆς * ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας 35
καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ ξυνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ ***) τῆς θατέρου †), καὶ κατὰ ταὐτὰ ††) ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. καὶ τρία λαβὼν αὐτὰ †††) ὄντα ξυνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸ (*) * ξυναρμόττων βίᾳ. μιγνὺς δὲ μετὰ τῆς οὐσίας B
καὶ ἐκ τριῶν ποιησάμενος ἓν πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ

---

*) γρ. ὄντως. **) γρ. ἔξω. ***) ἴσ. αὖ καὶ. †) γρ. τοῦ ἑτέρου. ††) ἀλλ. κατὰ ταῦτα. †††) γρ. αὖ τά. (*) ἀλλ. εἰς ταὐτόν.

venientem, eum qui unus ex ſeptem motibus ad mentem atque intelligentiam maxime ſpectaret. quocirca quum aequaliter in eodem ipſumque in ſe circumtuliſſet effecit ut in orbem moveretur ſe torquens, ſex autem omnes motus excluſit hòrumque ab erratione eum liberavit. ad hanc igitur converſionem quum pedibus non egeret cruribus et pedibus eum carentem generavit.

Hanc igitur omnem rationem deus qui ſemper eſt quum habuiſſet dei aliquando futuri, leve atque aequabile, undique a medio par et totum et perfectum e perfectis corporibus corpus effecit. animum autem in eius medio collocatum per totum tetendit et praeterea extrinſecus univerſitatis corpus eo circumfudit, atque in orbem ſe convertentem orbem caelum unum ſolum vacuum effecit, quod ſecum ipſum propter virtutem facile eſſe poſſet nec deſideraret alterum, ſatis ſibi ipſum notum et familiare. his igitur omnibus de cauſis mundum procreavit beatum deum.

Animum autem non, ut nunc poſteriore loco de eo inſtituimus dicere, ita etiam machinatus eſt recentiorem; non enim qui eum copulavit maiorem ſiviſſet minori parere; ſed nos quodammodo, prout multa nobis fortuito et inconſiderate incidunt, ita fere etiam dicimus. ille vero et ortu et virtute priorem et antiquiorem animum corpore, ut dominum et imperaturum obedituro, compoſuit ex his et hac ratione. ex materia quae individua eſt ſemperque unius modi et ex ea quae in corporibus dividua gignitur, tertium materiae genus utriusque in medio conflavit, quod eſſet eiusdem naturae et quod alterius, idque item in medio conſtituit individui atque eius quod in corporibus eſt dividuum. et quum tria haec ſumpſiſſet, unam omnia in ſpeciem temperavit, alterius naturam copulationis alienām vi conſocians. quas quidem quum permiſcuiſſet cum materia et ex tribus effeciſſet unum rurſus totum hoc in eas quas decuit partes partitus eſt, quamque ex eodem et altero et materia temperatam.

τῆς οὐσίας μεμιγμένην. ἤρχετο δὲ διαιρεῖν ὧδε. μίαν ἀφεῖλε τὸ πρῶτον ἀπὸ παντὸς μοῖραν, μετὰ δὲ ταύτην ἀφῄρει διπλασίαν ταύτης, τὴν δ' αὖ τρίτην ἡμιολίαν μὲν τῆς δευτέρας, τριπλασίαν δὲ τῆς πρώτης, τετάρτην δὲ τῆς δευτέρας διπλῆν, πέμπτην δὲ τριπλῆν τῆς τρίτης, * τὴν δ' ἕκτην τῆς C
πρώτης ὀκταπλασίαν, ἑβδόμην δὲ ἑπτακαιεικοσαπλασίαν τῆς πρώτης. μετὰ δὲ ταῦτα ξυνεπλήρωσε *) τά τε διπλάσια
* καὶ τριπλάσια διαστήματα, μοίρας ἔτι ἐκεῖθεν ἀποτέμνων 36
καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων, ὥστε ἐν ἑκάστῳ διαστήματι δύο εἶναι μεσότητας, τὴν μὲν ταὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπερεχομένην, τὴν δ' ἴσῳ μὲν κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην. ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαστάσεσι, * τῷ τοῦ B
ἐπογδόου διαστήματι τὰ ἐπίτριτα πάντα ξυνεπληροῦτο, λείπων αὐτῶν ἑκάστου μόριον, τῆς τοῦ μορίου ταύτης διαστάσεως λειφθείσης ἀριθμοῦ πρὸς ἀριθμὸν ἐχούσης τοὺς ὅρους ἓξ καὶ πεντήκοντα καὶ διακοσίων πρὸς τρία καὶ τετταράκοντα καὶ διακόσια. καὶ δὴ τὸ μιχθὲν ἐξ οὗ ταῦτα κατέτεμνεν, οὕτως ἤδη πᾶν καταναλώκει **). ταύτην οὖν τὴν ξύστασιν πᾶσαν διπλῆν κατὰ μῆκος σχίσας, μέσην πρὸς μέσην ἑκατέραν ἀλλήλαις οἷον χῖ προσβαλὼν κατέκαμψεν εἰς κύκλον, * ξυνάψας αὐταῖς τε καὶ ἀλλήλαις ἐν τῷ καταν- C
τικρὺ τῆς προσβολῆς, καὶ τῇ κατὰ ταὐτὰ καὶ ἐν ταὐτῷ περιαγομένῃ κινήσει πέριξ αὐτὰς ἔλαβε, καὶ τὸν μὲν ἔξω, τὸν δ' ἐντὸς ἐποιεῖτο τῶν κύκλων. τὴν μὲν οὖν ἔξω φορὰν ἐπεφήμισεν εἶναι τῆς ταὐτοῦ φύσεως, τὴν δ' ἐντὸς τῆς θατέρου. τὴν μὲν δὴ ταὐτοῦ κατὰ πλευρὰν ἐπὶ δεξιὰ περιήγαγε, τὴν δὲ θατέρου κατὰ διάμετρον ἐπ' ἀριστερά. κράτος δ' ἔδωκε τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ· * μίαν γὰρ αὐτὴν D
ἄσχιστον εἴασε, τὴν δ' ἐντὸς σχίσας ἑξαχῇ ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου καὶ τριπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τἀναντία μὲν ἀλλήλοις προσέταξεν ἰέναι τοὺς κύκλους, τάχει δὲ τρεῖς μὲν ὁμοίως,

*) ἄλλ. ξυνεπληροῦτο.

**) γρ. ἀπηναλώκει.

molitus autem est ita distribuere. unam principio partem detraxit ex toto, post hanc primae partis duplam, deinde tertiam sesquialteram secundae, triplam vero primae, deinde quartam secundae duplam, quintam inde tertiae triplam, tum sextam primae octuplam, postremo septimam quae septem et viginti partibus antecederet primae. deinde instituit dupla et tripla intervalla explere, partes rursus illinc desecans et in illorum medio ita locans ut in singulis intervallis bina essent media, alterum eadem parte praestans extremis eademque superatum, alterum pari numero praestans et pari superatum. sesquialteris autem intervallis et sesquitertiis et sesquioctavis ortis ex his colligationibus in prioribus intervallis, sesquioctavo intervallo sesquitertia omnia explevit, quum particulam singulorum relinqueret, cuius quidem particulae intervallum relictum numeri ad numerum habebat terminos ducentorum quinquaginta sex ad ducenta quadraginta tria. atque ita permixtum illud ex quo haec secuerat, iam omne consumpserat. hanc igitur omnem coniunctionem duplicem in longitudinem diffidit, mediam utramque mediae ita accommodans ut quasi litterae X instar obtinerent; deinde in orbem torsit, coniungens ipsas secum et inter se e regione commissurae, motuque eadem ratione et in eodem in orbem circumacto eas circumcirca complexus est, alterum quidem orbem exteriorem efficiens, alterum interiorem. atque exteriorem quidem motionem eiusdem naturae, interiorem vero alterius nominavit; et eum qui erat eiusdem naturae a latere in dextram partem detorsit, alterius autem naturae motum a media linea direxit ad laevam. principatum vero dedit eiusdem et aequalis naturae conversioni; hanc enim solam individuam reliquit. interiorem autem quum in sex partes divisisset, septem orbes dispares dupli et tripli intervallo quoque, utriusque quum tria essent, contrariis inter se cursibus moveri iussit, eorum autem trium fecit pares celeritates,

τοὺς δὲ τέτταρας ἀλλήλοις καὶ τοῖς τρισὶν ἀνομοίως, ἐν λόγῳ
δὲ φερομένους.

Ἐπεὶ δὲ κατὰ νοῦν τῷ ξυνιστάντι πᾶσα ἡ τῆς ψυχῆς
ξύστασις ἐγεγένητο, μετὰ τοῦτο πᾶν τὸ σωματοειδὲς ἐντὸς
αὐτῆς ἐτεκταίνετο * καὶ μέσον μέσῃ ξυναγαγὼν *) προςήρ- E
μοττεν. ἡ δ' ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανὸν πάντῃ δια-
πλακεῖσα κύκλῳ τε αὐτὸν ἔξωθεν περικαλύψασα, αὐτή τε ἐν
αὐτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμ-
φρονος βίου πρὸς τὸν ξύμπαντα χρόνον. καὶ τὸ μὲν δὴ σῶμα
ὁρατὸν οὐρανοῦ γέγονεν, αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ
δὲ μετέχουσα * καὶ ἁρμονίας, ψυχή, τῶν νοητῶν ἀεί τε ὄν- 37
των ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. ἅτε
οὖν ἐκ τῆς ταὐτοῦ **) καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐ-
σίας τριῶν τούτων ξυγκραθεῖσα μοιρῶν, καὶ ἀνὰ λόγον με-
ρισθεῖσα καὶ ξυνδεθεῖσα, αὐτή τε ἀνακυκλουμένη πρὸς αὐ-
τήν, ὅταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται καὶ
ὅταν ἀμέριστον, λέγει κινουμένη διὰ πάσης ἑαυτῆς, ὅτῳ τ'
ἄν τι ταὐτὸν ᾖ καὶ ὅτου ἂν ἕτερον, πρὸς ὅ τί τε μάλιστα
καὶ ὅπῃ * καὶ ὅπως καὶ ὁπότε ξυμβαίνει κατὰ τὰ γιγνόμενά B
τε πρὸς ἕκαστον ἕκαστα εἶναι καὶ πάσχειν καὶ πρὸς τὰ κατὰ
ταὐτὰ ἔχοντα ἀεί. λόγος δὲ ὁ κατὰ ταὐτὸν ἀληθὴς γιγνό-
μενος, περί τε θάτερον ὢν καὶ περὶ τὸ ταὐτόν, ἐν τῷ
κινουμένῳ ***) ὑφ' αὑτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς,
ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται, καὶ ὁ τοῦ θατέρου κύ-
κλος ὀρθὸς ἰὼν †) εἰς πᾶσαν αὐτοῦ ††) τὴν ψυχὴν διαγ-
γείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς, ὅταν
δὲ αὖ περὶ τὸ * λογιστικὸν ᾖ καὶ ὁ ταὐτοῦ κύκλος εὔτρο- C
χος ὢν αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτε-
λεῖται. τούτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθον, ἄν ποτέ τις
αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πᾶν μᾶλλον ἢ τἀληθὲς ἐρεῖ.

---

*) γρ. ξυνάγων. **) γρ. ἐκ ταὐτοῦ. ***) ἴσ. λόγος δὲ ἀληθής, κατὰ ταὐτὸν καὶ κατὰ θάτερον γιγνόμενος, περί τε θάτερον καὶ περὶ ταὐτὸν ἐν τῷ κινουμένῳ κτλ. ἢ. λόγος δὲ ἀληθής, περὶ τὸ κατὰ ταὐτὸν ἀεὶ ὂν καὶ περὶ θάτερον γιγνόμενος καὶ ἐν τῷ κινουμένῳ κτλ. †) ἄλλ. ὢν. ††) ἴσ. αὐτό.

ſed quattuor et inter ſe dispares et disſimiles trium reliquorum, ratione autem et numero ſe moventes.

Animum igitur quum mundi procreator ex ſententia totum conſtruxiſſet, tum denique omne quod erat corporeum intra illum finxit et medium medio accommodans copulavit. ille vero a medio ad extremum caelum extentus et in orbem extrinſecus ei circumfuſus ſeque in ſe ipſo verſans, divinum initium duxit ſempiternae et ſapientis vitae in univerſum tempus. et corpus quidem caeli adſpectabile effectum eſt, animus autem oculorum effugiens obtutum et rationis concentusque compos, ab optimo eorum qui ſub intelligentiam cadunt et ſempiterni ſunt optimus procreatus ex eis quae procreata ſunt. quippe ex eadem alteraque natura et materia, his tribus partibus, temperatus et ratione numeroque distributus ac vinctus ſeque ipſe in ſe converſans, quum attingit aliquid quod naturam habet diviſam, rurſusque quod individuam, dicit per ſe ipſum totum commotus, cui quid idem ſit et a quo diverſum, et quorſum maxime et quo loco aut modo aut tempore quidque ad quidque eorum quae fiunt et eorum quae ſunt ſemper eadem aliquo modo ſe habeat et afficiatur. ſermo autem verus, qui in eo quod ſemper eſt idem et in altero verſatur et in eo quod a ſe ipſum movetur ſine voce fertur atque ſono, quum id attingit quod ſub ſenſum cadit et orbis alterius generis recta procedens univerſo eius animo denunciat, tum opiniones asſenſionesque firmae veraeque gignuntur, quum contra in eo vertitur quod mentis et rationis eſt particeps, et naturae eiusdem orbis volubilis id declarat, ratio et ſcientia neceſſario abſolvitur. hoc autem in quo hi duo exſiſtunt ſi quis aliud quid quam animum appellaverit, omnia magis quam verum dixerit.

Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνενόησε τῶν ἀϊδίων θεῶν
γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφραν-
θεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν
ἀπεργάσασθαι. καθάπερ * οὖν αὐτὸ τυγχάνει ζῶον ἀΐδιον*), D
καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον
ἀποτελεῖν. ἡ μὲν οὖν τοῦ ζώου φύσις ἐτύγχανεν οὖσα αἰώ-
νιος· καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ παντελῶς προσάπτειν
οὐκ ἦν δυνατόν· εἰκόνα δ' ἐπινοεῖ κινητήν τινα αἰῶνος
ποιῆσαι, καὶ διακοσμῶν ἅμα οὐρανὸν ποιεῖ μένοντος αἰῶνος
ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ
χρόνον ὠνομάκαμεν. ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ
* ἐνιαυτοὺς οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα E
ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται. ταῦτα δὲ
πάντα μέρη χρόνου, καὶ τό τ' ἦν τό τ' ἔσται, χρόνου γε-
γονότα εἴδη, ἃ δὴ φέροντες **) λανθάνομεν ἐπὶ τὴν ἀΐδιον
οὐσίαν οὐκ ὀρθῶς· λέγομεν γὰρ δὴ ὡς ἦν ἔστι τε καὶ ἔσται,
τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ * λόγον προσήκει, τὸ 38
δὲ ἦν τό τ' ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν ἰοῦσαν πρέπει
λέγεσθαι· κινήσεις γάρ ἐστον, τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ ἔχον
ἀκινήτως οὔτε πρεσβύτερον οὔτε νεώτερον προσήκει γίγνε-
σθαι διὰ χρόνον οὐδὲ γενέσθαι ποτὲ οὐδὲ γεγονέναι ***)
νῦν οὐδ' εἰσαῦθις ἔσεσθαι, τὸ παράπαν τε οὐδὲν ὅσα γέ-
νεσις τοῖς ἐν αἰσθήσει φερομένοις προσῆψεν, ἀλλὰ χρόνου
ταῦτα αἰῶνά τε μιμουμένου καὶ κατ' ἀριθμὸν κυκλουμένου
γέγονεν εἴδη. καὶ πρὸς τούτοις ἔτι τὰ τοιάδε, * τό τε γε- B
γονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον,
ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ
ὂν εἶναι, ὧν οὐδὲν ἀκριβῶς †) λέγομεν. περὶ μὲν οὖν τού-
των τάχ' ἂν οὐκ εἴη καιρὸς πρέπων ἐν τῷ παρόντι διακρι-
βολογεῖσθαι.

Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν, ἵνα ἅμα γεννη-
θέντες ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γίγνη-
ται, καὶ κατὰ τὸ παράδειγμα τῆς αἰωνίου ††) φύσεως, ἵν' ὡς

*) ἴσ. ἀΐδιον ὄν. **) γρ. γεγονότος εἴδη, φέροντες. ***) γρ γίγνεσθαι ποτὲ οὐδὲ γεγονέναι. †) ἄλλ. ἀκριβές. ††) ἄλλ. αἰωνίας.

Quum vero moveri ac vivere animadvertisset sempiternorum deorum simulacrum genitum pater et procreator, oblectatus est laetitiaque affectus etiam similius cogitavit exemplari efficere. quemadmodum igitur hoc erat animans sempiternus, ita etiam hanc universitatem pro viribus conatus est talem absolvere. iam animantis quidem natura erat aeterna; hoc autem ei quod procreatum erat prorsus adiungi non poterat; imaginem igitur cogitavit mobilem quandam aeternitatis fingere, simulque caelum ordinans facit manentis aeternitatis in uno aeternam imaginem quae numero volvitur, quod quidem tempus nominavimus. dies enim et noctes et menses et anni quum ante caelum procreatum non fuissent, tum simul cum illius constructione eorum ortum machinatur. haec autem omnia partes temporis, et *erat* si dicimus et *erit*, temporis procreatae species, quas quidem inscientes transferimus in sempiternam naturam haud recte; dicimus videlicet eam fuisse et esse et futuram esse, quum *esse* tantum ex vera ratione ei conveniat, *fuisse* autem et *fore* in eo dicendum sit quod in tempore ortum progrediatur; motus enim utrique sunt, id vero quod semper uno et eodem statu et immobile est neque antiquius neque recentius potest fieri per tempus neque factum esse aliquando neque nunc primum exstitisse neque in posterum futurum esse neque omnino eorum quicquam in ipsum cadit quaecumque ortus rebus sensui obversantibus adiunxit, sed temporis hae aeternitatem imitantis et numero se volventis exstiterunt formae. et praeterea quoque haec: factum *esse* factum, quod fiat *esse* id quod fiat, porro futurum *esse* futurum et quod non sit id *esse* quod non sit: quorum nihil accurate dicimus. de his autem forsitan praesens tempus haud opportunum fuerit diligentius exponere.

Tempus igitur una cum caelo factum est, ut simul orta simul etiam dissolvantur, si quando eorum solutio eventura sit, et ad exemplar aeternae naturae, ut quam

ὁμοιότατος αὐτῷ κατὰ δύναμιν ᾖ· τὸ μὲν γὰρ δὴ παράδει-
γμα * πάντα αἰῶνά ἐστιν ὄν, ὁ δ' αὖ διὰ τέλους τὸν ἅπαντα C
χρόνον γεγονώς τε καὶ ὢν καὶ ἐσόμενος *). ἐξ οὖν λόγου
καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γεν-
νηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα, ἐπί-
κλην ἔχοντα πλάνητες **), εἰς διορισμὸν καὶ φυλακὴν ἀρι-
θμῶν χρόνου γέγονε. σώματα δὲ αὐτῶν ἑκάστων ποιήσας ὁ
θεὸς ἔθηκεν εἰς τὰς περιφορὰς ἃς ἡ θατέρου περίοδος ᾔειν,
ἑπτὰ οὔσας ὄντα ἑπτά, σελήνην * μὲν εἰς τὸν περὶ γῆν D
πρῶτον, ἥλιον δ' εἰς τὸν δεύτερον ὑπὲρ γῆς, ἑωσφόρον δὲ
καὶ τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον εἰς τοὺς τάχει μὲν ἰσόδρο-
μον ἡλίῳ κύκλον ἰόντας, τὴν δ' ἐναντίαν εἰληχότας αὐτῷ
δύναμιν· ὅθεν καταλαμβάνουσί τε καὶ καταλαμβάνονται κατὰ
ταὐτὰ ὑπ' ἀλλήλων ἥλιός τε καὶ ὁ τοῦ Ἑρμοῦ καὶ ἑωσφό-
ρος. τὰ δ' ἄλλα οἷ δὴ καὶ δι' ἃς αἰτίας ἱδρύσατο, εἴ τις
ἐπεξίοι πάσας, ὁ λόγος πάρεργος ὢν πλέον ἂν ἔργον ὧν
ἕνεκα * λέγεται παράσχοι. ταῦτα μὲν οὖν ἴσως τάχ' ἂν κατὰ E
σχολὴν ὕστερον τῆς ἀξίας τύχοι διηγήσεως. Ἐπειδὴ δὲ οὖν
εἰς τὴν ἑαυτῷ πρέπουσαν ἕκαστον ἀφίκετο φορὰν τῶν ὅσα
ἔδει ξυναπεργάζεσθαι χρόνον, δεσμοῖς τε ἐμψύχοις σώματα
δεθέντα ζῶα ἐγεννήθη τό τε προσταχθὲν ἔμαθε, κατὰ δὴ
τὴν θατέρου φορὰν * πλαγίαν οὖσαν διὰ τῆς ταὐτοῦ φο- 39
ρᾶς ***) ἰοῦσάν τε καὶ κρατουμένην †), τὸ μὲν μεῖζω αὐ-
τῶν, τὸ δὲ ἔλαττω κύκλον ἰόν, θᾶττον μὲν τὰ τὸν ἐλάττω,
τὰ δὲ τὸν μείζω βραδύτερον περιῄειν ††)· τῇ δὲ ταὐτοῦ
φορᾷ τὰ τάχιστα περιιόντα ὑπὸ τῶν βραδύτερον ἰόντων ἐφαί-
νετο καταλαμβάνοντα καταλαμβάνεσθαι· πάντας γὰρ τοὺς
κύκλους αὐτῶν στρέφουσα ἕλικα †††), διὰ τὸ διχῇ κατὰ τὰ
ἐναντία ἅμα προϊέναι, * τὸ βραδύτατα ἀπιὸν ἀφ' αὐτῆς B
οὔσης ταχίστης ἐγγύτατα ἀπέφαινεν. ἵνα δὲ εἴη μέτρον ἐναρ-
γές τι πρὸς ἄλληλα βραδυτῆτι καὶ τάχει καὶ τὰ (*) περὶ

*) γρ. ἐσόμενος ἐστὶ μόνος. **) ἄλλ. πλανητά. ἴσ. ἐπίκλησιν — πλανῆται. ***) γρ. φύσεως. †) ἄλλ. ἰούσης τε καὶ κρατουμένης. ††) γρ. περιιόντα. ἴσ. τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω κύκλον περιῄει, θᾶττον — βραδύτερον, τῇ δὲ κτλ. †††) γρ. ἑλίκη.

(*) ἴσ. ᾗ πρὸς ἄλληλα βραδυτῆτι καὶ τάχει αὐτὰ περὶ κτλ.

simillimum eius sit; etenim exemplar per omnem aeternitatem vere est, illud autem perpetuo omneque per tempus et fuit et est et erit. ex hac igitur ratione et consilio divino ut tempus procrearetur, sol et luna et quinque aliae stellae quae vocantur errantes, ad temporis numeros distinguendos atque conservandos facta sunt. corpora autem eorum deus effector posuit in orbibus, septem illa in septem his quos alterius naturae circuitus lustrabat, ac lunam quidem in eo qui primus terram ambit, solem in secundo supra terram, Luciferum autem et eum qui Mercurio sacer dicitur in iis orbibus qui cursum habent solis celeritati parem, sed vim quandam eius nacti sunt contrariam; quo fit ut comprehendant et comprehendantur pariter inter se sol et Mercurius et Lucifer. reliqua autem sidera quo et quibus de causis collocaverit, si quis persequi velit omnes, oratio ad institutum nihil pertinens plus negoti exhibeat in iis exponendis quorum causa habeatur. haec igitur forsitan per otium posthac dignam inveniat expositionem. Quum vero unumquodque eorum siderum quae oportebat tempus una conficere cursum decorum esset adeptum vinculisque animalibus corpora colligata animantia essent facta et praescriptum percepissent, secundum alterius naturae motionem transversam per motum eiusdem naturae euntem et superatam alia maiorem, alia minorem orbem lustrarunt, celerius quae minorem, quae vero maiorem tardius, motione autem eiusdem naturae quae velocissime volvebantur a tardioribus visa sunt quum superarent superari; omnes enim eorum orbes instar spirae vertens, eo quod bifariam contrarie simul procedebant, effecit ut, quod tardissime ab ipsa quae velocissima erat discederet, id proximum videretur. atque ut esset mensura quaedam evidens qua inter se tarditate et celeritate illa in istis

τὰς ὀκτὼ φορὰς πορεύοιτο, φῶς ὁ θεὸς ἀνῆψεν ἐν τῇ πρὸς γῆν δευτέρᾳ τῶν περιόδων, ὃ δὴ νῦν *) κεκλήκαμεν ἥλιον, ἵνα ὅτι μάλιστα εἰς ἅπαντα φαίνοι τὸν οὐρανὸν μετάσχοι τε ἀριθμοῦ τὰ ζῶα, ὅσοις ἦν προσῆκον, μαθόντα παρὰ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς. νὺξ μὲν οὖν ἡμέρα τε * γέ- C
γονεν οὕτω καὶ διὰ ταῦτα, ἡ τῆς μιᾶς καὶ φρονιμωτάτης κυκλήσεως περίοδος· μεὶς δέ, ἐπειδὰν σελήνη περιελθοῦσα τὸν ἑαυτῆς κύκλον ἥλιον ἐπικαταλάβῃ, ἐνιαυτὸς δέ, ὁπόταν ἥλιος τὸν ἑαυτοῦ περιέλθῃ **) κύκλον. τῶν δ' ἄλλων τὰς περιόδους οὐκ ἐννενοηκότες ἄνθρωποι, πλὴν ὀλίγοι τῶν πολλῶν, οὔτε ὀνομάζουσιν οὔτε πρὸς ἄλληλα ξυμμετροῦνται σκοποῦντες ἀριθμοῖς, ὥστε, ὡς ἔπος εἰπεῖν, οὐκ ἴσασι χρόνον ὄντα τὰς τούτων πλάνας, * πλήθει μὲν ἀμηχάνῳ χρω- D
μένας, πεποικιλμένας δὲ θαυμαστῶς. ἔστι δ' ὅμως οὐδὲν ἧττον κατανοῆσαι δυνατὸν ὡς ὅ γε τέλεος ἀριθμὸς χρόνου τὸν τέλεον ἐνιαυτὸν πληροῖ τότε, ὅταν ἁπασῶν τῶν ὀκτὼ περιόδων τὰ πρὸς ἄλληλα ξυμπερανθέντα τάχη σχῇ κεφαλὴν τῷ τοῦ ταὐτοῦ καὶ ὁμοίως ἰόντος ***) ἀναμετρηθέντα κύκλῳ. κατὰ ταῦτα δὴ καὶ τούτων ἕνεκα ἐγεννήθη τῶν ἄστρων ὅσα δι' οὐρανοῦ πορευόμενα ἔσχε τροπάς, ἵνα τόδ' ὡς ὁμοιότατον ᾖ τῷ τελεωτάτῳ †) * καὶ νοητῷ ζώῳ πρὸς τὴν τῆς E
διαιωνίας μίμησιν φύσεως.

Καὶ τὰ μὲν ἄλλα ἤδη ††) μέχρι χρόνου γενέσεως ἀπείργαστο εἰς ὁμοιότητα ᾧπερ ἀπεικάζετο, τῷ δὲ μήπω τὰ πάντα ζῶα ἐντὸς αὐτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἔστι †††) ζῶον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ * πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, 40
πεζὸν δὲ καὶ χερσαῖον τέταρτον. τοῦ μὲν οὖν θείου τὴν πλεί-

---

*) ἴσ. νῦν δή. **) γρ. ἐπικαταλάβοι — περιέλθοι. ***) ἴσ. ὄντος. †) ἄλλ. τελέῳ. ††) γρ. εἴδη. †††) ἄλλ. ὃ ὅσ,τι.

octo cursibus ferrentur, lumen deus accendit in secundo ad terram ambitu, quem quidem modo appellavimus solem, ut per universum luceret caelum numerique participes fierent animantes quibuscumque id conveniret, cognoscentes eum ab eiusdem similisque naturae motu. nox igitur et dies ad hunc modum et ob has generata caussas, unius et sapientissimi circuitus conversio; mensis autem, quando luna lustrato suo cursu solem consequuta est, et annus, ubi sol orbem suum peragravit. ceterorum autem siderum ambitus ignorantes homines praeter paucos de plurimis neque nomine appellant neque inter se numero commetiuntur: ut nesciant propemodum tempus esse horum errores, multitudine infinita, varietate admirabili praeditos. nihilo tamen minus perspici potest absoluto perfectoque numero temporis absolutum perfectumque annum compleri tum quum omnium octo orbium celeritates cursibus suis inter se confectis ad caput se retulerint, easque permensus sit eiusdem semperque sui similis naturae orbis. has igitur ob caussas nata sunt astra quaecumque per caelum penetrantia solstitia brumasque adepta sunt, ut hoc universum animanti perfectissimo et sub intelligentiam cadenti ad aeternitatis imitationem esset quam simillimum.

Iam ad reliqua quidem quod attinet usque ad temporis ortum effictum erat ad eius similitudinem quod exprimebatur, sed, quum nondum omnia animalia intra se procreata comprehenderet, ex ea parte adhuc dissimile erat. hoc autem quo deficiebatur universum effecit deus ad exemplaris exprimens naturam. quot igitur et quales animalium formas mens in eo quod vere est animante cernit, tales et totidem secum cogitavit etiam in hoc oportere universo inesse. sunt autem quattuor, quarum una caeleste deorum genus, altera pennigerum et aëreum, tertia aquatilis species, pedestris vero et terrestris quarta. ac divini quidem speciem maxime faciebat

στην ἰδέαν ἐκ πυρὸς ἀπειργάζετο *), ὅπως ὅτι λαμπρότατον ἰδεῖν τε κάλλιστον εἴη· τῷ δὲ παντὶ προςεικάζων εὔκυκλον ἐποίει, τίθησί τε εἰς τὴν τοῦ κρατίστου φρόνησιν **) ἐκείνῳ ξυνεπόμενον, νείμας περὶ πάντα κύκλῳ τὸν οὐρανόν, κόσμον ἀληθινὸν αὐτῷ ***) πεποικιλμένον εἶναι καθ' ὅλον. κινήσεις δὲ δύο προςῆψεν ἑκάστῳ, τὴν μὲν ἐν ταὐτῷ κατὰ ταὐτὰ περὶ τῶν αὐτῶν ἀεὶ τὰ αὐτὰ * ἑαυτῷ διανοουμένῳ, B τὴν δὲ εἰς τὸ πρόσθεν ὑπὸ τῆς ταὐτοῦ καὶ ὁμοίου περιφορᾶς κρατουμένῳ· τὰς δὲ πέντε κινήσεις ἀκίνητον καὶ ἑστός, ἵν' ὅτι μάλιστα αὐτῶν ἕκαστον γένοιτο ὡς ἄριστον. ἐξ ἧς δὴ τῆς αἰτίας γέγονεν ὅσ' ἀπλανῆ τῶν ἄστρων, ζῶα θεῖα ὄντα, καὶ διὰ †) ταὐτὰ ἐν ταὐτῷ στρεφόμενα ἀεὶ μένει· τὰ δὲ τρεπόμενα καὶ πλάνην τοιαύτην ἴσχοντα, καθάπερ ἐν τοῖς πρόσθεν ἐῤῥήθη, κατ' ἐκεῖνα γέγονε. γῆν δέ, τροφὸν μὲν ἡμετέραν, εἱλουμένην ††) δὲ περὶ τὸν διὰ παντὸς πόλον τεταμένον, * φύλακα καὶ δημιουργὸν νυκτός τε καὶ ἡμέρας C ἐμηχανήσατο, πρώτην καὶ πρεσβυτάτην θεῶν ὅσοι ἐντὸς οὐρανοῦ γεγόνασι †††). χορείας δὲ τούτων αὐτῶν καὶ παραβολὰς ἀλλήλων, καὶ περὶ τὰς (*) τῶν κύκλων πρὸς ἑαυτοὺς ἐπανακυκλήσεις καὶ προςχωρήσεις (**), ἔν τε ταῖς ξυνάψεσιν ὁποῖοι τῶν θεῶν κατ' ἀλλήλους γιγνόμενοι καὶ ὅσοι καταντικρύ, μεθ' οὕςτινάς τε ἐπίπροσθεν (***) ἀλλήλοις ἡμῖν τε κατὰ χρόνους οὕςτινας ἕκαστοι κατακαλύπτονται καὶ πάλιν ἀναφαινόμενοι φόβους καὶ σημεῖα τῶν * μετὰ ταῦτα γενησομένων τοῖς δυναμένοις λογίζεσθαι πέμπουσι, τὸ λέγειν D ἄνευ διόψεως τούτων αὖ τῶν μιμημάτων μάταιος ἂν εἴη πόνος, ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτῃ καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως ἐχέτω τέλος.

Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὐτῶν προγόνους εἰδόσιν· ἀδύνατον οὖν θεῶν

*) ἄλλ. ἀπήρξατο. **) ἴσ. φορὰν ἢ περιφοράν. ***) ἴσ. ἐν αὐτῷ. †) ἄλλ. ὄντα καὶ ἀΐδια καὶ κατά. ἴσ. ὄντα, κατὰ ταὐτά. ††) ἴσ. ἰλλομένην. †††) γρ. σωμάτων ὅσα — γέγονε. (*) ἴσ. καὶ τάς. (**) ἴσ. προχωρήσεις. (***) ἴσ. τε καὶ ἐπίπροσθεν.

ex igne, ut quam splendidissimum esset et adspectu pulcherrimum. universitati autem simile efficiens ad volubilitatem rotundavit posuitque in optimi circuitu ut illi comitaretur, circum totum caelum aequaliter distribuens, ut verus mundus atque ornatus in eo esset omni distinctus varietate. motus autem duos adiunxit cuique, eum qui in eodem et eodem modo versatur, quia de eodem semper idem secum cogitat, et eum qui ante ingreditur, quia ab eiusdem et similis conversione superatur; quod ad reliquos quinque attinet, immotum et stans finxit divinum, ut quam optimum quodque esset, quam quidem ob caussam nata sunt ea sidera, quae inerrantia, quippe animantia divina, eodem modo in eodem volvuntur et perpetuo manent; quae autem vaga et mutabili ratione labuntur, ita generata sunt, ut supra diximus. iam vero terram, altricem nostram, constrictam circa axem per totum pertinentem, custodem et effectricem noctis et diei machinatus est, primam et antiquissimam deorum qui intra caelum generati sunt. horum autem ipsorum choreas mutuasque concursiones, et orbium ad semet ipsos conversiones et antecessiones, et in coniunctionibus qui dii prope copulentur, qui contraria regione, et pone quos aut ante labantur, quibusque temporibus inter se nobisque abscondantur rursusque emersi terrores et signa posthac eventurorum ad rationem subducendam valentibus obiiciant, si verbis explicare conemur nullo posito sub oculos simulacro earum rerum, frustra suscipiatur labor. sed haec satis sunt dicta nobis, quaeque de deorum qui cernuntur quique orti sunt natura praefati sumus habent hunc terminum.

Reliquorum autem quos Lares dicimus et enunciare et nosse ortum, maius est quam pro viribus nostris, credendum vero priscis illis testibus a diis oriundis, ut dicebant, qui certam sane generatorum suorum notitiam habuerunt; nec fieri omnino potest nullam ut fi-

παισὶν ἀπιστεῖν, καίπερ * ἄνευ τε εἰκότων καὶ ἀναγκαίων E
ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν
ἑπομένους τῷ νόμῳ πιστευτέον. οὕτως οὖν κατ' ἐκείνους
ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω.
Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέ-
σθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα ὅσοι μετὰ
τούτων, ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε * καὶ πάν- 41
τες ὅσους ἴσμεν πάντας ἀδελφοὺς *) λεγομένους αὐτῶν, ἔτι
τε τούτων ἄλλους ἐκγόνους.

Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ
ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν ἔσχον,
λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ
θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γε-
νόμενα ἄλυτα **) ἐμοῦ γ' ἐθέλοντος ***). τὸ μὲν οὖν δὴ δεθὲν
πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν * καὶ ἔχον εὖ λύειν B
ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν
οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι μὲν δὴ λυθήσεσθέ
γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μεί-
ζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ'
ἐγίγνεσθε ξυνεδεῖσθε. νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύ-
μενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα †).
τούτων οὖν μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ
ἅπαντα ἐν αὐτῷ γένη ζώων οὐχ ἕξει· δεῖ δέ, εἰ μέλλει
* τέλεος ἱκανῶς εἶναι· δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου C
μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε
πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ
τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν
περὶ τὴν ὑμῶν ††) γένεσιν. καὶ καθ' ὅσον †††) μὲν αὐτῶν
ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον ἡγε-
μονοῦν τ' ἐν αὐτοῖς, τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπε-

---

*) ἴσ. ἴσμεν ἀδελφούς.
**) ἴσ. ἔργων, ἄλυτα.
***) ἴσ. ἐμοῦ μὴ ἐθέλοντος.
†) γρ. τρία γεννητά.
††) ἄλλ. ὑμετέραν.
†††) ἴσ. καὶ ὅσον.

dem a diis ortis tribuamus, quamquam nec probabilibus rationibus nec necessariis argumentis eorum oratio confirmatur, sed, quia de suis propriis rebus prae se ferunt renunciare, legi obtemperantes fidem nos habere oportet. sic igitur, ut ab iis traditum est, horum deorum ortus se habeat atque dicatur. Terrae Caelique liberi sunt Oceanus et Tethys, horum Phorcys, Saturnus et Rhea et quicumque cum his, e Saturno et Rhea nati sunt Iuppiter, Iuno omnesque quos scimus eorum fratres appellari, aliosque praeterea ab his oriundos.

Quum igitur omnes qui palam volvuntur in caelo et qui eatenus in conspectum se dant quoad ipsi volunt dii, creati essent, is qui hocce universum genuit haec ad eos fatur: Dii a diis orti: quorum ego operum effector parensque, haec sunt indissolubilia me invito. etenim omne quidem colligatum est dissolubile, praeclare tamen compositum beneque constitutum velle dissolvere haudquaquam boni est. quapropter vos quoque, quoniam orti estis, immortales quidem non estis neque indissolubiles funditus, neutiquam tamen dissolvemini neque mortis fata vobis obtingent, quippe voluntatem meam maius etiam vinculum atque valentius nactis quam illa quibus estis tum quum gignebamini colligati. nunc igitur quid dicam vobis ac declarem percipite. mortalia adhuc genera reliqua sunt tria nondum creata, quibus non generatis caelum non erit perfectum; omnia enim genera animalium complexum non tenebit; teneat autem oportet, si satis futurum est absolutum et perfectum; a me autem haec effecta vitamque adepta deos aequiparabunt. ut igitur mortalia generentur et haecce universitas vere sit universa, convertite vos ex ipsa naturae ratione ad animantium confectionem, imitantes vim meam qua in vestro ortu usus sum. et quodcumque eorum immortalium quasi gentile esse debet, ut divinum appelletur teneatque animantium principatum, quippe ex illorum numero qui semper iustitiae ac vobis

σθαι, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω· τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ * θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῶα καὶ γεννᾶτε τροφήν τε διδόντες αὐξάνετε καὶ φθίνοντα πάλιν δέχεσθε. D

Ταῦτ' εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυστήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ * ἐμβιβάσας E
ὡς εἰς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ, δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνων *) φῦναι ζώων **) τὸ θεοσεβέστατον, διπλῆς δὲ οὔσης * τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον εἴη γένος 42
τοιοῦτον, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν προσίοι, τὸ δ' ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ ***) βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα * ἐναντίως πέφυκε διεστηκότα †)· ὧν εἰ μὲν κρατήσειαν, ἐν B
δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἕξοι, σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ ††)· * μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον C
ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἴς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ †††) θήρειον (*) φύσιν, ἀλ-

---

*) ἄλλ. χρόνου. **) γρ. ζῶον. ***) γρ. ἐκεῖ. †) γρ. διεστῶτα. ††) γρ. μεταβάλλοι. χιλιοστῷ δὲ ἔτει ἀμφότεραι ἀφικνούμεναι ἐπὶ κλήρωσιν καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ βίον ἑκάστη· ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται. †††) γρ. μεταβαλεῖ. (*) γρ. θηρίου.

voluerint parere, eius fatum et initium ego tradam; ceterum vos, immortali mortale attexentes, fingite animantia et generate alimentumque praebentes augete et consumpta recipite.

Haec dixit, et rursus in priorem craterem, in quo universi animum temperans permiscuerat, superioris permixtionis reliquias infudit temperans eas eodem ferme modo, neque tamen iam incorruptas pariter, sed secundas et tertias. universitate autem constituta sideribus parem numerum distribuit animorum et singulos adduxit ad singula et imponens quasi in currum universi naturam commonstravit legesque eis dixit fatales ostendens ortum primum fore statutum unum omnibus, ne quis deteriore esset statu, satis autem et quasi sparsis animis in temporum instrumenta cuique convenientia oriri necesse esse animantium religiosissimum, et quum duplex esset humana natura, praestantius fore eorum genus qui posthac nomen inventuri essent virorum. quum autem corporibus cum necessitate insiti fuerint, altero accedente, altero effluente ex eorum corpore, primum necesse fore ut sensus unus omnibus e vehementioribus motibus naturae coniunctus exsisteret, deinde voluptate et dolore mixtus amor, post metus et ira et reliqui animi motus comites superiorum et his etiam contrarie dissidentes, quos qui ratione rexerit, eum iuste esse victurum, qui autem his se dederit, iniuste. atque eum qui recte et honeste curriculum vivendi a natura datum confecisset, rursus in astri quocum aptus fuerit domicilium profectum vitam esse beatam acturum, ab hoc autem qui deflexisset eum in muliebrem naturam secundo ortu translatum iri et, si ne tum quidem finem vitiorum facturus esset, prout corruptus fuisset, ita ad morum similitudinem ingeneratorum in huiusmodi semper ferarum naturam migraturum esse, sese-

λάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπόμενος *) τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος * καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα, λόγῳ κρατήσας D εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα **) εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς γῆν ***), τοὺς δ' εἰς σελήνην, τοὺς δ' εἰς τἆλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τό τε ἐπίλοιπον ὅσον ἔτ' ἦν †) ψυχῆς * ἀν- E θρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ' ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασαμένους ἄρχειν, καὶ κατὰ δύναμιν ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῶον, ὅ τι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον.

Καὶ ὁ μὲν δὴ ἅπαντα ταῦτα διατάξας ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει, μένοντος δὲ νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς τάξιν ἐπείθοντο αὐτῇ. καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζώου, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια ὡς ἀποδοθησόμενα * πάλιν, εἰς ταὐτὸ 43 τὰ λαμβανόμενα ††) ξυνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες, ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σῶμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον. αἱ δὲ εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν οὔτ' ἐκράτουν οὔτ' ἐκρατοῦντο, βίᾳ δ' ἐφέροντο καὶ ἔφερον, ὥστε * τὸ μὲν ὅλον κινεῖσθαι ζῶον, ἀτάκτως B μὴν ὅπῃ τύχοι προϊέναι καὶ ἀλόγως, τὰς ἓξ ἁπάσας κινήσεις ἔχον· εἴς τε γὰρ τὸ πρόσθεν καὶ ὄπισθεν καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερὰ κάτω τε καὶ ἄνω καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους †††) πλανώμενα προῄειν. πολλοῦ γὰρ ὄντος τοῦ κατακλύζοντος καὶ ἀποῤῥέοντος κύματος, ὃ τὴν τροφὴν

*) γρ. ξυνεπισπώμενος. **) γρ. τοῖς ἔπειτα.
***) γρ. ἥλιον. †) γρ. ἐστι. ††) γρ. λαμβανόμενα.
†††) ἴσ. τρόπους.

que convertentem non prius malorum terminum esse adspecturum, quam eiusdem et similis circuitum in se ipse sequutus copiam ingentem seriusque adnatam ex igne, aqua, aëre atque terra, turbulentam et rationis expertem, ratione superasset et ad primi optimique habitus speciem pervenisset. Quae quidem omnia quum eis designasset, ne posterae cuiusque pravitatis culpam sustineret, alios sparsit in terram, alios in lunam, alios in reliqua quotquot sunt temporis instrumenta. post sationem autem recentioribus mandavit diis ut corpora effingerent mortalia, quantumque esset reliquum ex animo humano quod deberet accedere id omniaque his consequentia conficerent atque regerent, et quam possent pulcherrime et optime mortale gubernarent animal, nisi quatenus sua ipsum culpa mala sibi quaereret.

Atque is quidem qui cuncta haec composuit in solito suo manebat statu, hoc autem manente ab eo procreati, quum parentis ordinem cognovissent, hunc sequebantur. itaque quum accepissent immortale principium mortalis animantis, imitantes effectorem sui, particulas ignis et terrae et aquae et aëris a mundo quas rursus redderent mutuabantur easque inter se conglutinabant, haud indissolubilibus quibus ipsi erant colligati vinculis, sed talibus quae cerni non possent propter parvitatem, crebris cuneolis ita conflantes ut unum ex omnibus quodque corpus efficerent, immortalis animi ambitus in corpus illigabant rebus influentibus et effluentibus agitatum. illi vero in flumen immersi magnum neque superabant neque superabantur, sed vi magna tum ferebantur tum ferebant: ita totum animal movebatur illud quidem, sed immoderate quocumque fors ferebat et sine ratione, omnes sex motus habens; nam et ante et pone, ad dextram et ad laevam, et sursum et deorsum omnesque in partes sex illis modis vagantia procedebant. quamvis enim largus esset fluctus inundans et effluens, qui alimentum

παρεῖχεν, ἔτι μείζω θόρυβον ἀπειργάζετο τὰ τῶν προσπι-
πτόντων παθήματα ἑκάστοις, * ὅτε πυρὶ προσκρούσειε τὸ C
σῶμά τινος ἔξωθεν ἀλλοτρίῳ περιτυχὸν ἢ καὶ στερεῷ γῆς
ὑγροῖς τε ὀλισθήμασιν ὑδάτων, εἴτε ζάλῃ πνευμάτων ὑπ'
ἀέρος φερομένων καταληφθείη, καὶ ὑπὸ πάντων τούτων διὰ
τοῦ σώματος αἱ κινήσεις ἐπὶ τὴν ψυχὴν φερόμεναι προσπί-
πτοιεν· αἳ δὴ καὶ ἔπειτα διὰ ταῦτα ἐκλήθησάν τε καὶ νῦν
ἔτι αἰσθήσεις ξυνάπασαι κέκληνται. καὶ δὴ καὶ τότε ἐν τῷ
παρόντι πλείστην καὶ μεγίστην παρεχόμεναι κίνησιν, μετὰ
τοῦ ῥέοντος ἐνδελεχῶς * ὀχετοῦ κινοῦσαι καὶ σφοδρῶς σείου- D
σαι τὰς τῆς ψυχῆς περιόδους, τὴν μὲν ταὐτοῦ παντάπασιν
ἐπέδησαν ἐναντία αὐτῇ ῥέουσαι, καὶ ἐπέσχον ἄρχουσαν καὶ
ἰοῦσαν, τὴν δ' αὖ θατέρου διέσεισαν, ὥστε τὰς τοῦ διπλα-
σίου καὶ τριπλασίου τρεῖς ἑκατέρας ἀποστάσεις καὶ τὰς τῶν
ἡμιολίων καὶ ἐπιτρίτων καὶ ἐπογδόων μεσότητας καὶ ξυνδέ-
σεις, ἐπειδὴ παντελῶς λυταὶ οὐκ ἦσαν πλὴν *) ὑπὸ τοῦ
ξυνδήσαντος, πάσας μὲν στρέψαι στροφάς, πάσας δὲ κλά-
σεις καὶ * διαφορὰς τῶν κύκλων ἐμποιεῖν, ὁσαχῆπερ ἦν E
δυνατόν, ὥστε μετ' ἀλλήλων μόγις ξυνεχομένας φέρεσθαι
μέν, ἀλόγως δὲ φέρεσθαι, τοτὲ μὲν ἐναντίας, τοτὲ δὲ πλα-
γίας, τοτὲ δ' ὑπτίας, οἷον ὅταν τις ὕπτιος ἐρείσας τὴν κε-
φαλὴν μὲν ἐπὶ γῆς, τοὺς δὲ πόδας ἄνω προσβαλὼν ἔχῃ πρός
τινι, τότε ἐν τούτῳ τῷ πάθει τοῦ τε πάσχοντος καὶ τῶν
ὁρώντων τά τε δεξιὰ ἀριστερὰ καὶ τὰ ἀριστερὰ δεξιὰ ἑκατέ-
ροις τὰ ἑκατέρων φαντάζεται. ταὐτὸν δὴ τοῦτο καὶ τοιαῦτα
ἕτερα αἱ περιφοραὶ πάσχουσαι σφοδρῶς, * ὅταν γέ τῳ τῶν 44
ἔξωθεν τοῦ ταὐτοῦ γένους ἢ τοῦ θατέρου περιτύχωσι, τότε
ταὐτόν τῳ καὶ θάτερόν του τἀναντία τῶν ἀληθῶν προσαγο-
ρεύουσαι ψευδεῖς καὶ ἀνόητοι γεγόνασιν, οὐδεμία τε ἐν αὐ-
ταῖς τότε περίοδος ἄρχουσα οὐδ' ἡγεμών ἐστιν· ἂν δ' αὖ
ἔξωθεν αἰσθήσεις τινὲς φερόμεναι καὶ προσπεσοῦσαι ξυνε-
πισπάσωνται καὶ τὸ τῆς ψυχῆς ἅπαν κύτος, τόθ' αὗται κρα-
τούμεναι κρατεῖν δοκοῦσι. καὶ διὰ πάντα ταῦτα **) τὰ πά-

---

*) γρ. αὗται οὐκ ἦσαν καὶ πρίν.
**) ἀλλ. καὶ διὰ δὴ ταῦτα πάντα.

praebebat, etiam maiores tamen turbas efficiebant motus rebus in quemque incidentibus allati, quotiescumque alicuius corpus in ignem incurreret alienum extrinsecus ad eum offendens vel etiam ad terram rigidam lubricosque aquarum lapsus, vel si ventorum ab aëre commotorum tempestas id deprehenderet, et ab his omnibus motiones per corpus ad animum delatae ingruerent, qui quidem etiam tunc iccirco nominati sunt et nunc adhuc nominantur sensus in universum. atque etiam tunc plurimum in praesens et maximum motum excitantia, cum rivo continenter fluente moventia et vehementer concutientia animi circuitus, eiusdem quidem circuitum prorsus impediverunt contra eum fluentia, et cohibuerunt regentem ac progredientem, alterius autem circuitum ita concusserunt, ut dupli et tripli tria utriusque intervalla et sesquialterorum, sesquitertiorum sesquioctavorumque media et colligationes, quae dissolvi prorsus non poterant nisi ab eo qui eas coniunxerat, omnibus flexibus flecterentur omnesque fractiones et discrepantias orbium inducerent quotiescumque fieri posset, ita ut inter se vix colligata ferrentur quidem, sed sine ratione ferrentur, modo contraria, modo obliqua, modo supina, velut si quis resupinus caput in terram imponat, pedes autem sursum alicui rei admoveat, tum in hoc statu tam eius qui sic se habet quam eorum qui illum vident dextrae partes sinistrae et sinistrae dextrae utrisque utrorumque videntur. eodem igitur modo aliisque similibus circuitus vehementer affecti, quum in rem aliquam externam eiusdem aut alterius generis incidunt, tum id quod idem cum aliquo et quod alterum ac diversum est contra ac vere se habent appellantes falsi et insipientes exsistunt, nec ullus in ipsis tum circuitus est regens ac ducens; rursus vero quum sensus quidam extrinsecus illati et incidentes totum quoque animi complexum secum trahunt, tum hi superati videntur superare. atque propter omnes has affectiones nunc primo quidem

θη *) νῦν κατ' ἀρχὰς ἄνους ψυχὴ γίγνεται τὸ πρῶτον,
* ὅταν εἰς σῶμα ἐνδεθῇ θνητόν **)· ὅταν δὲ τὸ τῆς αὔξης B
καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα, πάλιν δὲ αἱ περίοδοι λαμ-
βανόμεναι γαλήνης τὴν ἑαυτῶν ὁδὸν ἴωσι καὶ καθιστῶνται
μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ κατὰ φύσιν
ἰόντων σχῆμα ἑκάστων τῶν κύκλων αἱ περιφοραὶ κατευθυ-
νόμεναι, τό τε θάτερον καὶ τὸ ταὐτὸν προσαγορεύουσαι κατ'
ὀρθόν, ἔμφρονα τὸν ἔχοντα αὐτὰς γιγνόμενον ἀποτελοῦσιν.
ἂν μὲν οὖν δὴ καὶ ξυνεπιλαμβάνηταί τις ὀρθὴ τροφὴ * παι-
δεύσεως, ὁλόκληρος ὑγιής τε παντελῶς, τὴν μεγίστην ἀπο-
φυγὼν νόσον, γίγνεται, καταμελήσας δέ, χωλὴν τοῦ βίου
διαπορευθεὶς ζωήν, ἀτελὴς καὶ ἀνόνητος ***) εἰς Ἅιδου πάλιν
ἔρχεται. ταῦτα μὲν οὖν ὕστερά ποτε γίγνεται· περὶ δὲ τῶν
νῦν προτεθέντων δεῖ διελθεῖν ἀκριβέστερον· τὰ δὲ πρὸ τού-
των, περὶ σωμάτων κατὰ μέρη τῆς γενέσεως καὶ περὶ ψυ-
χῆς, δι' ἅς τε αἰτίας καὶ προνοίας γέγονε θεῶν, τοῦ μά-
λιστα εἰκότος ἀντεχομένοις, οὕτω καὶ κατὰ ταῦτα * πορευο- D
μένοις διεξιτέον.

Τὰς μὲν οὖν †) θείας περιόδους δύο οὔσας, τὸ τοῦ
παντὸς σχῆμα ἀπομιμησάμενοι περιφερὲς ὄν, εἰς σφαιροειδὲς
σῶμα ἐνέδησαν, τοῦτο ὃ δὴ νῦν κεφαλὴν ἐπονομάζομεν, ὃ
θειότατόν τ' ἐστὶ καὶ τῶν ἐν ἡμῖν πάντων δεσποτοῦν· ᾧ
καὶ πᾶν τὸ σῶμα παρέδοσαν ὑπηρεσίαν αὐτῷ ξυναθροίσαν-
τες θεοί, κατανοήσαντες ὅτι πασῶν ὅσαι κινήσεις ἔσοιντο
μετέχοι· ἵν' οὖν μὴ κυλινδούμενον ἐπὶ γῆς ὕψη τε καὶ βά-
θη παντοδαπὰ ἐχούσης ἀποροῖ τὰ * μὲν ὑπερβαίνειν, ἔνθεν E
δὲ ἐκβαίνειν, ὄχημ' αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν. ὅθεν
δὴ μῆκος τὸ σῶμα ἔσχεν, ἐκτατά τε κῶλα καὶ καμπτὰ ††)
ἔφυσε τέτταρα, θεοῦ μηχανησαμένου πορεία †††), οἷς (*) ἀν-
τιλαμβανόμενον καὶ ἀπερειδόμενον διὰ πάντων τόπων πο-
ρεύεσθαι δυνατὸν γέγονε, τὴν τοῦ θειοτάτου * καὶ ἱερω- 45
τάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. σκέλη μὲν οὖν χεῖρές
τε ταύτῃ καὶ διὰ ταῦτα πᾶσι προσέφυ· τοῦ δ' ὄπισθεν τὸ

---

*) ἄλλ. παθήματα. **) γρ. ὅταν σώματι — θνητῷ. ***) ἴσ. ἀνόητος. †) ἄλλ. μὲν δή. ††) γρ. καμπά. †††) γρ. πορείαν. (*) ἴσ. ὧν.

initio insipiens est animus, quum in corpus illigatur mortale; quando vero incrementi et alimenti minor accedit fluxio rursusque circuitus tranquillitatem nacti sua via eunt et restituuntur magis procedente tempore, tum iam ad naturalem pervenientibus habitum orbibus quibusque circuitus directi, alterum et idem recte appellantes, mentis compotem eum qui ipsos habet efficiunt. iam si opem etiam tulerit recte instituta educatio, integer sanusque prorsus, maximo evitato morbo, exsistit, hanc vero si neglexerit, manca traducta vita, imperfectus ad inferos rursus discesserit. atque illa quidem posterius aliquando fient; de his autem quae nunc proposita sunt exponi oportet accuratius; et ante de corporis partium ortu et de animo, quibus de causis et quanam deorum providentia facta sint, ita et in eam partem disserendum, ut veri simillimum sequamur.

Ac divinos quidem circuitus qui duo sunt, universi figuram imitantes globosam, in corpus orbiculatum illigarunt, id quod nunc caput nominamus, quod quidem divinissimum est omniumque quae in nobis sunt dominator. huic etiam totum corpus tradiderunt adminiculum ei coacervantes dii, intelligentes omnium quotquot futuri essent motuum illud fore compos; ne igitur quum super terram volveretur eminentia et profunda habentem varia laboraret quomodo illa transgrederetur, hinc vero egrederetur, vehiculum ei hoc atque copiam dederunt. quocirca proceritatem corpus nactum est et extensa membra atque flexibilia generavit quattuor, deo machinante vehicula, quae apprehendens quibusque innitens per omnia loca proficisci posset, divinissimae et sanctissimae nostri partis domicilium supra ferens. crura igitur et manus ita et hanc ob causam omnibus adnata sunt; posteriore vero parte anteriorem

πρόσθεν τιμιώτερον καὶ ἀρχικώτερον νομίζοντες θεοὶ ταύτῃ
τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν. ἔδει δὴ *) διωρισμένον
ἔχειν καὶ ἀνόμοιον τοῦ σώματος τὸ πρόσθεν ἄνθρωπον. διὸ
πρῶτον μὲν περὶ τὸ τῆς κεφαλῆς κύτος, ὑποθέντες αὐτόσε
τὸ πρόςωπον, ὄργανα ἐνέδησαν τούτῳ πάσῃ τῇ τῆς ψυχῆς
προνοίᾳ, * καὶ διετάξαντο μέτοχον ἡγεμονίας τοῦτ᾽ εἶναι τὸ B
κατὰ φύσιν πρόσθεν. τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα
ξυνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ. τοῦ πυ-
ρὸς ὅσον τὸ μὲν κάειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον,
οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ
γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν
διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν ὅλον μὲν, μάλιστα
δὲ τὸ μέσον ξυμπιλήσαντες * τῶν ὀμμάτων, ὥςτε τὸ μὲν C
ἄλλο ὅσον παχύτερον στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον
αὐτὸ καθαρὸν διηθεῖν. ὅταν οὖν μεθημερινὸν **) ᾖ φῶς
περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότε ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον,
ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέστη κατὰ τὴν
τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃπερ ἂν ἀντερείδῃ τὸ προςπῖ-
πτον ἔνδοθεν πρὸς ὃ τὸ ἔξω ***) ξυνέπεσεν. ὁμοιοπαθὲς δὴ
δι᾽ ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφά-
πτηται καὶ ὃ ἂν * ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις δια- D
διδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέ-
σχετο ταύτην, ᾗ δὴ ὁρᾷν φαμέν. ἀπελθόντος δὲ εἰς νύκτα
τοῦ ξυγγενοῦς πυρὸς ἀποτέτμηται· πρὸς γὰρ ἀνόμοιον ἐξιὸν
ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ
πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. παύεταί τε
οὖν ὁρῶν, ἔτι τε ἐπαγωγὸν γίγνεται ὕπνου· σωτηρίαν γὰρ
ἣν οἱ θεοὶ τῆς ὄψεως ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων
* φύσιν, ὅταν ταῦτα ξυμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς E
ἐντὸς †) δύναμιν· ἡ δὲ διαχεῖ ††) τε καὶ ὁμαλύνει τὰς ἐν-
τὸς κινήσεις, ὁμαλυνθεισῶν δὲ ἡσυχία γίγνεται, γενομένης
δὲ πολλῆς μὲν ἡσυχίας βραχυόνειρος ὕπνος ἐμπίπτει, κατα-
λειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἵοις ἂν

*) ἴσ. δὲ. **) γρ. μεσημερινὸν. ***) ἄλλ. πρὸς ὃ τῶν ἔξω. ἴσ. πρὸς τὸ ἔξω ὅ. †) γρ. ἔνδον. ἴσ. τοῦ ἐντός. ††) γρ. διαχεῖται.

dii praestantiorem magisque ad imperandum idoneam existimantes ita maxime ingressum nobis dederunt. oportebat autem distinctam habere atque dissimilem anteriorem corporis partem hominem. quocirca primum in capitis complexum, cui faciem subiecerunt, instrumenta illigarunt quae universae animi providentiae servirent, et constituerunt ut particeps esset principatus haec pars, natura anterior. ex instrumentis autem primum luciferos fabricati sunt oculos, hanc ob causam illigantes, ignis eius qui non ureret, sed mitem praeberet lucem, cuiusque diei propriam, corpus ut exsisteret effecerunt. nostrum enim interiorem ignem sincerum, huic cognatum, per oculos fluentem fecerunt lenem et densum, maxime media oculi parte compacta, ut reliquum quidem crassiorem contineret omnem, hunc autem solum purum transfunderet. quum igitur diurna lux visus fluxionem circumdat, tum simile ad simile emanans compactione unum corpus coniunctum conflatur secundum oculorum directionem, ubicumque concurrunt inter se id quod intus incidit et externum quod affluit. similiter igitur propter similitudinem quia totum afficitur, eorum quae ipsum umquam attingit vel quae illud attingunt motus transfundens in universum corpus usque ad animum sensum exhibet eum quo cernere nos dicimus. ubi vero ignis cognatus discessit in noctem, intercluditur; nam ad dissimile egrediens mutatur ipsum atque exstinguitur, quum nulla iam cognatione aërem propinquum attingat quippe ignis expertem. definit igitur cernere somnumque praeterea allicit; salutem enim quam dii oculorum machinati sunt, palpebrarum naturam, quum hae se contrahunt, vim includunt ignis interioris; haec autem diffundit sedatque interiores motus, quibus quidem sedatis tranquillitas exsistit, et hac multa orta somnus incidit non multum agitatus insomniis, relictis vero quibusdam motibus maioribus, quales quali-

τόποις λείπωνται, * τοιαῦτα καὶ τοσαῦτα παρέσχοντο ἀφο- 46
μοιωθέντα ἐντὸς ἔξω τε ἐγερθεῖσιν ἀπομνημονευόμενα φαν-
τάσματα. τὸ δὲ περὶ τὴν τῶν κατόπτρων εἰδωλοποιΐαν, καὶ
πάντα ὅσα ἐμφανῆ καὶ λεῖα, κατιδεῖν οὐδὲν ἔτι χαλεπόν· ἐκ
γὰρ τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις,
ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολ-
λαχῇ μεταῤῥυθμισθέντος †), πάντα τὰ τοιαῦτα * ἐξ ἀνάγ- B
κης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν
ὄψιν πυρὶ περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγοῦς γιγνομέ-
νου ††). δεξιὰ δὲ φαντάζεται τὰ ἀριστερά, ὅτι τοῖς ἐναν-
τίοις μέρεσι τῆς ὄψεως περὶ τἀναντία μέρη γίγνεται ἐπαφὴ
παρὰ τὸ καθεστὸς ἔθος τῆς προσβολῆς· δεξιὰ δὲ τὰ δεξιὰ
καὶ τὰ ἀριστερὰ ἀριστερὰ τοὐναντίον, ὅταν μεταπέσῃ ξυμ-
πηγνύμενον ᾧ ξυμπήγνυται * φῶς· τοῦτο δέ, ὅταν ἡ τῶν C
κατόπτρων λειότης, ἔνθεν καὶ ἔνθεν ὕψη λαβοῦσα, τὸ δεξιὸν
εἰς τὸ ἀριστερὸν μέρος ἀπώσῃ τῆς ὄψεως καὶ θάτερον ἐπὶ
θάτερον. κατὰ δὲ τὸ μῆκος στραφὲν τοῦ προσώπου ταὐτὸν
τοῦτο ὕπτιον ἐποίησε πᾶν φαίνεσθαι, τὸ κάτω πρὸς τὸ ἄνω
τῆς αὐγῆς τό τ' ἄνω πρὸς τὸ κάτω πάλιν ἀπῶσαν. ταῦτ'
οὖν πάντ' ἔστι τῶν ξυναιτίων, οἷς θεὸς ὑπηρετοῦσι χρῆται
τὴν τοῦ ἀρίστου κατὰ τὸ δυνατὸν ἰδέαν ἀποτελῶν· * δοξά- D
ζεται δὲ ὑπὸ τῶν πλείστων οὐ ξυναίτια, ἀλλ' αἴτια εἶναι
τῶν πάντων, ψύχοντα καὶ θερμαίνοντα, πηγνύντα τε καὶ
διαχέοντα καὶ ὅσα τοιαῦτα ἀπεργαζόμενα. λόγον δὲ οὐδένα
οὐδὲ νοῦν εἰς οὐδὲν δυνατὰ ἔχειν ἐστί· τῶν γὰρ ὄντων ᾧ
νοῦν μόνῳ κτᾶσθαι προσήκει, λεκτέον ψυχήν· τοῦτο δὲ ἀό-
ρατον, πῦρ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ γῆ σώματα πάντα
ὁρατὰ γέγονε. τὸν δὲ νοῦ καὶ ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς
τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν, ὅσαι δὲ ὑπ'
ἄλλων * μὲν κινουμένων, ἕτερα δ' ἐξ ἀνάγκης κινούντων E
γίγνονται, δευτέρας. ποιητέον δὴ κατὰ ταῦτα καὶ ἡμῖν· λε-
κτέα †††) μὲν ἀμφότερα τὰ τῶν αἰτιῶν γένη, χωρὶς δ' ὅσαι

†) γρ. μεταῤῥυθμηθέντος.
††) γρ. ξυμπαγεῖ γιγνομένῳ.
†††) γρ. δευτέρας ποιητέον. καὶ δὴ κατὰ ταῦτα καὶ ἡμῖν λεκτέα.

busque in locis relinquuntur, talia totque edunt ad similitudinem efficta intus extraque experrectis in memoriam revocata visa. quod vero ad imagines attinet quae in speculis finguntur omniaque quae lucida et levia sunt, haec perspicere nihil iam habet difficultatis; nam ex interiore et exteriore ignis utriusque inter se communitate, uno praeterea circum levitatem semper exsistente omnibusque partibus accommodato, omnia haec cum necessitate sese exhibent, dum ignis qui circum faciem est cum oculorum igne circum leve et lucidum se confundit. dextra autem videntur quae laeva sunt, quia contrariis partibus oculorum circum contrarias partes fit tactio praeter solitum admotionis morem; dextra contra videntur quae dextra sunt et quae laeva sunt laeva, quum convertitur lumen coalescens cum eo cum quo coalescit; id fit, quum speculorum levitas, hinc illincque altitudinem nacta, dextrum detrudit in laevam partem oculorum et alterum in alteram. secundum longitudinem vero faciei conversum idem hoc ut resupinum totum videatur efficit, inferius in superiorem oculorum partem et superius in inferiorem rursus detrudens. atque haec omnia ex eo genere sunt quae rerum adiuvant causas, quibus deus ministris utitur optimi speciem quoad fieri potest effecturus; sed existimant plerique non haec adiuvantia esse causas, sed causas ipsas omnium rerum, quae vim habeant frigoris et caloris, concretionis et liquoris et reliqua eiusdem generis efficiant. neque vero rationem neque ulla in re intelligentiam habere possunt; in quod enim solum ex omnibus quae sunt cadit ut rationem habeat, id animum dici oportet; hic autem sensum effugit oculorum, at ignis et aqua et aër et terra corpora sunt omnia sub adspectum cadentia. illum autem qui intelligentiae sapientiaeque se amatorem profitetur, necesse est intelligentis sapientisque naturae causas primas conquirere, deinde earum rerum quae ab aliis moventur et alia necessario movent causas secundas. quocirco nobis quoque ita faciendum, ut dicamus quidem de utroque causarum genere, sepa-

μετὰ νοῦ καλῶν καὶ ἀγαθῶν δημιουργοὶ καὶ ὅσαι μονωθεῖσαι φρονήσεως τὸ τυχὸν ἄτακτον ἑκάστοτε ἐξεργάζονται. τὰ μὲν οὖν τῶν ὀμμάτων ξυμμεταίτια πρὸς τὸ σχεῖν τὴν δύναμιν ἣν νῦν εἴληχεν, εἰρήσθω· τὸ δὲ μέγιστον αὐτῶν εἰς ὠφέλειαν ἔργον, δι᾽ ὃ θεὸς αὔθ᾽ ἡμῖν δεδώρηται, * μετὰ τοῦτο 47
ῥητέον. ὄψις δὴ κατὰ τὸν ἐμὸν λόγον αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν, ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἄν ποτε ἐρρήθη μήτε ἄστρα μήτε ἥλιον μήτ᾽ οὐρανὸν ἰδόντων. νῦν δ᾽ ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δὲ ἔννοιαν, περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν· ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ᾽ ἦλθεν * οὔθ᾽ ἥξει ποτὲ τῷ θνητῷ γένει B
δωρηθὲν ἐκ θεῶν. λέγω δὴ τοῦτο ὀμμάτων μέγιστον ἀγαθόν· τἆλλα δέ, ὅσα ἐλάττω, τί ἂν ὑμνοῖμεν; ὧν ὁ μὴ φιλόσοφος τυφλωθεὶς ὀδυρόμενος ἂν θρηνοῖ μάτην. ἀλλὰ τοῦτο λεγέσθω παρ᾽ ἡμῶν, αὐτὰ ἐπὶ ταύτῃ τῇ αἰτίᾳ*) θεὸν ἡμῖν ἀνευρεῖν δωρήσασθαί τε ὄψιν, ἵνα τὰς ἐν οὐρανῷ κατιδόντες τοῦ νοῦ περιόδους χρησαίμεθα ἐπὶ τὰς περιφορὰς τὰς τῆς * παρ᾽ C
ἡμῖν διανοήσεως, ξυγγενεῖς ἐκείναις οὔσας, ἀταράκτοις τεταραγμένας, ἐκμαθόντες δὲ καὶ λογισμῶν κατὰ φύσιν ὀρθότητος μετασχόντες, μιμούμενοι τὰς τοῦ θεοῦ πάντως ἀπλανεῖς οὔσας, τὰς ἐν ἡμῖν πεπλανημένας καταστησαίμεθα. Φωνῆς τε δὴ καὶ ἀκοῆς πέρι πάλιν ὁ αὐτὸς λόγος, ἐπὶ ταὐτὰ**) τῶν αὐτῶν ἕνεκα παρὰ θεῶν δεδωρῆσθαι. λόγος τε γὰρ ἐπ᾽ αὐτὰ ταῦτα τέτακται, μεγίστην ξυμβαλλόμενος εἰς αὐτὰ μοῖραν, ὅσον τ᾽ αὖ * μουσικῆς φωνῆς χρήσιμον, πρὸς D
ἀκοὴν ἕνεκα ἁρμονίας ἐστὶ δοθέν· ἡ δὲ ἁρμονία, ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ Μούσαις οὐκ ἐφ᾽ ἡδονὴν ἄλογον, καθάπερ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ᾽ ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς κατακόσμησιν καὶ ξυμ-

---

*) ἄλλ. αὕτη ἐπὶ ταῦτα αἰτία.

**) γρ. ταῦτα.

ratim vero de iis quae cum intelligentia pulchrorum ac bonorum ſunt effectrices et quae vacantes prudentia quodvis perturbatum efficiunt. ac de oculorum quidem cauſis adiuvantibus, ut haberent eam vim quam nunc habent dictum eſto; maxima autem eorum utilitas, ob quam deus eos nobis donavit, deinceps explicetur. oculi videlicet ex mea oratione maximae nobis utilitatis cauſae exſtiterunt, ſiquidem haec quae eſt habita de univerſitate oratio a nobis haud umquam eſſet inventa, ſi neque ſidera neque ſolem neque caelum vidiſſemus. nunc vero dies noctesque oculis cognitae et menſes annorumque converſiones numerum machinatae ſunt temporisque notionem, et univerſitatis naturae inveſtigationem praebuerunt; quibus ex rebus philoſophiam adepti ſumus, quo bono nullum praeſtantius neque datum eſt mortalium generi neque dabitur deorum munere. dico igitur hoc maximum oculorum bonum; reliqua vero quae minora quid celebremus? quibus qui a philoſophia alienus eſt, ſi orbatum ſe eſſe queratur fruſtra lamentetur. ſed hoc dictum eſto a nobis, eos hanc ob cauſam deum nobis inveniſſe viſumque donaſſe, ut intelligentiae in caelo converſiones cognoſceremus eisque uteremur ad mentis noſtrae circuitus, cognatos illis conſtantibus, ſed perturbatos, his vero perſpectis rectisque ſecundum naturam acceptis rationibus, imitantes dei converſiones prorſus errore vacuas noſtras errantes in ordinem adducamus. De voce autem et auditu eadem redit oratio, eundem in uſum easdemque ob cauſas a diis eſſe datos. oratio enim ad eadem haec conſtituta eſt, plurimum ad ea conferens, omnisque quae utilitatem habet vox muſica, ad auditum harmoniae cauſa eſt data; harmonia autem, cognatos habens motus noſtris animi converſionibus, ei qui cum intelligentia Muſis utitur non ad voluptatem a ratione averſam, quemadmodum nunc, videtur utilis eſſe, ſed ad circuitum animi in nobis qui inconcinnus exſtitit componendum ſecumque conſentientem reddendum

φωνίαν ἑαυτῇ ξύμμαχος ὑπὸ Μουσῶν δέδοται· καὶ ῥυθμὸς αὖ διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων ἐπιδεᾶ * γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν ἐπίκουρος ἐπὶ ταῦτα ὑπὸ τῶν αὐτῶν ἐδόθη. E

Τὰ μὲν οὖν παρεληλυθότα τῶν εἰρημένων, πλὴν βραχέων, ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. μεμιγμένη γὰρ οὖν ἡ * τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ 48 νοῦ ξυστάσεως ἐγεννήθη· νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ ταῦτά τε *) δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος οὕτω κατ' ἀρχὰς ξυνίστατο τόδε τὸ πᾶν. εἴ τις οὖν ᾗ γέγονε, κατὰ ταῦτα **) ὄντως ἐρεῖ, μικτέον καὶ τὸ τῆς πλανωμένης εἶδος αἰτίας, ᾗ***) φέρειν πέφυκεν. ὧδε οὖν πάλιν ἀναχωρητέον, καὶ λαβοῦσιν αὐτῶν τούτων * προςήκουσαν ἀρχὴν ἑτέραν αὖθις αὖ, καθάπερ περὶ τῶν τότε, νῦν οὕτω περὶ τούτων πάλιν ἀρκτέον ἀπ' ἀρχῆς. τὴν δὲ †) πρὸ τῆς οὐρανοῦ γενέσεως πυρὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν θεατέον αὐτὴν καὶ τὰ πρὸ τούτου πάθη. νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσι πῦρ ὅ τί ποτέ ἐστι καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντός, προςῆκον αὐτοῖς οὐδ' ὡς ἐν ξυλλαβῆς εἴδεσι μόνον εἰκότως * ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. νῦν δὲ οὖν τό γε παρ' ἡμῶν ὧδε ἐχέτω· τὴν μὲν περὶ ἁπάντων εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπῃ δοκεῖ τούτων πέρι, τὸ νῦν οὐ ῥητέον, δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. μήτ' οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτ' αὐτὸς αὖ πείθειν ἐμαυτὸν εἴην ἂν δυνατὸς ὡς ὀρθῶς ἐγχειροῖμ' ἂν τοσοῦτον ἐπιβαλλόμενος ἔργον. τὸ * δὲ κατ' ἀρχὰς ῥηθὲν διαφυλάττων, τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ' ἀρχῆς περὶ ἑκάστων καὶ ξυμπάντων λέγειν. θεὸν δὲ καὶ νῦν ἐπ' ἀρχῇ τῶν λεγομένων σωτῆρα ἐξ ἀτόπου καὶ ἀήθους

B (margin, at "προςήκουσαν") · C (margin, at "φρονοῦντος") · D (margin, at "ἀρχὰς")

---

*) γρ. ταὐτὰ δι'. **) γρ. ταὐτά.
***) γρ. οἷ. †) ἄλλ. δή.

auxiliaris a Musis data est; et numerus quoque propter immoderatum in nobis venustateque carentem in plerisque habitum adiutor ab eisdem datus est.

Iam praegressa nostra oratio, paucis exceptis, commonstravit ea quae mente effecta sunt; oportet autem etiam ea quae necessitate facta sunt oratione apponi. mixta videlicet huius mundi origo ex necessitatis et rationis coniunctione conflata est; ratio autem quum necessitatem regeret eique persuaderet ut maximam rerum quae gignerentur partem ad optimum adduceret, ita et hac ratione per necessitatem persuasioni sapienti subiectam initio constructum est hoc universum. si quis igitur quomodo factum sit ita vere dicturus est, admiscenda ei etiam causae species errantis, quo natura sua fert. ita iam nobis redeundum est, et aliud rursus his ipsis conveniens initium sumentes, quemadmodum de illis tunc, ita nunc de his rursus ab initio nos ordiri oportet. spectanda autem ante caeli ortum ipsa ignis et aquae et aëris et terrae natura eaque quae ante his evenerunt. nunc enim nemo adhuc eorum ortum indicavit, sed tamquam scientibus quid tandem ignis sit et quodque eorum dicimus principia elementa ipsa universitatis ponentes, quum ne cum syllabae quidem specie iure quis ea vel paullulum intelligens comparare possit. nunc igitur quod ad nos quidem attinet ita habeto: de rerum omnium principio vel principiis vel quomodo de his videtur, nunc non est dicendum, hanc solam ob causam quia difficile est ex praesente tractationis ratione declarare quae videntur. ne igitur vos arbitramini oportere me dicere, neque ego contra mihimet ipsi potuerim persuadere recte me aggredi ad tantum opus suscipiendum. id tamen quod initio dixi servans, orationum vim veri similium, conabor non minus, sed magis etiam quovis uno probabilia rursus ab initio de singulis et universis dicere. deum autem nunc quoque in orationis exordio servatorem quum invoca-

διηγήσεως πρὸς τὸ τῶν εἰκότων δόγμα διασώζειν ἡμᾶς
* ἐπικαλεσάμενοι πάλιν ἀρχώμεθα λέγειν. E
Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔστω μειζόνως
τῆς πρόσθεν διῃρημένη. τότε μὲν γὰρ δύο εἴδη διειλόμεθα,
νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον. τὰ μὲν γὰρ δύο
ἱκανὰ ἦν ἐπὶ τοῖς ἔμπροσθεν λεχθεῖσιν, ἓν μὲν ὡς παρα-
δείγματος εἶδος ὑποτεθέν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὄν,
μίμημα δὲ παραδείγματος * δεύτερον, γένεσιν ἔχον καὶ ὁρα- 49
τόν. τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο
ἕξειν ἱκανῶς, νῦν δὲ ὁ λόγος ἔοικεν εἰςαναγκάζειν χαλεπὸν
καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. τίνα οὖν
ἔχον δύναμιν καὶ *) φύσιν αὐτὸ ὑποληπτέον; τοιάνδε μάλι-
στα, πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτό, οἷον τιθήνην.
εἴρηται μὲν οὖν τἀληθές, δεῖ δ' ἐναργέστερον εἰπεῖν * περὶ B
αὐτοῦ· χαλεπὸν δὲ ἄλλως τε καὶ διότι προαπορηθῆναι περὶ
πυρὸς καὶ τῶν μετὰ πυρὸς ἀναγκαῖον. τούτου χάριν· τού-
των γὰρ εἰπεῖν ἕκαστον, ὁποῖον ὄντως ὕδωρ χρὴ λέγειν
μᾶλλον ἢ πῦρ καὶ ὁποῖον ὁτιοῦν μᾶλλον ἢ καὶ ἅπαντα
καθ' ἕκαστόν τε, οὕτως **) ὥςτε τινὶ πιστῷ καὶ βεβαίῳ ***)
χρήσασθαι λόγῳ, χαλεπόν. πῶς οὖν δὴ τοῦτ' αὐτὸ καὶ πῇ
καὶ τί περὶ αὐτῶν εἰκότως διαπορηθέντες ἂν λέγοιμεν †);
πρῶτον μὲν ὃ δὴ νῦν ††) ὕδωρ ὠνομάκαμεν, πηγνύμενον,
* ὡς δοκοῦμεν, λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμε- C
νον δ' αὖ καὶ διακρινόμενον ταὐτὸν τοῦτο πνεῦμα καὶ ἀέρα,
ξυγκαυθέντα δὲ τὸν ἀέρα καὶ πῦρ †††), ἀνάπαλιν δὲ ξυγ-
κριθὲν καὶ κατασβεσθὲν εἰς ἰδέαν τε ἀπιὸν αὖθις ἀέρος
πῦρ (*), καὶ πάλιν ἀέρα ξυνιόντα καὶ πυκνούμενον νέφος
καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον ξυμπιλουμένων ῥέον
ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε (**)
οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν * γένεσιν. D
οὕτω δὴ τούτων οὐδέποτε τῶν αὐτῶν ἑκάστων φανταζομέ-
νων, ποῖον αὐτῶν ὡς ὂν ὁτιοῦν τοῦτο καὶ οὐκ ἄλλο πα-

*) ἄλλ. κατὰ. **) ἴσ. ἅπαντα, καθ' ἕκαστόν τε οὕτως.
***) γρ. πιστῶς καὶ βεβαίως. †) γρ. λέγωμεν;
††) ἴσ. νῦν δή. †††) ἴσ. ξυγκαυθέντα δὲ ἀέρα πῦρ.
(*) ἴσ. ἀνάπαλιν δὲ πῦρ — εἰς ἰδέαν ἀπιόν.
(**) ἴσ. κύκλῳ γε.

verimus ut ex mirabili et insolita expositione ad probabiles opiniones salvos nos traducat, rursus incipiemus dicere.

Initium igitur huius de universo suspiciendae orationis a maiore ducatur distinctione quam superior erat. tunc enim duo genera distinximus, nunc autem tertium aliud genus nobis explicandum. etenim duo illa satis erant in superiore oratione, unum quidem pro exemplaris specie positum, sub intelligentiam cadens semperque eodem se habens modo, simulacrum vero exemplaris secundum, ortum habens et in cernendi cadens sensum. tertium autem tunc quidem non posuimus, arbitrantes duo illa fore satis, nunc vero oratio videtur cogere ut difficilem et obscuram speciem instituamus oratione patefacere. quam igitur vim et naturam eam habere existimari oportet? hanc maxime, ut omnis sit ortus receptaculum, quasi nutrix. et dictum quidem quod verum est, oportet tamen dilucidius de ea exponi; difficile vero praesertim quod prius dubitanter disserendum est de igne eisque quae cum igne coniuncta sunt illius causa; de horum enim quoque dicere, quidnam vere aquam oporteat nominari potius quam ignem et quidnam quidvis potius quam cuncta, idque de singulis ita ut certa stabilique utamur oratione, difficile. quomodo igitur hoc ipsum et quorsum et quid de eis iure dubitantes dicemus? primum quidem quod nunc aquam diximus, id concretum, ni fallimur, lapides et terram fieri conspicimus, liquefactum autem et dissolutum idem hoc ventum et aërem, exustum vero aërem ignem, contra ignem concretum et exstinctum in aëris speciem reverti, rursusque aërem coëuntem et densatum nubem et nebulam fieri, ex his etiam magis compactis fluentem aquam, ex aqua terram et lapides rursus, in orbem ita inter se, ut videtur, tradentia ortum. ita igitur quum haec numquam eadem sese exhibeant, quidnam eorum hoc qualecum-

γίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί γέ τις *) ἑαυτόν; οὐκ
ἔστιν, ἀλλ' ἀσφαλέστατον **) μακρῷ περὶ τούτων τιθεμένους
ὧδε λέγειν· ἀεὶ ὃ καθορῶμεν ἄλλοτε ἄλλῃ γιγνόμενον, ὡς
πῦρ, μὴ τοῦτο, ἀλλὰ τὸ τοιοῦτον ἑκάστοτε προσαγορεύειν
πῦρ, μηδὲ ὕδωρ τοῦτο, ἀλλὰ τοιοῦτον ἀεί, μηδὲ ἄλλο ποτὲ
μηδὲν ὥς τιν' ἔχον βεβαιότητα, * ὅσα δεικνύντες τῷ ῥή- E
ματι τῷ τόδε καὶ τοῦτο προσχρώμενοι δηλοῦν ἡγούμεθά τι·
φεύγει γὰρ οὐχ ὑπομένον τὴν τοῦ τόδε καὶ τὴν τούτου καὶ
τὴν τῷδε καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται
φάσις· ἀλλὰ ταῦτα μὲν ἕκαστα μὴ λέγειν, τὸ δὲ τοιοῦτον
ἀεὶ περιφερόμενον ὅμοιον ἑκάστου πέρι καὶ ξυμπάντων οὕτω
καλεῖν· καὶ δὴ καὶ πῦρ τὸ διὰ παντὸς τοιοῦτον, καὶ ἅπαν
ὅσονπερ ἂν ἔχῃ γένεσιν. ἐν ᾧ δὲ ἐγγιγνόμενα ἀεὶ ἕκαστα
αὐτῶν φαντάζεται καὶ πάλιν ἐκεῖθεν ἀπόλλυται, μόνον
* ἐκεῖνο αὖ προσαγορεύειν τῷ τε τοῦτο καὶ τῷ τόδε προσ- 50
χρωμένους ὀνόματι, τὸ δὲ ὁποιονοῦν τι, θερμὸν ἢ λευκὸν
ἢ καὶ ὁτιοῦν τῶν ἐναντίων, καὶ πάνθ' ὅσα ἐκ τούτων, μη-
δὲν ἐκεῖνο αὖ ***) τούτων καλεῖν. ἔτι δὲ σαφέστερον αὐτοῦ
πέρι προθυμητέον αὖθις εἰπεῖν. εἰ γὰρ πάντα τις σχήματα
πλάσας ἐκ χρυσοῦ μηδὲν μεταπλάττων παύοιτο ἕκαστα εἰς
ἅπαντα, δεικνύντος δή τινος αὐτῶν ἓν καὶ προσερομένου
τί ποτ' ἔστι, μακρῷ πρὸς ἀλήθειαν * ἀσφαλέστατον εἰπεῖν B
ὅτι χρυσός, τὸ δὲ τρίγωνον ὅσα τε ἄλλα σχήματα ἐνεγίγνε-
το, μηδέποτε λέγειν ταῦτα ὡς ὄντα, ἅ γε μεταξὺ τιθεμένου
μεταπίπτει, ἀλλ' ἐὰν ἄρα καὶ τὸ τοιοῦτον μετ' ἀσφαλείας
ἐθέλῃ δέχεσθαί τινος, ἀγαπᾶν. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ
τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν αὐτὴν ἀεὶ
προσρητέον· ἐκ γὰρ τῆς ἑαυτῆς τὸ παράπαν οὐκ ἐξίσταται
δυνάμεως. δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδε-
μίαν * ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ C
οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε
καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων· φαίνεται δὲ δι'
ἐκεῖνα ἄλλοτε ἀλλοῖον· τὰ δὲ εἰσιόντα καὶ ἐξιόντα τῶν ὄν-
των ἀεὶ μιμήματα, τυπωθέντα ἀπ' αὐτῶν τρόπον τινὰ δύσ-

*) γρ. αἰσχυνεῖ γε τις. **) γρ. ἀσφαλέστατον ἄν.
***) γρ. ἄν.

que esse, non aliud pro certo quis affirmaverit sine pudore? fieri non potest, sed tutissimum longe de his ita statuere et dicere, ut semper quod cernamus alias aliter fieri, ut ignem, non hoc nominemus, sed tale semper, ignem, neque aquam hanc dicamus, sed talem semper, neque aliquid aliud tamquam stabilitatem aliquam habens ex iis quae indicantes nos vocabulorum *hoc* et *istud* usu significare aliquid arbitramur; effugit enim non manens dictiones *hoc* et *huius* et *huic* omnesque quae ut stabilia illa significant; at *haec* quidem singula non oportet dici, sed tale semper quod huc et illuc feratur simile in singulis et universis usurpari; atque etiam ignem usquequaque talem, omniaque quaecumque ortum habent. in quo autem quaeque eorum nascentia sese exhibent rursusque illinc evanescunt, hoc solum afficiendum est nominibus *hoc* et *istud*, quod vero tale quid qualecumque est, calidum vel album vel quidvis contrariorum omniaque quaecumque ex his proficiscuntur, horum nihil ita appellandum. etiam dilucidius de hoc conandum est exponere. si quis enim omnes fingens formas ex auro nihil desinat quamque in omnes transformare, et ostendat aliquis unam earum interrogetque quid tandem sit, longe ad veritatem tutissimum sit dicere, aurum esse, triangulum vero et quaecumque aliae formae inerant, numquam dicere has vere esse, quippe quae dum ponantur mutentur, sed, si hoc cum securitate velit accipere, acquiescere. eadem igitur oratio usurpanda est etiam de natura omnia recipiente corpora; eadem semper appellanda; e sua enim ipsa vi omnino non excedit. etenim recipit semper omnia, nec ullam umquam alicui eorum quae intrant similem formam ullo modo capit; etenim ut materia ex qua formae exprimuntur natura omnibus proposita est, agitata et figurata ab eis quae intrant; et videtur per haec alias alia; ea vero quae ingrediuntur et egrediuntur eorum quae semper exstant simulacra sunt, ficta ab eis modo

φραστον καὶ θαυμαστόν, ὃν ἐςαῦθις μέτιμεν. ἐν δ' οὖν τῷ παρόν-
τι χρὴ γένη διανοηθῆναι τριττά, τὸ μὲν γιγνόμενον, τὸ δ' ἐν ᾧ
γίγνεται, τὸ δ' * ὅθεν ἀφομοιούμενον φύεται τὸ γιγνόμε- D
νον. καὶ δὴ καὶ προσεικάσαι πρέπει τὸ μὲν δεχόμενον μη-
τρί, τὸ δ' ὅθεν πατρί, τὴν δὲ μεταξὺ τούτων φύσιν ἐκγό-
νῳ, νοῆσαί τε ὡς οὐκ ἂν ἄλλως, ἐκτυπώματος ἔσεσθαι μέλλον-
τος ἰδεῖν ποικίλου πάσας ποικιλίας, τοῦτ' αὐτό, ἐν ᾧ ἐκ-
τυπούμενον ἐνίσταται, γένοιτ' ἂν παρεσκευασμένον εὖ, πλὴν
ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας μέλλοι *) δέ-
χεσθαί * ποθεν· ὅμοιον γὰρ ὂν τῶν ἐπεισιόντων τινὶ τὰ E
τῆς ἐναντίας τά τε τῆς τὸ παράπαν ἄλλης φύσεως, ὁπότ'
ἔλθοι, δεχόμενον κακῶς ἂν ἀφομοιοῖ, τὴν αὑτοῦ παρεμφαῖ-
νον **) ὄψιν. διὸ καὶ πάντων ἐκτὸς εἰδῶν εἶναι χρεὼν τὸ
τὰ πάντα ἐκδεξόμενον ἐν αὑτῷ γένη, καθάπερ περὶ τὰ ἀλείμ-
ματα, ὁπόσα εὐώδη, τέχνῃ μηχανῶνται πρῶτον τοῦτ' αὐτὸ
ὑπάρχον, ποιοῦσιν ὅτι μάλιστα ἀνώδη τὰ δεξόμενα ***)
ὑγρὰ τὰς ὀσμάς· ὅσοι τε ἔν τισι τῶν μαλακῶν σχήματα
ἀπομάττειν ἐπιχειροῦσι, τὸ παράπαν σχῆμα οὐδὲν ἔνδηλον
ὑπάρχειν ἐῶσι, προομαλύναντες δὲ ὅτι λειότατον ἀπεργάζον-
ται. ταὐτὸν οὖν * καὶ τῷ τὰ τῶν πάντων ἀεί τε ὄντων κα- 51
τὰ πᾶν ἑαυτοῦ πολλάκις ἀφομοιώματα καλῶς μέλλοντι δέχε-
σθαι πάντων ἐκτὸς αὐτῷ †) προσήκει πεφυκέναι τῶν εἰδῶν.
διὸ δὴ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ πάντως ††) αἰσθητοῦ
μητέρα καὶ ὑποδοχὴν μήτε γῆν μήτε ἀέρα μήτε πῦρ μήτε
ὕδωρ λέγωμεν, μήτε ὅσα ἐκ τούτων μήτε ἐξ ὧν ταῦτα γέ-
γονεν, ἀλλ' ἀνόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχές, με-
ταλαμβάνον δὲ ἀπορώτατά πῃ τοῦ νοητοῦ * καὶ δυςαλωτό- B
τατον αὐτὸ λέγοντες οὐ ψευσόμεθα. καθ' ὅσον δὲ ἐκ τῶν
προειρημένων δυνατὸν ἐφικνεῖσθαι τῆς φύσεως αὐτοῦ, τῇδ'
ἂν τις ὀρθότατα λέγοι, πῦρ μὲν ἑκάστοτε αὐτοῦ τὸ πεπυρω-
μένον μέρος φαίνεσθαι, τὸ δὲ ὑγρανθὲν ὕδωρ, γῆν δὲ καὶ

---

*) γρ. μέλλει.
**) γρ. παρεμφαίνων.
***) γρ. ὁπόσα εὐώδη, τὰ δεξόμενα.
†) γρ. αὐτῶν.
††) γρ. παντός.

quodam inexplicabili et admirabili, quem alias explicabimus. in praesentia vero oportet tria statui genera, unum quod gignitur, alterum in quo gignitur et tertium id ex quo expressum nascitur quod gignitur. atque etiam comparare convenit id quod suscipit matri, id ex quo suscipitur patri, et naturam inter haec mediam proli, cogitandum autem est, si effigies futura sit omni varietate distincta ad adspectum, haud aliter id ipsum in quo exprimenda sit, bene fore praeparatum, nisi vacuum fuerit ab omnibus illis formis quas alicunde sit suscepturum; nam simile si fuerit alicui eorum quae ingrediuntur, contrariam prorsusque diversam naturam quando accesserit suscipiens male expressurum sit, suam ipsum simul ostendens speciem. quocirca extra omnes oportet formas esse id quod omnia in se recepturum sit genera, quemadmodum qui unguenta bene olentia conficiunt, ex arte ante omnia id spectant ut humida, quae odores acceptura sint, quam maxime odore vacua efficiant; et quicumque in iis quae mollia sunt formas exprimere instituunt, figuram omnino nullam perspicuam subesse sinunt, sed ante expolientes quam levissima illa efficiunt. eadem igitur ratione etiam ei quod rerum omnium earumque quae semper sunt in se totum saepenumero simulacra bene est recepturum, extra omnes convenit natura formas esse. quocirca eam quae rerum genitarum earumque adspectabilium omninoque sub sensus cadentium mater est atque receptaculum, neque terram neque aerem neque ignem neque aquam dicamus, neque quae ex his neque e quibus haec genita sunt, sed speciem quandam oculorum sensum effugientem formaeque expertem, in se omnia recipientem, partem vero ratione quadam maxime inexplicabili eius habentem quod ratione intelligitur perceptuque difficillimam si eam dixerimus, haud erraverimus. quoad vero ex iis quae ante posuimus assequi possumus eius naturam, ita rectissime aliquis dixerit, ignem semper inflammatam eius partem videri, made-

ἀέρα, καθ' ὅσον ἂν μιμήματα τούτων δέχηται. λόγῳ δὲ δὴ
μᾶλλον τὸ τοιόνδε διοριζομένοις περὶ αὐτῶν διασκεπτέον,
ἆρ' ἔστι τι πῦρ αὐτὸ ἐφ' ἑαυτοῦ, καὶ * πάντα περὶ ὧν C
ἀεὶ λέγομεν οὕτως αὐτὰ καθ' αὐτὰ ἕκαστα ὄντα, ἢ ταῦτα
ἅπερ καὶ βλέπομεν ὅσα τε ἄλλα διὰ τοῦ σώματος αἰσθανό-
μεθα, μόνα ἐστὶ τοιαύτην ἔχοντα ἀλήθειαν, ἄλλα δὲ οὐκ
ἔστι παρὰ ταῦτα οὐδαμῇ οὐδαμῶς, ἀλλὰ μάτην ἑκάστοτε εἶ-
ναί τί φαμεν εἶδος ἑκάστου νοητόν, τὸ δὲ οὐδὲν ἄρ' ἦν
πλὴν λόγος. οὔτε οὖν δὴ τὸ παρὸν ἄκριτον καὶ ἀδίκαστον
ἀφέντα ἄξιον φάναι διισχυριζόμενον ἔχειν οὕτως, οὔτ' ἐπὶ
λόγου μήκει πάρεργον * ἄλλο μῆκος ἐπεμβλητέον· εἰ δέ τις D
ὅρος ὁρισθεὶς μέγας διὰ βραχέων φανείη, τοῦτο μάλιστα
καιριώτατον γένοιτ' ἄν. ὧδε οὖν τήν γ' ἐμὴν αὐτὸς τίθε-
μαι ψῆφον, εἰ μὲν νοῦς καὶ δόξα ἀληθής ἐστον δύο γένη,
παντάπασιν εἶναι καθ' αὑτὰ ταῦτα, ἀναίσθητα ὑφ' ἡμῶν
εἴδη, νοούμενα μόνον· εἰ δ', ὥς τισι φαίνεται, δόξα ἀληθὴς
νοῦ διαφέρει *) μηδέν, πάνθ' ὁπόσα αὖ διὰ τοῦ σώματος
αἰσθανόμεθα **), θετέον βεβαιότατα. δύο δὴ λεκτέον ἐκείνω,
* διότι χωρὶς γεγόνατον ἀνομοίως τε ἔχετον. τὸ μὲν γὰρ E
αὐτῶν διὰ διδαχῆς, τὸ δ' ὑπὸ πειθοῦς ἡμῖν ἐγγίγνεται, καὶ τὸ
μὲν ἀεὶ μετὰ ἀληθοῦς λόγου, τὸ δὲ ἄλογον, καὶ τὸ μὲν ἀκίνητον
πειθοῖ, τὸ δὲ μεταπειστόν, καὶ τοῦ μὲν πάντα ἄνδρα μετέχειν φα-
τέον, νοῦ δὲ θεούς, ἀνθρώπων δὲ γένος βραχύ τι. τούτων δὲ
οὕτως ἐχόντων ὁμολογητέον ἓν μὲν ***) εἶναι τὸ * κατὰ ταὐτὰ 52
εἶδος ἔχον, ἀγέννητον καὶ ἀνώλεθρον, οὔτε εἰς ἑαυτὸ εἰς-
δεχόμενον ἄλλο ἄλλοθεν οὔτε αὐτὸ εἰς ἄλλο ποι ἰόν, ἀόρα-
τον δὲ καὶ ἄλλως ἀναίσθητον, τοῦτο ὃ δὴ νόησις εἴληχεν
ἐπισκοπεῖν· τὸ δὲ ὁμώνυμον ὅμοιόν τε ἐκείνῳ δεύτερον, αἰ-
σθητόν, γεννητόν, πεφορημένον ἀεί, γιγνόμενόν τε ἔν τινι †)

---

*) γρ. διαφέροιτο.
**) γρ. ὁπόσα ἂν — αἰσθανώμεθα.
***) γρ. ὁμολογητέον μέν.
†) γρ. γιγνόμενον ἔν τινι.

factam vero aquam, terram porro et aërem, quantum horum simulacra recipiat. oratione vero potius hoc distingui deque illis anquiri oportet: num sit ignis ipse per se omniaque in quibus semper usurpamus hoc, per se ipsa quaeque esse, an ea quae cernimus et quaecumque alia corporis sensibus percipimus, sola sint huiusmodi veritatem habentia, alia vero nullo modo exstent praeter haec, sed frustra semper dicamus esse aliquam cuiusque speciem sub intelligentiam cadentem, quum nihil aliud haec sit nisi oratio. neque igitur rem in qua nunc versamur sine iudicio et disceptatione nos dimittentes par est pro certo affirmare ita se habere, neque orationis longitudine alia ad institutum nihil pertinens adiicienda; quodsi vero descriptio magna paucis verbis reperietur explicata, hoc maxime tempestivum erit. ita igitur meam equidem sententiam fero, si mens et opinio vera duo sint genera, prorsus ea esse per se, et species quidem sensibus a nobis non percipiendas, sed sola ratione, sin autem, ut nonnullis videtur, opinio vera a mente nihil differat, omnia quae corporis sensibus percipiamus, ponenda esse certissima. duo igitur dicenda sunt illa, propterea quod separata sunt et dissimilitudinem inter se habent. alterum enim doctrina, alterum persuasione in nobis exsistit, illud semper cum vera coniunctum ratione, hoc rationis expers, illud persuasione flecti nequit, hoc ad aliam traduci potest persuasionem, alterius quemlibet esse participem dicere debemus, rationis vero deos, hominum autem genus perexiguum. quae quum ita sint, confitendum unam esse speciem eodem se modo habentem, ortus et interitus expertem, neque in se recipientem aliud aliunde neque ipsam in aliud transeuntem, oculorum obtutum reliquosque sensus effugientem, hanc cuius investigatio obtigit intelligentiae; cognomine vero simileque illi secundum, sensum movens, ortum habens, semper agitatum, nascens in loco aliquo rursusque inde

τόπῳ καὶ πάλιν ἐκεῖθεν ἀπολλύμενον, δόξῃ μετ' αἰσθήσεως περιληπτόν· τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας ἀεί, φθορὰν οὐ προσδεχόμενον, * ἕδραν δὲ παρέχον ὅσα ἔχει γένε- B
σιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἁπτὸν λογισμῷ τινὶ νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ *) καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγκαῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά, τὸ δὲ μήτε ἐν γῇ μήτε που κατ' οὐρανὸν **) οὐδὲν εἶναι. ταῦτα δὴ ***) πάντα καὶ τὰ τούτων ἀδελφὰ †) καὶ περὶ τὴν ἄϋπνον καὶ ἀληθῶς φύσιν ὑπάρχουσαν ὑπὸ ταύτης τῆς ὀνειρώξεως οὐ δυνατοὶ γιγνόμεθα * ἐγερθέντες διοριζόμενοι τἀληθὲς λέγειν· ὡς εἰ- C
κόνι μέν, ἐπείπερ οὐδ' αὐτὸ τοῦτο ἐφ' ᾧ γέγονεν ἑαυτῆς ††) ἐστίν, ἑτέρου δέ τινος ἀεὶ φέρεται φάντασμα, διὰ ταῦτα ἐν ἑτέρῳ προσήκει τινὶ γίγνεσθαι, οὐσίας ἁμωσγέπως ἀντεχομένην, ἢ μηδὲν τὸ παράπαν αὐτὴν εἶναι, τῷ δὲ ὄντως ὄντι βοηθὸς ὁ δι' ἀκριβείας ἀληθὴς λόγος, ὡς, ἕως ἄν τι τὸ μὲν ἄλλο ᾖ, τὸ δὲ ἄλλο, οὐδέτερον ἐν οὐδετέρῳ ποτὲ γεγενημένον ἓν ἅμα ταὐτὸν καὶ δύο * γενήσεσθον. οὗτος μὲν D
οὖν δὴ παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ, καὶ πρὶν οὐρανὸν γενέσθαι· τὴν δὲ γενέσεως †††) τιθήνην ὑγραινομένην καὶ πυρουμένην καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην, καὶ ὅσα τούτοις ἄλλα πάθη ξυνέπεται πάσχουσαν, παντοδαπὴν * μὲν ἰδεῖν φαίνεσθαι, διὰ E
δὲ τὸ μήθ' ὁμοίων δυνάμεων μήτ' ἰσοῤῥόπων ἐμπίπλασθαι κατ' οὐδὲν αὐτῆς ἰσοῤῥοπεῖν, ἀλλ' ἀνωμάλως πάντῃ ταλαντουμένην σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτήν, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν· τὰ δὲ κινούμενα ἄλλα ἄλλοσε ἀεὶ φέρεσθαι διακρινόμενα, ὥσπερ τὰ ὑπὸ τῶν πλοκάνων τε καὶ ὀργάνων τῶν περὶ τὴν τοῦ σίτου κάθαρσιν σειόμενα καὶ ἀναλικμώμενα (*) τὰ μὲν πυκνὰ καὶ βαρέα ἄλλῃ, * τὰ 53
δὲ μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἵζει φερόμενα ἕδραν· τότε οὕτω τὰ τέτταρα γένη σειόμενα ὑπὸ τῆς δεξαμενῆς, κινου-

*) γρ. δέ. **) ἴσ. κατέχειν — κατ' οὐρανὸν ὄν. ***) γρ. δέ. †) ἄλλ. καὶ τούτων ἄλλ' ἀδελφά. ††) ἴσ. αὐτῆς. †††) γρ. γεννήσεως. (*) ἴσ. ἀνικμώμενα.

evanescens, opinione et sensu comprehendendum; tertium porro genus spatii cuiusque, interitum non admittens, sedem praebens quaecumque ortum habent omnibus, ipsum vero ita comparatum, ut nullo sensu perceptum tangatur ratiocinatione quadam adulterina, vixque certum sit, quod etiam intuentes somniamus dicimusque necessario omne quod sit in loco aliquo esse et sedem aliquam tenere, quod vero neque in terra neque in caelo usquam sit id nihil esse. haec igitur omnia hisque similia, etiam quod ad naturam insomnem vereque exstantem attinet, prae somnio illo non possumus experrecti distinguere verumque dicere; nam imagini quidem, quoniam id ipsum cuius causa exstitit non ipsius est, sed alius cuiuspiam fertur simulacrum, ideo convenit ut in alio quodam sit, essentiam aliquo modo usurpans, aut nihil sit omnino, at vero ei quod revera est suffragatur quae exacte vera est ratio, docens, quamdiu unum aliud sit et alterum aliud, neutrum in neutro umquam genitum unum simul idem et duo fore. haec igitur ratio ex sententia mea conclusa ad summam posita esto, essentiam et spatium et ortum esse, tria trifariam, eaque antequam caelum exstiterit; ortus vero nutricem madefactam et inflammatam et terrae aërisque formas accipientem et quaecumque alia cum his coniuncta sunt patientem variam quidem adspectu videri, propterea autem quod neque similibus viribus neque aequilibribus impleta sit, nullam in partem aequilibrem esse, sed inaequaliter in omnes partes fluctuantem concuti ipsam ab illis, rursusque agitatam illas concutere, agitata vero alia alio semper ferri disiuncta, quemadmodum quae a cribris et instrumentis frumento depurgando servientibus concutiuntur et ventilantur densa et gravia alio feruntur, rara vero et levia alio considunt loco: tum ita quattuor genera concussa a receptaculo, commoto

μένης αὐτῆς οἷον ὀργάνου σεισμὸν παρέχοντος, τὰ μὲν ἀνομοιότατα πλεῖστον αὐτὰ ἀφ' αὑτῶν ὁρίζειν, τὰ δ' ὁμοιότατα μάλιστα εἰς ταὐτὸν ξυνωθεῖν· διὸ δὴ καὶ χώραν ταῦτα ἄλλα ἄλλην ἴσχειν, πρὶν καὶ τὸ πᾶν ἐξ αὐτῶν διακοσμηθὲν γενέσθαι. καὶ τὸ μὲν δὴ πρὸ τούτου πάντα ταῦτ' ἔχειν ἀλόγως καὶ ἀμέτρως· ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι * τὸ πᾶν, πῦρ B πρῶτον καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα αὐτῶν ἄττα, παντάπασι μὴν διακείμενα ὥσπερ εἰκὸς ἔχειν ἅπαν ὅταν ἀπῇ τινὸς θεός, οὕτω δὴ τότε πεφυκότα ταῦτα πρῶτον διεσχηματίσατο εἴδεσί τε καὶ ἀριθμοῖς. τὸ δὲ ᾗ δυνατὸν ὡς κάλλιστά τε καὶ ἄριστα ἐξ οὐχ οὕτως ἐχόντων τὸν θεὸν αὐτὰ ξυνιστάναι, παρὰ πάντα ἡμῖν ὡς ἀεὶ τοῦτο λεγόμενον ὑπαρχέτω. Νῦν δ' οὖν τὴν διάταξιν αὐτῶν ἐπιχειρητέον ἑκάστων καὶ * γένεσιν ἀήθει λόγῳ πρὸς ὑμᾶς δηλοῦν. ἀλλὰ C γάρ, ἐπεὶ μετέχετε τῶν κατὰ παίδευσιν ὁδῶν, δι' ὧν ἐνδείκνυσθαι τὰ λεγόμενα ἀνάγκη, ξυνέψεσθε.

Πρῶτον μὲν δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ καὶ ἀὴρ ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί. τὸ δὲ τοῦ σώματος εἶδος πᾶν καὶ βάθος ἔχει· τὸ δὲ βάθος αὖ πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν· ἡ δὲ ὀρθὴ τῆς ἐπιπέδου βάσεως ἐκ τριγώνων ξυνέστηκε· τὰ δὲ τρίγωνα ἅπαντα ἐκ δυεῖν ἄρχεται τριγώνοιν *), * μίαν μὲν ὀρθὴν ἔχοντος ἑκατέρου D γωνίαν, τὰς δὲ δύο ὀξείας· ὧν τὸ μὲν ἕτερον ἑκατέρωθεν ἔχει μέρος γωνίας ὀρθῆς πλευραῖς ἴσαις διῃρημένης, τὸ δὲ ἕτερον ἀνίσοις ἄνισα μέρη νενεμημένης. ταύτην δὴ πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθώμεθα **) κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι· τὰς δ' ἔτι***) τούτων ἀρχὰς ἄνωθεν θεὸς οἶδε καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. Δεῖ δὴ λέγειν * ποῖα κάλλιστα σώματα γένοιτ' ἂν τέτ- E ταρα, ἀνόμοια μὲν ἑαυτοῖς, δυνατὰ δὲ ἐξ ἀλλήλων αὐτῶν ἄττα διαλυόμενα γίγνεσθαι. τούτου γὰρ τυχόντες ἔχομεν †) τὴν ἀλήθειαν γενέσεως πέρι γῆς τε καὶ πυρὸς τῶν τε ἀνὰ

*) γρ. ἄρχονται, μίαν. **) ἄλλ. ὑποτιθέμεθα.

***) γρ. δέ τι. †) γρ. ἔχοιμεν.

velut instrumento concussionem efficiente, dissimillima maxime ipsa a se secernere, simillima vero maxime unum in locum cogere; quocirca etiam haec alia alium locum habeant, antequam universitas ex iis disposita exstiterit. et ante quidem omnia haec fuisse a ratione aversa et immoderata; quum autem coeptum esset disponi universum, ignem primum et aquam et terram et aërem, vestigia quaedam naturae suae tenentia, quum prorsus quidem ita comparata fuissent, ut consentaneum est omne se habere a quo deus absit, tum demum illa ita comparata formis et numeris exornata fuisse. quam pulcherrime vero et optime ex non ita se habentibus deum ea composuisse, hoc per omnia nobis ut semper dicendum positum esto. Nunc autem descriptionem eorum conandum est ortumque cuiusque insolita oratione vobis declarare. at enim vos, quum doctrinae vias teneatis, quibus declaranda sunt de quibus agitur, me consequemini.

Ac primum quidem ignem et terram et aquam et aërem corpora esse, perspicuum sane cuilibet. omnis vero corporis forma etiam altitudinem habet, et altitudo quaeque planam naturam comprehendat necesse est; recta autem plana basis e triangulis composita est, et triangula omnia e duobus ordiuntur triangulis, unum quidem rectum utroque habente angulum, duos vero acutos: quorum alterum utrimque habet partem anguli recti aequalibus lateribus divisi, alterum inaequalibus in partes inaequales distributi. hoc igitur ignis principium ceterorumque corporum ponamus orationem non sine aliqua necessitate probabilem sequentes; his vero etiam altiora principia deus perspicit et virorum quicumque ipsi carus est. Oportet igitur dici qualia pulcherrima corpora fuerint quattuor, dissimilia quidem inter se, ita vero comparata ut quaedam inter se dissolvantur et gignantur. hoc enim assequuti tenebimus verum terrae et ignis et eorum quae pro portione me-

λόγον †) ἐν μέσῳ· τότε γὰρ οὐδενὶ ξυγχωρησόμεθα καλλίω
τούτων ὁρώμενα σώματα εἶναί πού καθ' ἓν γένος ἕκαστον
ὄν. τοῦτ' οὖν προθυμητέον, τὰ διαφέροντα κάλλει σωμάτων
τέτταρα γένη ξυναρμόσασθαι καὶ φάναι τὴν τούτων ἡμᾶς
φύσιν ἱκανῶς εἰληφέναι. * τοῖν δὴ δυοῖν τριγώνοιν τὸ μὲν 54
ἰσοσκελὲς μίαν εἴληχε φύσιν, τὸ δὲ πρόμηκες ἀπεράντους.
προαιρετέον οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν
ἄρξεσθαι κατὰ τρόπον. ἂν οὖν τις ἔχῃ κάλλιον ἐκλεξάμενος
εἰπεῖν εἰς τὴν τούτων ξύστασιν, ἐκεῖνος οὐκ ἐχθρὸς ὤν, ἀλ-
λὰ φίλος κρατεῖ. τιθέμεθα δ' οὖν τῶν πολλῶν τριγώνων
κάλλιστον ἕν, ὑπερβάντες τἆλλα, ἐξ οὗ τὸ ἰσόπλευρον τρί-
γωνον * ἐκ τρίτων ††) ξυνέστηκε. διότι δέ, ὁ λόγος πλείων· B
ἀλλὰ τῷ τοῦτο ἐλέγξαντι καὶ ἀνευρόντι δὴ μὴ οὕτως ἔχον
κεῖται φίλια τὰ ἆθλα. προῃρήσθω δὴ δύο τρίγωνα, ἐξ ὧν
τό τε τοῦ πυρὸς καὶ τὰ τῶν ἄλλων σώματα μεμηχάνηται,
τὸ μὲν ἰσοσκελές, τὸ δὲ τριπλῆν κατὰ δύναμιν ἔχον τῆς
ἐλάττονος τὴν μείζω *) πλευρὰν ἀεί. τὸ δὲ πρόσθεν ἀσα-
φῶς **) ῥηθὲν νῦν μᾶλλον διοριστέον. τὰ γὰρ τέτταρα γένη
δι' ἀλλήλων εἰς ἄλληλα ἐφαίνετο πάντα γένεσιν ἔχειν, οὐκ
ὀρθῶς φανταζόμενα. * γίγνεται μὲν γὰρ ἐκ τῶν τριγώνων C
ὧν προῃρήμεθα γένη τέτταρα, τρία μὲν ἐξ ἑνὸς τοῦ τὰς
πλευρὰς ἀνίσους ἔχοντος, τὸ δὲ τέταρτον ἓν μόνον ἐκ τοῦ
ἰσοσκελοῦς τριγώνου ξυναρμοσθέν. οὔκουν δυνατὰ πάντα εἰς
ἄλληλα διαλυόμενα ἐκ πολλῶν σμικρῶν ὀλίγα μεγάλα καὶ
τοὐναντίον γίγνεσθαι, τὰ δὲ τρία οἷόν τε· ἐκ γὰρ ἑνὸς
ἅπαντα πεφυκότα, λυθέντων τε τῶν μειζόνων πολλὰ σμικρὰ
ἐκ τῶν αὐτῶν ξυστήσεται, δεχόμενα τὰ προσήκοντα ἑαυτοῖς
σχήματα, * καὶ σμικρὰ ὅταν αὖ πολλὰ κατὰ τρίγωνα δια- D
σπαρῇ, γενόμενος εἷς ἀριθμὸς ἑνὸς ὄγκου μέγα ἀποτελέσειεν
ἂν ***) ἄλλο εἶδος ἕν. ταῦτα μὲν οὖν λελέχθω περὶ τῆς εἰς
ἄλληλα γενέσεως. Οἷον δὲ ἕκαστον αὐτῶν γέγονεν εἶδος καὶ
ἐξ ὅσων ξυμπεσόντων ἀριθμῶν, λέγειν ἂν ἑπόμενον εἴη.

---

†) γρ. ἀνάλογον.
††) γρ. τρίτου.
*) γρ. μίαν.
**) γρ. οὐκ ἀσφαλῶς.
***) γρ. αὖ.

dia funt ortum; tum enim nulli concedemus pulchriora his corpora conspici, secundum unumquodque genus. conandum igitur quattuor corporum genera ad pulchritudinem insignia componere et affirmare horum nos naturam satis perspectam habere. e duobus igitur triangulis quod aequalia crura habet unam accepit naturam, oblongum autem innumerabiles. eligendum vero ex infinitis pulcherrimum, si rite ordiri volumus. quodsi quis poterit pulchrius eligere et proferre ad haec constituenda, non inimicus, sed amicus vincet. ponimus igitur multorum illorum triangulorum pulcherrimum unum, praetermissis reliquis, e quo triangulum aequalia latera habens tertium compositum est. cur autem hoc ita sit, sermonis longioris fuerit; at qui hoc redarguerit remque non ita se habere repererit ei proposita sunt amica praemia. electa igitur sunto duo tringula, e quibus ignis reliquorumque corpora effecta sint, unum aequalia crura habens, alterum quod longius latus potentiâ quae dicitur minore triplo semper maius habet. quod autem ante obscure significavimus, id nunc magis definiendum. etenim quattuor genera per se et inter se videbantur omnia ortum habere, non recte ita nobis visa. exsistunt enim e triangulis quae elegimus genera quattuor, tria ex uno quod latera inaequalia habet, quartum vero unum solum e triangulo aequalia crura habente compositum. nequaquam igitur possunt omnia inter se dissolvi et e multis parvis pauca magna et contra exsistere, tria autem oriri possunt; ex uno enim omnia natura exsistunt, solutisque maioribus multa parva ex eisdem componentur, convenientes sibi figuras accipientia, rursusque quum parva multa in triangula diffusa sunt, unus exsistens numerus unius molis magnam absolvet aliam unam speciem. atque haec quidem dicta sint de mutuo eorum ortu. Qualis autem quaeque earum exstiterit species quibusque e numeris concurrentibus, sequitur iam ut exponamus. initium autem faciet prima

ἄρξει δὲ τό τε πρῶτον εἶδος καὶ σμικρότατον ξυνιστάμενον·
στοιχεῖον δ' αὐτοῦ τὸ τὴν ὑποτείνουσαν τῆς ἐλάττονος πλευ-
ρᾶς διπλασίαν ἔχον μήκει· ξύνδυο δὲ τοιούτων †) κατὰ διά-
μετρον * ξυντιθεμένων καὶ τρὶς τούτου γενομένου, τὰς δια- E
μέτρους καὶ τὰς βραχείας πλευρὰς εἰς ταὐτὸν ὡς κέντρον
ἐρεισάντων, ἓν ἰσόπλευρον τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν ὄν-
των γέγονε· τρίγωνα δὲ ἰσόπλευρα ξυνιστάμενα τέτταρα κα-
τὰ ξύντρεις ἐπιπέδους γωνίας μίαν στερεὰν γωνίαν ποιεῖ, * τῆς 55
ἀμβλυτάτης τῶν ἐπιπέδων γωνιῶν ἐφεξῆς γεγονυῖαν. τοιούτων
δὲ ἀποτελεσθεισῶν τεττάρων πρῶτον εἶδος στερεόν, ὅλου περι-
φεροῦς διανεμητικὸν εἰς ἴσα μέρη καὶ ὅμοια, ξυνίσταται,
δεύτερον δὲ ἐκ μὲν τῶν αὐτῶν τριγώνων, κατὰ δὲ ἰσόπλευρα
τρίγωνα ὀκτὼ ξυστάντων, μίαν ἀπεργασαμένων στερεὰν γω-
νίαν ἐκ τεττάρων ἐπιπέδων· καὶ γενομένων ἓξ τοιούτων τὸ
δεύτερον αὖ σῶμα οὕτως ἔσχε τέλος. τὸ δὲ τρίτον ἐκ δὶς
ἑξήκοντα τῶν στοιχείων * ξυμπαγέντων, στερεῶν δὲ γωνιῶν B
δώδεκα, ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχο-
μένης ἑκάστης, εἴκοσι βάσεις ἔχον τριγώνους ἰσοπλεύρους *)
γέγονε. καὶ τὸ μὲν ἕτερον ἀπήλλακτο τῶν στοιχείων ταῦτα
γεννῆσαν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον ἐγέννα τὴν τοῦ τετάρτου
φύσιν, κατὰ τέτταρα ξυνιστάμενον, εἰς τὸ κέντρον τὰς ὀρ-
θὰς γωνίας ξυνάγον, ἓν ἰσόπλευρον τετράγωνον ἀπεργασά-
μενον· ἓξ δὲ τοιαῦτα ξυμπαγέντα γωνίας ὀκτὼ στερεὰς ἀπετέλε-
σε, * κατὰ τρεῖς ἐπιπέδους ὀρθὰς ξυναρμοσθείσης ἑκάστης· C
τὸ δὲ σχῆμα τοῦ ξυστάντος σώματος γέγονε κυβικόν, ἓξ ἐπι-
πέδους τετραγώνους ἰσοπλεύρους βάσεις ἔχον. ἔτι δὲ οὔσης
ξυστάσεως μιᾶς πέμπτης, ἐπὶ τὸ πᾶν ὁ θεὸς αὐτῇ κατεχρή-
σατο ἐκεῖνο διαζωγραφῶν. Ἃ δή τις εἰ πάντα λογιζόμενος
ἐμμελῶς ἀποροῖ πότερον ἀπείρους χρὴ κόσμους εἶναι λέγειν
ἢ πέρας ἔχοντας, τὸ μὲν ἀπείρους ἡγήσαιτ' ἂν ὄντως ἀπεί-
ρου τινὸς εἶναι * δόγμα ὧν ἔμπειρον χρεὼν εἶναι, πότερον D
δὲ ἕνα ἢ πέντε αὐτοὺς ἀληθείᾳ πεφυκότας λέγειν προσή-

---

†) γρ. τούτων.
*) γρ. ἔχων ἰσοπλεύρους.

figura eaque minima composita. et elementum eius est ea quae lineam quae dicitur subtendentem duplo longiorem breviore latere habet, duae autem simul eiusmodi secundum lineam diagonalem si componuntur terque id fit ita ut diagonalia et brevia latera in unum tamquam centrum infigantur, unum aequalia latera habens triangulum ex his quae sex sunt numero exsistit; triangula autem aequalia latera habentia quum quattuor componuntur secundum tres simul angulos planos unum solidum angulum efficiunt, qui obtusissimum planorum angulorum excipit. his vero absolutis quattuor, prima species solida componitur quae totum circuitum in aequales distribuit similesque partes, secunda ex eisdem quidem angulis, secundum triangula vero aequalia latera habentia octo compositis, unum efficientibus solidum angulum e quattuor planis; sexque talibus factis secundum rursus corpus absolvitur. tertium vero e bis sexaginta elementis compactis, solidis autem angulis duodecim, quorum quemque triangula quinque plana aequalia latera habentia complectuntur, viginti bases habens triangulas aequilaterales gignitur. et alterum quidem elementum discessit quum haec generavit, triangulum vero aequalia habens crura genuit quarti naturam, quattuor triangula componens, in centrum rectos angulos coniungens, unum aequalia latera habens quadratum efficiens; sex autem talia compacta angulos octo solidos efficiunt, quoque e tribus planis rectis composito; figura autem corporis ita constituti est cubica, sex planas quadratas aequilaterales bases habens. praeterea una quum esset compositio quinta, deus ea usus est ad universi descriptionem. Quae quidem omnia si quis rite secum reputans dubitet utrum infinitos oporteat dici mundos esse an finitos, mundos ponere infinitos existimet hominis esse vere eorum imperiti quorum peritum esse oporteat, utrum autem unum an quinque revera esse na-

κει, μᾶλλον ἂν *) ταύτῃ στὰς **) εἰκότως διαπορήσαι. τὸ
μὲν οὖν δὴ παρ' ἡμῶν ἕνα αὐτὸν κατὰ τὸν εἰκότα λόγον
πεφυκότα μηνύει, ἄλλος δὲ εἰς ἄλλα πῃ ἀποβλέψας ἕτερα
δοξάσει. Καὶ τούτων μὲν μεθετέον, τὰ δὲ γεγονότα νῦν τῷ
λόγῳ γένη διανείμωμεν εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα.
γῇ μὲν δὴ τὸ κυβικὸν εἶδος δῶμεν· ἀκινητοτάτη γὰρ τῶν
* τεττάρων γενῶν γῆ καὶ τῶν σωμάτων †) πλαστικωτάτη, E
μάλιστα δὲ ἀνάγκη γεγονέναι τοιοῦτον τὸ τὰς βάσεις ἀσφα-
λεστάτας ἔχον· βάσις δὲ ἥ τε τῶν κατ' ἀρχὰς τριγώνων ὑπο-
τεθέντων ἀσφαλεστέρα κατὰ φύσιν ἡ τῶν ἰσοπλεύρων ††)
τῆς τῶν ἀνίσων, τό τε ἐξ ἑκατέρου ξυντεθὲν ἐπίπεδον ἰσό-
πλευρον ἰσοπλεύρου, τετράγωνον τριγώνου, κατά τε μέρη καὶ
καθ' ὅλον στασιμωτέρως ἐξ ἀνάγκης βέβηκε. διὸ γῇ μὲν τοῦ-
το * ἀπονέμοντες τὸν εἰκότα λόγον διασώζομεν, ὕδατι δ' 56
αὖ †††) τὸ δυσκινητότατον εἶδος, τὸ δ' εὐκινητότατον πυρί,
τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν σμικρότατον σῶμα πυρί, τὸ
δ' αὖ μέγιστον ὕδατι, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν ὀξύτατον αὖ
πυρί, τὸ δὲ δεύτερον ἀέρι, τὸ δὲ τρίτον ὕδατι. ταῦτ' οὖν
δὴ πάντα, τὸ μὲν ἔχον ὀλιγίστας βάσεις εὐκινητότατον ἀνάγ-
κη πεφυκέναι τμητικώτατόν τε ὀξύτατον ὂν πάντῃ * πάν- B
των, ἔτι τε ἐλαφρότατον, ἐξ ὀλιγίστων ξυνεστὸς τῶν αὐτῶν
μερῶν· τὸ δὲ δεύτερον δευτέρως τὰ αὐτὰ ταῦτ' ἔχειν, τρίτως
δὲ τὸ τρίτον. ἔστω δὴ κατὰ τὸν ὀρθὸν λόγον καὶ κατὰ τὸν
εἰκότα τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος πυρὸς
στοιχεῖόν τε καὶ σπέρμα· τὸ δὲ δεύτερον κατὰ γένεσιν εἴπω-
μεν ἀέρος, τὸ δὲ τρίτον ὕδατος. πάντα οὖν δὴ ταῦτα δεῖ
διανοεῖσθαι (*) σμικρὰ οὕτως, ὡς καθ' * ἓν ἕκαστον μὲν τοῦ C
γένους ἑκάστου διὰ σμικρότητα οὐδὲν ὁρώμενον ὑφ' ἡμῶν, ξυν-
αθροισθέντων δὲ πολλῶν τοὺς ὄγκους αὐτῶν ὁρᾶσθαι· καὶ
δὴ καὶ τὸ τῶν ἀναλογιῶν περί τε τὰ πλήθη καὶ τὰς κινή-
σεις καὶ τὰς ἄλλας δυνάμεις, πανταχῇ τὸν θεόν, ὅπηπερ ἡ
τῆς ἀνάγκης ἑκοῦσα πεισθεῖσά τε φύσις ὑπεῖξε, ταύτῃ πάν-
τῃ δι' ἀκριβείας ἀποτελεσθεισῶν ὑπ' αὐτοῦ ξυνηρμόσθαι
ταῦτα ἀνὰ λόγον.

*) γρ. αὖ. **) ἴσ. πᾶς. †) γρ. σωματιαῶν.
††) ἄλλ. ἴσων πλευρῶν. †††) ἄλλ. αὖ τῶν λοιπῶν.
(*) γρ. πάντα οὖν δεῖ ταῦτα διανοεῖσθαι.

tos dicendum fit, magis de hoc quilibet recte dubitaverit. ac noſtra quidem ſententia unum eſſe mundum natum ſecundum veriſimilem orationem declarat, alius vero alia fere reſpiciens aliter ſentiet. Et haec quidem mittenda ſunt, genera autem nunc oratione effecta distribuamus in ignem et terram et aquam et aërem. terrae igitur cubicam figuram demus; maxime enim e quattuor generibus immobilis eſt terra corporumque ſolidiſſimum, et maxime neceſſe eſt tale ita factum eſſe ut baſes habeat firmiſſimas; de baſi autem triangulorum initio propoſitorum, firmior eſt eorum quae aequalia latera habent quam eorum quae inaequalia habent, et ex utroque compoſitum planum aequilaterale quadrangulum, per partes et in toto triangulo aequilaterali neceſſario ſtabilius inſiſtit. quocirca terrae hoc tribuentes probabilem orationem ſervamus, aquae autem figuram quae difficillime movetur, quae contra facillime movetur igni, et mediam aëri; et minimum quidem corpus igni, maximum vero aquae, mediumque aëri; acutiſſimum porro igni, ſecundum aëri et tertium aquae. harum igitur omnium figurarum eam quae pauciſſimas habet baſes neceſſe eſt natura facile moveri maximamque ſecandi vim habere, quippe quae omnino omnium acutiſſima ſit, praeterea leviſſimam eſſe, quum e pauciſſimis compoſita ſit eisdem partibus, ſecundam autem ſecundo loco eadem haec habere, et tertio loco tertiam. eſto igitur ſecundum rectam orationem atque veri ſimilem ſolida pyramidis figura ignis elementum et ſemen; ſecundam ad ortum dicamus aëris et tertiam aquae. omnia igitur haec oportet ita parva exiſtimari, ut ſingula cuiusque generis propter parvitatem a nobis videri minime poſſint, coacervatorum vero multorum moles cernantur; atque etiam quod ad multitudinis, motus reliquarumque poteſtatum rationes attinet, in omnes partes deum, ut neceſſitatis natura volens et obtemperans ceſſerit, ita omnino has exacte abſolutas pro portione compoſuiſſe.

Ἐκ δὴ πάντων ὧν περὶ τὰ γένη προειρήκαμεν, ὧδ' ἂν κατὰ τὸ εἰκὸς μάλιστ' ἔχοι. * γῆ μὲν ξυντυγχάνουσα D
πυρὶ διαλυθεῖσά τε ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ' ἄν, εἴτ' ἐν αὐτῷ πυρὶ λυθεῖσα εἴτ' ἐν ἀέρος εἴτ' ἐν ὕδατος ὄγκῳ τύχοι, μέχριπερ ἂν αὐτῆς πῃ ξυντυχόντα τὰ μέρη, πάλιν ξυναρμοσθέντα αὐτὰ αὑτοῖς, γῆ γένοιτο· οὐ γὰρ εἰς ἄλλο γε εἶδος ἔλθοι ποτ' ἄν. ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθὲν εἴτε καὶ ὑπ' ἀέρος, ἐγχωρεῖ γίγνεσθαι ξυστάντα *) ἓν μὲν πυρὸς σῶμα, δύο δὲ ἀέρος. τὰ δὲ ἀέρος τμήματα ἐξ ἑνὸς μέρους * διαλυθέντος δύ' ἂν γενοίσθην σώματα πυρός. καὶ E
πάλιν, ὅταν ἀέρι πῦρ ὕδατί τε ἤ τινι γῇ περιλαμβανόμενον, ἐν πολλοῖς ὀλίγον, κινούμενον ἐν φερομένοις, μαχόμενον καὶ νικηθὲν καταθραυσθῇ, δύο πυρὸς σώματα εἰς ἓν ξυνίστασθον εἶδος ἀέρος· καὶ κρατηθέντος ἀέρος κερματισθέντος τε ἐκ δυεῖν ὅλοιν καὶ ἡμίσεως ὕδατος εἶδος ἓν ὅλον ἔσται ξυμπαγές. ὧδε γὰρ δὴ λογισώμεθα αὐτὰ πάλιν, ὡς ὅταν ἐν πυρὶ λαμβανόμενον τῶν * ἄλλων ὑπ' αὐτοῦ τι γέ- 57
νος τῇ τῶν γωνιῶν καὶ κατὰ τὰς πλευρὰς ὀξύτητι τέμνηται, ξυστὰν μὲν εἰς τὴν ἐκείνου φύσιν πέπαυται τεμνόμενον· τὸ γὰρ ὅμοιον καὶ ταὐτὸν αὐτῷ γένος ἕκαστον οὔτε τινὰ μεταβολὴν ἐμποιῆσαι δυνατὸν οὔτε τι παθεῖν ὑπὸ τοῦ κατὰ ταὐτὰ ὁμοίως τε ἔχοντος**)· ἕως δ' ἂν εἰς ἄλλο τι γιγνόμενον ἧττον ὂν κρείττονι μάχηται, λυόμενον οὐ παύεται. τά τε αὖ σμικρότερα ὅταν ἐν τοῖς μείζοσι, πολλοῖς περιλαμβανόμενα * ὀλίγα, διαθραυόμενα κατασβεννύηται, ξυνίστασθαι B
μὲν ἐθέλοντα εἰς τὴν τοῦ κρατοῦντος ἰδέαν πέπαυται κατασβεννύμενα γίγνεταί τε ἐκ πυρὸς ἀὴρ ἐξ ἀέρος τε ὕδωρ, ἐὰν δ' εἰς ταῦτα ῇ ***) καὶ τῶν ἄλλων τινὶ ξυνιὸν γενῶν μάχηται, λυόμενα οὐ παύεται, πρὶν †) ἢ παντάπασιν ὠθούμενα, διαλυτὰ ὄντα ††), ἐκφύγῃ πρὸς τὸ ξυγγενές, ἢ νικηθέντα, ἓν ἐκ πολλῶν ὅμοιον τῷ κρατήσαντι γενόμενον, αὐτοῦ ξύνοικον μείνῃ. καὶ δὴ καὶ * κατὰ ταῦτα τὰ παθήματα δια- C
μείβεται τὰς χώρας ἅπαντα· διέστηκε μὲν γὰρ τοῦ γένους

*) ἴσ. ξυστάν. **) γρ. οὔτε τι δρᾶσαι δύναται.
***) ἄλλ. εἰς αὐτὰ ἴῃ. †) ἴσ. πρὶν ἄν.
††) ἄλλ. καὶ διαλυθέντα.

Ex omnibus igitur quae de generibus supra diximus ita potissimum videtur se res habere. terra quidem concurrens cum igne dissoluta ab eius acie fertur, sive in ipso igne soluta fuerit sive in aëris sive in aquae mole, dum concurrentes forte eius partes rursusque inter se ipsae copulatae terra evadant; neque enim in aliam umquam speciem transeant. aqua autem ab igne vel etiam ab aëre divisa potest fieri composita unum ignis corpus et duo aëris. de aëris vero particulis, ex una parte dissoluta duo exsistent corpora ignis. et rursus, quum ignis ab aëre et aqua vel terra comprehensus, in multis exiguus, agitatus in commotis, pugnans et victus confringitur, duo ignis corpora in unam conflantur speciem aëris; et superato aëre atque conciso ex duobus totis et dimidio aquae species una tota exsistet compacta. ita enim consideremus ea rursus, quum in igne comprehensum reliquorum aliquod genus angulorum et laterum acie secetur, in illius naturam contractum desinere secari; simile enim idemque genus quodque neque mutationem aliquam efficere potest neque aliquo modo affici ab eo quod eodem similique modo se habet; quamdiu vero ad aliud quid accedit et inferius cum superiore pugnat, solvi non desinit, rursus minora quum in maioribus, a multis comprehensa pauca, concisa exstinguuntur, dum transire volunt in superioris speciem, desinunt exstingui fitque ex igne aër et ex aëre aqua, quando vero cum hoc vel etiam reliquorum generum quopiam concurrentia pugnant, solvi non desinunt, donec aut prorsus impulsa, quum dissolvi possint, ad cognatum effugiunt, aut superata unum e multis simile vincenti fiunt semperque cum eo habitant. atque etiam his affectionibus fit ut sedes omnia permutent; differunt enim generis cu-

ἑκάστου τὰ πλήθη κατὰ τόπον ἴδιον διὰ τὴν τῆς δεχομένης κίνησιν, τὰ δὲ ἀνομοιούμενα φέρεται (†) διὰ τὸν σεισμὸν πρὸς τὸν ἐκείνων οἷς ἂν ὁμοιωθῇ τόπον.

Ὅσα μὲν οὖν ἄκρατα καὶ πρῶτα σώματα, διὰ τοιούτων αἰτιῶν γέγονε· τοῦ δ' ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη τὴν ἑκατέρου τῶν στοιχείων αἰτιατέον ξύστασιν, μὴ μόνον ἓν ἑκατέραν * μέγεθος ἔχον τὸ τρίγωνον φυτεῦ- D
σαι *) κατ' ἀρχάς, ἀλλὰ ἐλάττω τε καὶ μείζω, τὸν ἀριθμὸν δὲ ἔχοντα τοσοῦτον ὅσαπερ ἂν ᾖ τἀν τοῖς εἴδεσι γένη. διὸ δὴ **) ξυμμιγνύμενα αὐτά τε πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα τὴν ποικιλίαν ἐστὶν ἄπειρα· ἧς γε ***) δεῖ θεωροὺς γίγνεσθαι τοὺς μέλλοντας περὶ φύσεως εἰκότι λόγῳ χρήσεσθαι.

Κινήσεως οὖν στάσεώς †) τε πέρι, τίνα τρόπον καὶ μεθ' ὧντινων γίγνεσθον, εἰ μή τις διομολογήσεται, πόλλ' ἂν εἴη ἐμποδὼν τῷ κατόπισθεν * λογισμῷ. τὰ μὲν οὖν ἤδη περὶ E
αὐτῶν εἴρηται, πρὸς δὲ ἐκείνοις ἔτι τάδε· ἐν μὲν ὁμαλότητι μηδέποτε ἐθέλειν κίνησιν ἐνεῖναι. τὸ γὰρ κινησόμενον ἄνευ τοῦ κινήσοντος ἢ τὸ κινῆσον ἄνευ τοῦ κινησομένου χαλεπόν, μᾶλλον δὲ ἀδύνατον εἶναι· κίνησις δὲ οὐκ ἔστι τούτων ἀπόντων ††)· ταῦτα δὲ ὁμαλὰ εἶναί ποτε ἀδύνατον. οὕτω δὴ στάσιν μὲν ἐν ὁμαλότητι, κίνησιν δὲ εἰς ἀνωμαλότητα ἀεὶ τιθῶμεν· * αἰτία δὲ ἡ ἀνισότης αὖ τῆς ἀνωμάλου φύ- 58
σεως. ἀνισότητος δὲ γένεσιν μὲν διεληλύθαμεν· πῶς δέ ποτε οὐ κατὰ γένη (*) διαχωρισθέντα ἕκαστα πέπαυται τῆς δι' ἀλλήλων κινήσεως καὶ φορᾶς, οὐκ εἴπομεν. ὧδε οὖν πάλιν ἐροῦμεν.

Ἡ τοῦ παντὸς περίοδος, ἐπειδὴ ξυμπεριέλαβε τὰ γένη, κυκλοτερὴς οὖσα καὶ πρὸς αὑτὴν πεφυκυῖα βούλεσθαι ξυνιέναι, σφίγγει πάντα καὶ κενὴν (**) χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. διὸ δὴ πῦρ μὲν εἰς ἅπαντα διελήλυθε * μάλιστα, B
ἀὴρ δὲ δευτέρως, ὡς λεπτότητι δεύτερος ἔφυ, καὶ τἆλλα ταύτῃ. τὰ γὰρ ἐκ μεγίστων μερῶν γεγονότα μεγίστην κενότητα ἐν τῇ ξυστάσει παραλέλοιπε, τὰ δὲ σμικρότατα ἐλαχί-

(†) ἄλλ. ἀνομοιούμενα ἑκάστοτε ἑαυτοῖς, ἄλλοις δὲ ὁμοιούμενα. *) ἴσ. τὸ μὴ μόνον — ἔχον τρίγωνον φυτεῦσαι. **) γρ. δυο δὲ. ***) ἄλλ. δή. †) γρ. ξυστάσεώς. ††) γρ. ἀπάντων. (*) ἴσ. δέ ποτε κατὰ γένη. (**) γρ. καινήν.

iusque multitudines loco proprio propter receptaculi motionem, disſimilia vero facta feruntur propter concuſſionem ad eorum quibus ſimilia evadunt locum.

Quaecumque igitur ſimplicia et prima corpora ſunt, has ob cauſas exſtiterunt. quod autem in eorum formis alia innaſcuntur genera, huius rei cauſa attribuenda eſt utriusque elementi compoſitioni, quippe quae non ſolum unum magnitudine praeditum triangulum ab initio generaverit, ſed minora et maiora, tantumque numerum habentia quot ſunt in formis genera. quocirca commixta ſecum et inter ſe varietate ſunt infinita; cuius quidem ſpectatores oportet eſſe qui de natura velint veri ſimili oratione disputare.

Iam quod ad motum et ſtatum attinet, quo pacto et cum quibus exſiſtant, niſi quis ſtatuerit, multa fuerint impedimento poſthac ſusceptae cogitationi et inveſtigationi. ac de his quidem nonnulla iam dicta ſunt, praeterea etiam haec proferenda, in aequalitate numquam poſſe motum ineſſe. nam movendum ſine moturo vel moturum ſine movendo difficile vel potius eſſe nequit; motus autem nullus eſt his absentibus; haec vero aequalia eſſe numquam poſſunt. itaque ſtatum quidem in aequalitate, motum autem in inaequalitate ſemper ponamus. cauſa vero inaequalis naturae eſt disſimilitudo. ac disſimilitudinis quidem originem explicavimus; quomodo autem fiat ut ſingula ſecundum genera ſeparata moveri inter ſe ac ferri deſinant, non expoſuimus. ita igitur rurſus dicemus.

Univerſi circuitus, genera complexus, quia orbiculatus eſt naturaque ita comparatus ut ad ſe ipſe tendat, conſtringit omnia nullumque ſinit locum vacuum relinqui. quocirca ignis quidem per omnia pervadit maxime, aër autem ſecundo loco, quia tenuitate ſecundus eſt, et ita reliqua. quae enim ex maximis partibus facta ſunt maximam vacuitatem in compoſitione relinquunt, mini-

στην. ἡ δὴ τῆς πιλήσεως ξύνοδος τὰ σμικρὰ εἰς τὰ τῶν μεγάλων διάκενα ξυνωθεῖ. σμικρῶν οὖν παρὰ μεγάλα τιθεμένων καὶ τῶν ἐλαττόνων τὰ μείζονα διακρινόντων, τῶν δὲ μειζόνων ἐκεῖνα ξυγκρινόντων, πάντ' ἄνω κάτω μεταφέρεται πρὸς τοὺς ἑαυτῶν τόπους· * μεταβάλλον γὰρ τὸ μέγεθος C ἕκαστον καὶ τὴν τῶν τόπων μεταβάλλει στάσιν. οὕτω δὴ διὰ ταῦτά τε ἡ τῆς ἀνωμαλότητος διασωζομένη γένεσις ἀεὶ τὴν ἀεὶ κίνησιν τούτων οὖσαν ἐσομένην τε ἐνδελεχῶς παρέχεται.

Μετὰ δὴ ταῦτα δεῖ νοεῖν ὅτι πυρός τε γένη πολλὰ γέγονεν, οἷον φλὸξ τό τε ἀπὸ τῆς φλογὸς ἀπτόν (*), ὃ κάει μὲν οὔ, φῶς δὲ τοῖς ὄμμασι παρέχει, τό τε φλογὸς ἀποσβεσθείσης ἐν τοῖς διαπύροις καταλειπόμενον αὐτοῦ· κατὰ ταὐτὰ δὲ * ἀέρος τὸ μὲν εὐαγέστατον ἐπίκλην αἰθὴρ καλούμενος, ὁ δὲ θολερώτατος ὁμίχλη τε καὶ σκότος, ἕτερά τε D ἀνώνυμα εἴδη *) γεγονότα διὰ τὴν τῶν τριγώνων ἀνισότητα. τὰ δὲ ὕδατος διχῇ μὲν πρῶτον, τὸ μὲν ὑγρόν, τὸ δὲ χυτὸν γένος αὐτοῦ. τὸ μὲν οὖν ὑγρὸν διὰ τὸ μετέχον εἶναι τῶν γενῶν τοῦ **) ὕδατος, ὅσα σμικρά, ἀνίσων ὄντων, κινητὸν αὐτό τε καθ' αὑτὸ καὶ ὑπ' ἄλλου διὰ τὴν ἀνωμαλότητα καὶ τὴν τοῦ σχήματος ἰδέαν γέγονε· τὸ δ' ἐκ μεγάλων * καὶ E ὁμαλῶν στασιμώτερον μὲν ἐκείνου καὶ βαρὺ πεπηγὸς ὑπὸ ὁμαλότητός ἐστιν, ὑπὸ δὲ πυρὸς ἐσιόντος ***) καὶ διαλύοντος αὐτὸ τὴν ὁμαλότητα ἀπολέσαν μετίσχει μᾶλλον κινήσεως, γενόμενον δὲ εὐκίνητον, ὑπὸ τοῦ πλησίον ἀέρος ὠθούμενον καὶ κατατεινόμενον ἐπὶ γῆν, τήκεσθαι μὲν τὴν τῶν ὄγκων καθαίρεσιν, ῥοὴν δὲ τὴν κατάστασιν †) ἐπὶ γῆν ἐπωνυμίαν ἑκατέρου τοῦ πάθους ἔλαβε. πάλιν δὲ ἐκπίπτοντος αὐτόθεν τοῦ πυρός, ἅτε οὐκ εἰς * κενὸν ἐξιόντος, ὠθούμενος ὁ 59 πλησίον ἀὴρ εὐκίνητον ὄντα ἔτι τὸν ὑγρὸν ὄγκον εἰς τὰς τοῦ πυρὸς ἕδρας ξυνωθῶν αὐτὸν αὑτῷ ξυμμίγνυσιν· ὁ δὲ ξυνωθούμενος ἀπολαμβάνων τε τὴν ὁμαλότητα πάλιν, ἅτε τοῦ τῆς ἀνωμαλότητος δημιουργοῦ πυρὸς ἀπιόντος, εἰς ταὐτὸν αὑτῷ καθίσταται. καὶ τὴν μὲν τοῦ πυρὸς ἀπαλλαγὴν ψῦξιν, τὴν δὲ ξύνοδον ἐκείνου ἀπελθόντος πεπηγὸς εἶναι

(*) ἴσ. ἀπιόν. *) γρ. ἤδη. **) ἄλλ. τῶν. ἴσ. τῶν τοῦ. ***) ἴσ. ἐπιόντος. †) ἴσ. κατάτασιν.

ma vero minimam. coarctationis videlicet coitio parva in magnorum vacuitates contrudit. parvis igitur ad magna positis et minoribus maiora discernentibus, maioribus vero illa colligentibus, omnia sursum deorsum transferuntur ad suos locos; quodque enim magnitudinem mutans etiam locorum mutat statum. ita et has ob causas inaequalitatis conservatus ortus semper efficit ut perpetua horum motio et sit et futura sit.

Deinde hoc oportet teneri ignis genera multa esse, velut flammam atque id quod e flamma exit, quod minime quidem urit, sed lucem oculis praebet, et id, quod flamma exstincta in rebus candentibus de illa relinquitur. similiter aëris pars clarissima cognomine aether appellatur, turbidissima nebula et tenebrae, aliaeque nomine carentes species factae per triangulorum inaequalitatem. aquae vero primum duae sunt species, humida una, altera ea quae funditur. et humida quidem, quia particeps est eorum aquae generum quae parva sunt et inaequalia, mobilis ipsa per se et per aliud propter inaequalitatem figuraeque speciem facta est, quod autem e magnis et aequalibus compositum est, id stabilius quidem est illo graviterque compactum per aequalitatem, propter ignem autem invadentem et dissolventem quum aequalitatem amisit magis fit particeps motionis, et ad motionem quum proclive factum est, a vicino aëre impulsum et deiectum in terram, utrumque hoc nomen invenit ut liquefieri molem dicamus quae dissolvitur et evertitur, deiectionem vero in terram fluxionem nominemus. rursus autem excidente inde igne, quippe qui non in vacuum exeat, impulsus vicinus aër humidam molem, quae adhuc facile movetur, in ignis sedem contrudit et cum hoc commiscet; ille vero contrusus quum aequalitatem rursus accepit, quippe igne inaequalitatis effectore elapso, in eundem secum statum restituitur. atque ignis quidem discessus refrigeratio, coitio vero illo digresso compactum genus dicitur. Ex his igitur omni-

γένος προσεῤῥήθη. * Τούτων δὴ πάντων ὅσα χυτὰ προσεί- B πομεν ὕδατα, τὸ μὲν ἐκ λεπτοτάτων καὶ ὁμαλωτάτων πυκνότατον γιγνόμενον, μονοειδὲς γένος, στίλβοντι καὶ ξανθῷ χρώματι κοινωθὲν, τιμαλφέστατον κτῆμα χρυσὸς ἠθημένος διὰ πέτρας ἐπάγη. χρυσοῦ δὲ ὄζος, διὰ πυκνότητα σκληρότατον ὂν καὶ μελανθὲν, ἀδάμας ἐκλήθη. τὸ δ᾽ ἐγγὺς μὲν χρυσοῦ τῶν μερῶν, εἴδη δὲ πλείω †) ἑνὸς ἔχον, πυκνότητι μὲν χρυσοῦ πυκνότερον ὂν, καὶ γῆς μόριον ὀλίγον καὶ λεπτὸν μετασχόν, ὥστε σκληρότερον * εἶναι, τῷ ††) δὲ μεγάλα C ἐντὸς αὐτοῦ διαλείμματα ἔχειν κουφότερον, τῶν λαμπρῶν πηκτῶν τε ἓν γένος ὑδάτων χαλκὸς ξυσταθεὶς γέγονε. τὸ δ᾽ ἐκ γῆς αὐτῷ (*) μιχθὲν, ὅταν παλαιουμένω διαχωρίζησθον πάλιν ἀπ᾽ ἀλλήλων, ἐκφανὲς καθ᾽ αὐτὸ γιγνόμενον ἰὸς λέγεται. τἄλλα δὲ τῶν τοιούτων οὐδὲν ποικίλον ἔτι (**) διαλογίσασθαι τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν, ἣν ὅταν τις ἀναπαύσεως ἕνεκα τοὺς περὶ τῶν ὄντων ἀεὶ καταθέμενος * λόγους, τοὺς γενέσεως πέρι διαθεώμενος εἰκότας D ἀμεταμέλητον ἡδονὴν κτᾶται, μέτριον ἂν ἐν τῷ βίῳ παιδιὰν καὶ φρόνιμον ποιοῖτο. ταύτῃ δὴ καὶ τὰ νῦν ἐφέντες τὸ μετὰ τοῦτο τῶν αὐτῶν πέρι τὰ ἑξῆς εἰκότα δίιμεν τῇδε. Τὸ πυρὶ μεμιγμένον ὕδωρ, ὅσον λεπτὸν ὑγρόν τε διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται, μαλακόν τε αὖ τῷ τὰς βάσεις ἧττον ἑδραίους οὔσας ἢ τὰς γῆς ὑπείκειν, τοῦτο δ᾽ * ὅταν πυρὸς ἀποχωρισθὲν ἀέ- E ρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσται δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὐτό, παγέν τε οὕτω τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν ταῦτα χάλαζα, τὸ δ᾽ ἐπὶ γῆς κρύσταλλος, τὸ δὲ ἧττον ἡμιπαγές τε ὂν ἔτι, τὸ μὲν ὑπὲρ γῆς αὖ χιών, τὸ δ᾽ ἐπὶ γῆς ξυμπαγὲν, ἐκ δρόσου γενόμενον, πάχνη λέγεται. τὰ δὲ δὴ πλεῖστα ὑδάτων εἴδη μεμιγμένα ἀλλήλοις, ξύμπαν μὲν τὸ γένος, διὰ τῶν ἐκ γῆς φυτῶν ἠθημένα, χυμοὶ λεγόμενοι· * διὰ δὲ τὰς μίξεις ἀνομοιότητα ἕκαστοι σχόντες τὰ 60 μὲν ἄλλα πολλὰ ἀνώνυμα γένη παρέσχοντο, τέτταρα δὲ ὅσα

†) γρ. πλέον. ††) γρ. τὸ.
(*) γρ. αὐτό. (**) γρ. ἐστί.

bus quas aquas diximus fundi, ea quae e tenuissimis maximeque aequalibus densissima exsistit, genus simplex et uniusmodi, splendentis et flavi coloris particeps, pretiosissima res aurum stillans per petras compingitur. auri autem ramus, qui propter densitatem durissimus est nigrique coloris, adamas vocatur. quod vero ab auri partibus prope abest, species autem plures quam unam habet, et ad densitatem quidem auro densius est, et terrae quoque particulam parvam tenuemque habet, ita ut durius sit, eo vero quod magna intra se intervalla habet levius, splendidarum et concretarum unum genus aquarum aes conflatum exstitit. quod vero ex terra ei admixtum est, quum inveterata ambo rursus a se discernuntur, per se conspicuum fit et aerugo dicitur. et reliqua eiusdem generis iam difficile non est exputare ei qui veri similium orationum persequitur genus, quod si quis respirationis causa tractet, orationibus de rebus sempiternis depositis, probabilibus vero de ortu spectatis, et voluptatem sibi comparet haud poenitendam, moderatum in vita prudentemque sibi ludum faciat. huic igitur nunc quoque nos tradentes deinceps de iisdem quae sequentur veri similia proponemus ita. Aqua cum igne mixta, quaecumque tenuis et liquida propter motionem et viam qua volutatur super terram liquida dicitur, et mollis quoque, quia bases eius minus stabiles quam terrae cedunt, haec igitur, quum ab igne et aëre separata et destituta est, fit quidem aequalior, contruditur vero ab iis quae exeunt in se ipsam, et ita compacta ea quae maxime id patitur super terram grando, quae idem patitur in terra glacies, quae autem minus et ad dimidias adhuc concreta est, supra terram compacta nix, in terra autem concreta et ex rore facta pruina dicitur. plurimae vero aquarum species inter se commixtae, universum quidem genus, per plantas e terra enatas stillantes, succi appellantur, propter permixtiones autem inaequalitatem quique habentes quum alia multa nomine

ἔμπυρα εἴδη, διαφανῆ μάλιστα γενόμενα εἴληφεν ὀνόματα αὐτῶν, τὸ μὲν τῆς ψυχῆς μετὰ τοῦ σώματος θερμαντικὸν οἶνος, τὸ δὲ λεῖον καὶ διακριτικὸν ὄψεως διὰ ταῦτά τε ἰδεῖν λαμπρὸν καὶ στίλβον λιπαρόν τε φανταζόμενον ἐλαιηρὸν εἶδος, πίττα καὶ κίκι καὶ ἔλαιον αὐτὸ ὅσα τ' ἄλλα τῆς αὐτῆς δυνάμεως· ὅσον δὲ * διαχυτικὸν μέχρι φύσεως τῶν περὶ τὸ B στόμα ξυνόδων, ταύτῃ τῇ δυνάμει γλυκύτητα παρεχόμενον, μέλι τὸ κατὰ πάντων μάλιστα πρόσρημα ἔσχε· τὸ δὲ τῆς σαρκὸς διαλυτικὸν τῷ κάειν ἀφρῶδες γένος, ἐκ πάντων ἀφορισθὲν τῶν χυμῶν, ὀπὸς ἐπωνομάσθη.

Γῆς δὲ εἴδη, τὸ μὲν ἠθημένον δι' ὕδατος τοιῷδε τρόπῳ γίγνεται σῶμα λίθινον. τὸ ξυμπαγὲν *) ὕδωρ ὅταν ἐν τῇ ξυμμίξει κοπῇ, μετέβαλεν εἰς ἀέρος ἰδέαν· γενόμενος δὲ ἀὴρ εἰς τὸν ἑαυτοῦ τόπον * ἀναθεῖ. κενὸν δ' ὑπῆρχεν αὐτῶν C οὐδέν· τὸν οὖν πλησίον ἔωσεν ἀέρα. ὁ δέ, ἅτε ὢν **) βαρύς, ὠσθεὶς καὶ περιχυθεὶς τῷ τῆς γῆς ὄγκῳ σφόδρα ἔθλιψε ξυνέωσέ τε αὐτὸν εἰς τὰς ἕδρας ὅθεν ἀνῄειν ***) ὁ νέος ἀήρ. ξυνωσθεῖσα δὲ ὑπ' ἀέρος ἀλύτως ὕδατι γῆ ξυνίσταται πέτρα, καλλίων μὲν ἡ τῶν ἴσων καὶ ὁμαλῶν διαφανὴς μερῶν, αἰσχίων δὲ ἡ ἐναντία. τὸ δὲ ὑπὸ πυρὸς τάχους †) τὸ νοτερὸν πᾶν ἐξαρπασθὲν καὶ κραυρότερον ἐκείνου ξυστάν, ᾧ * γένει κέραμον ἐπωνομάκαμεν, τοῦτο γέγονεν. ἔστι δὲ ὅτε νοτίδος ὑπολειφθείσης χυτὴ γῆ γενομένη διὰ πυρός, ὅταν ψυχθῇ, γέγονε τὸ μέλαν χρῶμα ἔχον λίθος. τῷ δ' αὖ κατὰ ταὐτὰ μὲν ταῦτα ἐκ ξυμμίξεως ὕδατος ἀπομονουμένῳ πολλοῦ, λεπτοτέρων δὲ ἐκ γῆς μερῶν ἁλμυρῷ τε ὄντι, ἡμιπαγεῖ γενομένῳ καὶ λυτῷ (*) πάλιν ὑφ' ὕδατος, τὸ μὲν ἐλαίου καὶ γῆς καθαρτικὸν γένος λίτρον, τὸ δ' εὐάρμοστον ἐν ταῖς κοινωνίαις ταῖς περὶ τὴν τοῦ στόματος (**) * αἴσθησιν ἁλῶν, E κατὰ λόγον νόμου, θεοφιλὲς σῶμα ἐγένετο. Τὰ δὲ κοινὰ ἐξ ἀμφοῖν ὕδατι μὲν οὐ λυτά, πυρὶ δὲ διὰ τὸ τοιόνδε οὕτω

---

*) ἄλλ. ξυμμιγές. **) γρ. ἂν ᾖ. ***) γρ. ἂν εἴη.
†) γρ. πάχους. (*) γρ. αὐτῷ. ἴσ. τῷ δ' αὖ — ἀπομονουμένῳ — ἁλμυρῷ τε ὄντι, ἡμιπαγῆ γενομένῳ καὶ λυτῷ πάλιν. (**) γρ. σώματος.

carentia genera edunt, tum quattuor species igneas easque maxime conspicuas quae nomina invenerunt, et ea quidem quae animum et corpus calefacit, vinum appellata est, lenis vero quae visum discernit eamque ob caussam adspectu splendida, lucens et nitida apparet olearium genus, pix et cicinum quod dicitur et oleum ipsum et quaecumque alia eiusdem facultatis; quaecumque autem diffundendi vim habet usque ad coitiones circa os, hac facultate dulcedinem praebens generale maxime nomen mellis habet; quod vero carnem dissolvit urendo spumosum genus, ab omnibus separatum succis, liquor appellatur qui ὀπός graece dicitur.

De terra formis, ea quae per aquam stillat hoc modo fit corpus lapideum. aqua compacta, quum in permixtione pulsatur, transit in aëris speciem, et aër quum factus est, suum in locum recurrit. nihil autem eorum vacuum exstat; quocirca aërem vicinum pellit. hic autem, quia gravis est, pulsus et circumfusus a terrae mole vehementer constringit et contrudit eam in sedes unde adscenderat novus aër. compulsa autem ab aëre terra ita ut ab aqua dissolvi nequeat exsistit saxum, idque pulchrius si pellucidum est et pares aequalesque partes habet, turpius si contra. quando vero ab ignis celeritate omne humidum aufertur rigidiusque concrescit, exsistit id genus cui nomen imponimus argillae. nonnumquam vero humore relicto terra per ignem fusilis facta, quum refrigerata est, lapis exsistit nigrum colorem habens. de iis porro quae secundum eadem haec e permixtione a multa aqua destituuntur, ex tenuioribus vero terrae partibus constant et salsa sunt, quum ad dimidias concreverunt rursusque dissolvi possunt ab aqua, unum genus olei et terrae purgandae vim habens nitrum factum est, et alterum, quod in communitatibus ad oris sensum spectantibus aptum concinnumque se praebet, salis exstitit e legis ratione deo carum corpus. Communia vero ex utrisque ab aqua quidem dissolvi non possunt, ab igne autem hanc ob causam ita compinguntur. ter-

ξυμπήγνυται. γῆς ὄγκους πῦρ μὲν ἀήρ τε οὐ τήκει· τῆς
γὰρ ξυστάσεως τῶν διακένων αὐτῆς σμικρομερέστερα πεφυκό-
τα, διὰ πολλῆς εὐρυχωρίας ἰόντα, οὐ βιαζόμενα, ἄλυτον
αὐτὴν ἐάσαντα, ἄτηκτον παρέσχε· τὰ δὲ ὕδατος ἐπειδὴ μεί-
ζω πέφυκε μέρη, βίαιον ποιούμενα τὴν διέξοδον, λύοντα
αὐτὴν τήκει. γῆν μὲν * ἀξύστατον ὑπὸ βίας οὕτως ὕδωρ 61
μόνον λύει, ξυνεστηκυῖαν δὲ πλὴν πυρὸς οὐδέν· εἴσοδος γὰρ
οὐδενὶ πλὴν πυρὶ λέλειπται. τὴν δὲ ὕδατος αὖ ξύνοδον τὴν
μὲν βιαιοτάτην πῦρ μόνον, τὴν δὲ ἀσθενεστέραν ἀμφότερα,
πῦρ τε καὶ ἀήρ, διαχεῖτον, ὁ μὲν κατὰ τὰ διάκενα, τὸ δὲ
καὶ κατὰ τὰ τρίγωνα. βίᾳ δὲ ἀέρα ξυστάντα οὐδὲν λύει
πλὴν *) κατὰ τὸ στοιχεῖον, ἀβίαστον δὲ κατατήκει μόνον
πῦρ. τὰ δὲ δὴ τῶν ξυμμίκτων ἐκ γῆς τε καὶ ὕδατος σωμά-
των, μέχριπερ * ἂν ὕδωρ αὐτοῦ τὰ τῆς γῆς διάκενα καὶ B
βίᾳ ξυμπεπιλημένα κατέχῃ, τὰ μὲν ὕδατος ἐπιόντα ἔξωθεν
εἴσοδον οὐκ ἔχοντα μέρη περιῤῥέοντα τὸν ὅλον ὄγκον ἄτη-
κτον εἴασε, τὰ δὲ πυρὸς εἰς τὰ τῶν ὑδάτων διάκενα εἰσιόν-
τα, ὅπερ ὕδωρ γῆν, τοῦτο δὲ πῦρ ἀέρα ἀπεργαζόμενα, τη-
χθέντι τῷ κοινῷ σώματι ῥεῖν μόνα αἴτια ξυμβέβηκε. τυγχάνει
δὲ ταῦτα ὄντα, τὰ μὲν ἔλαττον ἔχοντα ὕδατος ἢ γῆς, τό τε
περὶ τὴν ὕαλον γένος ἅπαν ὅσα τε λίθων χυτὰ εἴδη καλεῖ-
ται, * τὰ δὲ πλέον ὕδατος αὖ, πάντα ὅσα κηροειδῆ καὶ C
θυμιατικὰ σώματα ξυμπήγνυται.

Καὶ τὰ μὲν δὴ σχήμασι κοινωνίαις τε καὶ μεταλλαγαῖς
εἰς ἄλληλα πεποικιλμένα εἴδη σχεδὸν ἐπιδέδεικται, τὰ δὲ πα-
θήματα αὐτῶν δι' ἃς αἰτίας γέγονε πειρατέον ἐμφανίζειν
ἡμᾶς. πρῶτον μὲν οὖν ὑπάρχειν αἴσθησιν δεῖ τοῖς λεγομέ-
νοις ἀεί. σαρκὸς δὲ καὶ τῶν περὶ σάρκα γένεσιν, ψυχῆς
τε ὅσον θνητόν, οὔπω διεληλύθαμεν. τυγχάνει δὲ οὔτε
ταῦτα * χωρὶς τῶν περὶ τὰ παθήματα ὅσα αἰσθη- D
τικά, οὔτ' ἐκεῖνα ἄνευ τούτων δυνατὰ ἱκανῶς λεχθῆναι·
τὸ δὲ ἅμα σχεδὸν οὐ δυνατόν. ὑποθετέον δὴ πρότερον θά-
τερα, τὰ δ' ὕστερα ὑποτεθέντα ἐπάνιμεν αὖθις. ἵνα οὖν
ἑξῆς τὰ παθήματα λέγηται τοῖς γένεσιν, ἔστω πρότερα ἡμῖν

---

*) ἴσ. πάλιν.

rae moles ignis et aër non liquefaciunt; quia enim ex partibus conftant vacuitatum eius coagmentatione minutioribus, per locos multos fpatiofos progredientes, nec vim adhibentes, fed finentes eam non diffolutam, haud liquefactam eam praebent; aquae autem quia maiores funt partes, violentum facientes transitum, folvunt eam et liquefaciunt. terram quidem non compactam propter violentiam ita aqua fola folvit, compactam vero praeter ignem nihil; introitus enim nulli nifi igni relinquitur. aquae quoque concretionem violentiffimam quidem ignis folus, imbecilliorem vero ambo, ignis et aër, diffundunt, hic quidem fecundum vacua, ille vero etiam fecundum triangula. vi autem aërem concretum nihil refolvit in elementum, non coäctum autem vi liquefacit folus ignis. de corporibus autem e terra et aqua commixtis, quamdiu aqua terrae vacuitates vi compactas occupat, aquae quidem partes extrinfecus accedentes introitum non habent, fed circumfluentes totam molem non liquefactam finunt, ignis autem partes in aquarum vacuitates intrantes, quia aërem ita afficit ignis ut aqua terram, folae efficiunt ut liquefactum commune corpus fluat. funt autem haec corpora, partim minus habentia aquae quam terrae, univerfum vitri genus et quaecumque lapidum fpecies fufiles dicuntur, partim plus aquae, omnia quaecumque cerae fpeciem habentia et odorata compacta funt corpora.

Ac fpecies quidem figurarum, communitatum et mutationum varietate diftinctae ferme declaratae funt; affectiones autem earum quibus de caufis eveniant conandum nobis patefacere. et primum quidem fenfum femper oportet fubeffe his quae dicta funt. carnis et eorum quae ad carnem pertinent, itemque animi quantum mortalis eft nondum expofuimus ortum. funt autem neque haec ab affectionibus feparata fub fenfum cadentibus neque illae fine his fatis poffunt explicari; quae quidem fimul fieri nequeunt. proponenda igitur prius altera, et pofteriora quae propofita funt perfequemur pofthac. ut igitur affectiones explicentur ortibus confequentes,

τὰ περὶ τὸ σῶμα καὶ ψυχὴν ὄντα. Πρῶτον μὲν οὖν ᾗ πῦρ θερμὸν λέγομεν, ἴδωμεν ὧδε σκοποῦντες, τὴν διάκρισιν καὶ τομὴν αὐτοῦ περὶ τὸ σῶμα ἡμῶν γιγνομένην * ἐννοη- E
θέντες. ὅτι μὲν γὰρ ὀξύ τι τὸ πάθος, πάντες σχεδὸν αἰσθανόμεθα· τὴν δὲ λεπτότητα τῶν πλευρῶν καὶ γωνιῶν ὀξύτητα τῶν τε μορίων σμικρότητα καὶ τῆς φορᾶς τὸ τάχος, οἷς πᾶσι σφοδρὸν ὂν καὶ τομὸν ὀξέως τὸ προστυχὸν ἀεὶ τέμνει, λογιστέον ἀναμιμνησκομένοις * τὴν τοῦ σχήματος 62
αὐτοῦ γένεσιν, ὅτι μάλιστα ἐκείνη καὶ οὐκ ἄλλη φύσις διακρίνουσα ἡμῶν κατὰ σμικρά τε τὰ σώματα κερματίζουσα, τοῦτο ὃ νῦν θερμὸν λέγομεν, εἰκότως τὸ πάθημα καὶ τοὔνομα παρέσχε. Τὸ δ' ἐναντίον τούτῳ κατάδηλον μέν, ὅμως δὲ μηδὲν ἐπιδεὲς ἔστω λόγου. τὰ γὰρ δὴ τῶν περὶ τὸ σῶμα ὑγρῶν μεγαλομερέστερα εἰσιόντα, τὰ σμικρότερα ἐξωθοῦντα, εἰς τὰς ἐκείνων οὐ δυνάμενα * ἕδρας ἐνδῦναι, ξυνωθοῦντα B
ἡμῶν τὸ νοτερόν, ἐξ ἀνωμάλου κεκινημένου τε ἀκίνητον δι' ὁμαλότητα καὶ τὴν ξύνωσιν ἀπεργαζόμενα πήγνυσι· τὸ δὲ παρὰ φύσιν ξυναγόμενον μάχεται κατὰ φύσιν αὐτὸ ἑαυτὸ *) εἰς τοὐναντίον ἀπωθοῦν. τῇ δὴ μάχῃ καὶ τῷ σεισμῷ τούτῳ τρόμος καὶ ῥῖγος ἐτέθη, ψυχρόν τε τὸ πάθος ἅπαν τοῦτο καὶ τὸ δρῶν αὐτὸ ἔσχεν ὄνομα. σκληρὸν δέ, ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκῃ· μαλακὸν δέ, ὅσα ἂν τῇ σαρκί· πρὸς ἄλληλά τε οὕτως. ὑπείκει δὲ ὅσον ἐπὶ σμικροῦ * βαίνει· τὸ δὲ C
ἐκ τετραγώνων ὂν βάσεων, ἅτε βεβηκὸς σφόδρα, ἀντιτυπώτατον εἶδος, ὅ τί τε ἂν εἰς πυκνότητα ξυνιὸν πλείστην ἀντίτονον ᾖ μάλισα. βαρὺ δὲ καὶ κοῦφον μετὰ τῆς κάτω φύσεως ἄνω τε λεγομένης ἐξεταζόμενον ἂν δηλωθείη σαφέστατα. φύσει γὰρ δή τινας τόπους δύο εἶναι διειληφότας διχῇ τὸ πᾶν, ἐναντίους, τὸν μὲν κάτω, πρὸς ὃν φέρεται πάνθ' ὅσα τινὰ ὄγκον σώματος ἔχει, τὸν δ' ἄνω, πρὸς ὃν ἀκουσίως ἔρχεται πᾶν, οὐκ ὀρθὸν οὐδαμῇ νομίζειν. τοῦ γὰρ παντὸς οὐρανοῦ * σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεστῶτα D

---

*) γρ. αὐτῷ.

sunto priora nobis quae ad corpus et animum spectant. Primum igitur quomodo ignem calidum dicamus, videamus ita considerantes ut dissolutionem et divisionem eius in corpore nostro factam spectemus. etenim acutam aliquam esse affectionem, omnes fere sentimus; tenuitatem vero laterum et angulorum aciem et particularum parvitatem et agitationis celeritatem, quibus omnibus, quum acer sit secandique vi praeditus, acute quicquid obvium fit scindit, considerari oportet ita ut recordemur eius figurae ortum, quia maxime haec, alia nulla natura dividens corpora nostra et minutas in partes dispertiens, hanc quam nunc calidam dicimus convenienter et affectionem et appellationem praebet. Contrarium vero illius perspicuum quidem, attamen oratione non careat. etenim humida quae grandiora humoribus corporis intrant et minora expellunt, in eorum autem sedes non possunt intrare, contrudentia humidas nostri partes et ex inaequalibus agitatisque immobiles propter aequalitatem et compressionem efficientia compingunt; contra naturam vero contractum repugnat secundum naturam se ipsum in contrarium detrudens, quae quidem pugna et concussio tremor et rigor, calida autem haec omnis affectio et id quod eam infert appellata sunt. durum vocatur, cuicumque caro nostra cedit; molle contra quod carni, et ita inter se. cedit autem quod in parvo insistit; quod vero quadrangulas habet bases, quippe firme insistens, genus est maxime reluctans, et quicquid in densitatem concretum plurimam prae ceteris resistit. grave et leve si eo quod deorsum et sursum ferri dicitur iudicetur, clarissime illustretur. natura enim duos quosdam esse locos bifariam distinguentes universum, eosque contrarios, unum quidem inferiorem, ad quem ferantur omnia quae molem quandam corporis habeant, alterum superiorem, ad quem invita omnia moveantur, nullo modo recte ponitur. universum enim caelum quia globosum est, quaecumque aequaliter absunt a medio et

ἴσον τοῦ μέσου γέγονεν ἔσχατα, ὁμοίως αὐτὰ χρὴ ἔσχατα πεφυκέναι, τὸ δὲ μέσον τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεστηκὸς ἐν τῷ καταντικρὺ νομίζειν δεῖ πάντων εἶναι. τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος τί τῶν *) εἰρημένων ἄνω τις ἢ κάτω τιθέμενος οὐκ ἐν δίκῃ δόξει τὸ μηδὲν προσῆκον ὄνομα λέγειν; ὁ μὲν γὰρ μέσος ἐν αὐτῷ τόπος οὔτε κάτω πεφυκὼς οὔτε ἄνω λέγεσθαι δίκαιος, ἀλλ᾽ αὐτὸ ἐν μέσῳ· ὁ δὲ πέριξ οὔτε δὴ μέσος οὔτ᾽ ἔχων διάφορον αὐτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον ἤ τι τῶν καταντικρύ. τοῦ δὲ ὁμοίως πάντῃ πεφυκότος ποῖά τις ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία καὶ πῇ καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι καὶ στερεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές, εἰς * οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη διὰ τὴν πάντῃ 63
ὁμοιότητα αὐτῶν· ἀλλ᾽ εἰ καὶ περὶ αὐτὸ πορεύοιτό τις ἐν κύκλῳ, πολλάκις ἂν στὰς ἀντίπους ταὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προσείποι. τὸ μὲν γὰρ ὅλον, καθάπερ εἴρηται νῦν δή, σφαιροειδὲς ὂν τόπον τινὰ κάτω, τὸν δὲ ἄνω λέγειν ἔχειν οὐκ ἔμφρονος· ὅθεν δὲ ὠνομάσθη ταῦτα καὶ ἐν οἷς ὄντα εἰθίσμεθα δι᾽ ἐκεῖνα καὶ τὸν οὐρανὸν ὅλον οὕτω διαιρούμενοι * λέγειν, ταῦτα διομολογητέον ὑποθεμένοις τάδ᾽ ἡμῖν. B
εἴ τις ἐν τῷ τοῦ παντὸς τόπῳ καθ᾽ ὃν **) ἡ τοῦ πυρὸς εἴληχε μάλιστα φύσις, οὗ καὶ πλεῖστον ἂν ἠθροισμένον εἴη, πρὸς ὃ φέρεται, ἐπαναβὰς ἐπ᾽ ἐκεῖνο καὶ δύναμιν εἰς τοῦτο ἔχων, μέρη τοῦ πυρὸς ἀφαιρῶν ἱστᾷ, ἢ***) τιθεὶς εἰς πλάστιγγας, αἴρων τὸν ζυγὸν καὶ τὸ πῦρ ἕλκων εἰς ἀνόμοιον ἀέρα βιαζόμενος, δῆλον ὡς τοὔλαττόν που τοῦ μείζονος ῥᾷον βιᾶται· * ῥώμῃ γὰρ μιᾷ δυεῖν ἅμα μετεωριζομένοιν τὸ μὲν ἔλαττον μᾶλλον, τὸ δὲ πλέον ἧττον ἀνάγκη C
που κατατεινόμενον ξυνέπεσθαι τῇ βίᾳ, καὶ τὸ μὲν πολὺ βαρὺ καὶ κάτω φερόμενον κληθῆναι, τὸ δὲ σμικρὸν ἐλαφρὸν καὶ ἄνω. ταὐτὸν δὴ τοῦτο δεῖ φωρᾶσαι δρῶντας ἡμᾶς περὶ τόνδε τὸν τόπον. ἐπὶ γὰρ γῆς βεβῶτες, γεώδη γένη διιστάμενοι καὶ γῆν ἐνίοτε αὐτὴν ἕλκομεν εἰς ἀνόμοιον

---

*) γρ. τῶν τι.

**) ἴσ. τόπῳ ὄν.

***) ἄλλ. ἱσταίη.

extrema exstiterunt, pariter esse oportet extrema, et medium iisdem mensuris ab extremis distans e regione omnium esse existimare debemus. mundus igitur quum ita natura comparatus sit, quidnam dictorum superius aliquis aut inferius ponens non iure videbitur nomen minime conveniens dicere? medius enim in eo locus neque inferior natura neque superior recte dici potest, sed ipso in medio, et qui circumcirca est, neque medius neque partem sui habens aliam alia magis differentem ad medium vel eorum aliquid quae e regione posita sunt. ei vero quod aequaliter usquequaque natura se habet qualia quis imponens contraria et quomodo recte se existimaverit dicere? nam si quid etiam solidum fuerit in medio universi aequali, ad nullum umquam extremorum declinaverit propter perfectam eorum aequalitatem; atque si quis etiam circa illud proficiscatur in orbem, saepius adversis vestigiis stans eandem eius partem inferiorem et superiorem dicat. universitatem enim, quemadmodum modo diximus, quum globosa sit, locum aliquem inferiorem aliumque superiorem habere haud prudentis est dicere. unde vero nominata sint haec et in quibus spectantes consueverimus propter haec etiam caelum universum ita distinguere et dicere, de hoc conveniat inter nos oportet haec ponentes. si quis in eum universi locum quem ignis maxime obtinet natura, ubi etiam maxima eius copia collecta est et quo fertur, adscendens vimque in eum habens, ignis partes auferat et ponderet, in lancibus eas ponens, libram attollens ignemque attrahens ad dissimilem aërem vi cogens, perspicuum fuerit minorem maiore facilius eum coacturum esse; vi enim una duobus simul sublatis, minus magis, plus vero minus necesse est intendi vimque sequi, et multum quidem grave dici et quod deorsum feratur, exiguum vero leve et quod sursum tendat. idem igitur hoc deprehendi nos oportet facientes quod ad huncce locum attinet. in terra enim insistentes et terrena genera distinguentes etiam

ἀέρα βίᾳ καὶ παρὰ φύσιν, ἀμφότερα τοῦ ξυγγενοῦς ἀντεχόμενα. * τὸ δὲ σμικρότερον ῥᾷον τοῦ μείζονος βιαζομένοις D
εἰς τὸ ἀνόμοιον πρότερον ξυνέπεται· κοῦφον οὖν αὐτὸ προσειρήκαμεν, καὶ τὸν τόπον εἰς ὃν βιαζόμεθα ἄνω, τὸ δ' ἐναντίον τούτοις πάθος βαρὺ καὶ κάτω. ταῦτ' οὖν δὴ διαφόρως ἔχειν αὐτὰ πρὸς αὑτὰ ἀνάγκη διὰ τὸ τὰ πλήθη τῶν γενῶν τόπον ἐναντίον ἀλλήλοις *) κατέχειν· τὸ γὰρ ἐν ἑτέρῳ κοῦφον ὂν τόπῳ τῷ κατὰ τὸν ἐναντίον τόπον ἐλαφρῷ καὶ τὸ βαρὺ τῷ βαρεῖ τῷ τε κάτω τὸ κάτω καὶ τὸ ἄνω τῷ
* ἄνω πάντ' ἐναντία καὶ πλάγια καὶ πάντως διάφορα πρὸς E
ἄλληλα ἀνευρεθήσεται **) γιγνόμενα καὶ ὄντα· τόδε γε μὴν ἕν τι διανοητέον περὶ πάντων αὐτῶν, ὡς ἡ μὲν πρὸς τὸ ξυγγενὲς ὁδὸς ἑκάστοις οὖσα βαρὺ μὲν τὸ φερόμενον ποιεῖ, τὸν δὲ τόπον εἰς ὃν τὸ τοιοῦτον φέρεται κάτω, τὰ δὲ τούτοις ἔχοντα ὡς ἑτέρως θάτερα. περὶ δὴ τούτων αὖ τῶν παθημάτων ταῦτα αἴτια εἰρήσθω. λείου δ' αὖ καὶ τραχέος παθήματος αἰτίαν πᾶς που κατιδὼν καὶ ἑτέρῳ δυνατὸς ἂν εἴη λέγειν· σκληρότης γὰρ ἀνωμαλότητι μιχθεῖσα, τὸ δ'
* ὁμαλότης πυκνότητι παρέχεται. 64

Μέγιστον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ σῶμα παθημάτων τὸ τῶν ἡδέων καὶ τῶν ἀλγεινῶν αἴτιον ἐν οἷς διεληλύθαμεν καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα καὶ λύπας ἐν αὑτοῖς ἡδονάς θ' ἅμα ἑπομένας ἔχει. ὧδ' οὖν κατὰ παντὸς αἰσθητοῦ καὶ ἀναισθήτου παθήματος τὰς αἰτίας λαμβάνωμεν, ἀναμιμνησκόμενοι τὸ τῆς εὐκινήτου τε * καὶ δυσκινήτου φύσεως ὅτι διειλόμεθα B
ἐν τοῖς πρόσθεν· ταύτῃ γὰρ δὴ ***) μεταδιωκτέον πάντα ὅσα ἐπινοοῦμεν ἑλεῖν. τὸ μὲν γὰρ †) κατὰ φύσιν εὐκίνητον, ὅταν καὶ βραχὺ πάθος εἰς αὐτὸ ἐμπίπτῃ, διαδίδωσι κύκλῳ μόρια ἕτερα ἑτέροις ταὐτὸν ἀπεργαζόμενα, μέχριπερ ἂν ἐπὶ τὸ φρόνιμον ἐλθόντα ἐξαγγείλῃ τοῦ ποιήσαντος τὴν δύναμιν· τὸ δ' ἐναντίον ἑδραῖον ὂν κατ' οὐδένα τε κύκλον ἰὸν πάσχει μόνον, ἄλλο δὲ οὐ κινεῖ τῶν πλησίον ††), ὥστε οὐ διαδιδόντων μορίων * μορίοις ἄλλων ἄλλοις τὸ πρῶτον πά- C

---

*) ἀλλ. ἄλλα ἄλλοις. **) γρ. ἂν εὑρεθήσεται.
***) γρ. γάρ. †) γρ. τὸ γάρ. ††) γρ. πλησίων.

terram nonnumquam ipsam trahimus in dissimilem aërem vi et praeter naturam, quum ambo cognatum appetant. minus vero facilius maiore et prius vi coactum ad dissimile sequitur; et leve id diximus locumque ad quem cogimus superiorem, contra autem affectum grave et locum inferiorem. haec igitur diverso modo se habere ad se ipsa necesse est propterea quod multitudines generum locum inter se contrarium obtinent; nam in altero loco leve ei quod in contrario est levi, grave gravi, inferiori inferius et superius superiori opposita et obliqua et prorsus diversa inter se reperiemus et fieri et esse; hoc tamen unum statuendum de his omnibus, viam quae quidque ad cognatum ducat grave efficere id quod feratur, et locum in quem id feratur inferiorem, ea autem quae aliter se habeant, alia esse. et harum quidem affectionum haec dictae sunto causae. levis porro et asperae affectionis causam quilibet qui perspectam habuerit etiam alteri potuerit dicere; hanc enim durities cum inaequalitate commixta, illam vero aequalitas cum densitate coniuncta efficit.

Maxima restat communium totius corporis affectionum, iucundarum et acerbarum, causa in iis quae exposuimus et quaecumque per corporis partes sensus nanciscuntur et dolores in semet ipsis simulque voluptates habent comites. ita igitur omnium quae sub sensum cadunt vel eum fugiunt affectionum causas percipiamus, recordati naturam nos quae facile movetur et quae difficile supra distinxisse; hac enim ratione investiganda sunt omnia quae cogitamus assequi. in id videlicet quod natura facile movetur quando etiam brevis affectio incidit, transfundunt eam circumcirca partes aliae in alias idem efficientes, dum ad prudentem partem delatae vim eius quod illam iniecit nuncient; contrarium vero quod stabile est nullumque per orbem progreditur, patitur tantummodo, nec ullam movet vicinarum partium, ut, aliis partibus in alias eam non transfundentibus, prima

θος ἐν αὐτοῖς ἀκίνητον εἰς τὸ πᾶν ζῶον γενόμενον ἀναίσθητον παρέσχε τὸ παθόν. ταῦτα δὲ περί τε ὀστᾶ καὶ τρίχας ἐστὶ καὶ ὅσα ἄλλα γήϊνα τὸ πλεῖστον ἔχομεν ἐν ἡμῖν μόρια· τὰ δὲ ἔμπροσθεν περὶ τὰ τῆς ὄψεως καὶ ἀκοῆς μάλιστα, διὰ τὸ πυρὸς ἀέρος τε ἐν αὐτοῖς δύναμιν ἐνεῖναι μεγίστην. τὸ δὴ τῆς ἡδονῆς καὶ λύπης ὧδε δεῖ διανοεῖσθαι. τὸ μὲν παρὰ φύσιν καὶ * βίαιον γιγνόμενον ἀθρόον παρ' D ἡμῖν πάθος ἀλγεινόν, τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον ἡδύ *), τὸ δ' ἐναντίον τούτοις ἐναντίως. τὸ δὲ μετ' εὐπετείας γιγνόμενον ἅπαν αἰσθητὸν μὲν ὅτι μάλιστα, λύπης δὲ καὶ ἡδονῆς οὐ μετέχον, οἷον τὰ περὶ τὴν ὄψιν αὐτὴν παθήματα, ἣ **) δὴ σῶμα ἐν τοῖς ἔμπροσθεν ἐῤῥήθη καθ' ἡμέραν ξυμφυὲς ἡμῶν ***) γίγνεσθαι. ταύτῃ γὰρ τομαὶ μὲν καὶ καύσεις καὶ ὅσα ἄλλα * πάσχει****) λύπας οὐκ ἐμποιοῦσιν, E οὐδὲ ἡδονὰς πάλιν ἐπὶ ταὐτὸν ἀπιούσης εἶδος, μέγισται δὲ αἰσθήσεις καὶ σαφέσταται καθότι τ' ἂν πάθῃ καὶ ὅσων ἂν αὐτή πῃ προσβάλλουσα ἐφάπτηται· βία γὰρ τὸ πάμπαν οὐκ ἔνι τῇ διακρίσει τε αὐτῆς καὶ ξυγκρίσει. τὰ δὲ ἐκ μειζόνων μερῶν σώματα μόγις εἴκοντα τῷ δρῶντι, διαδιδόντα δὲ εἰς ὅλον τὰς κινήσεις, ἡδονὰς ἴσχει καὶ λύπας, ἀλλοτριούμενα μὲν λύπας, * καθιστάμενα δὲ εἰς ταὐτὸν πάλιν ἡδονάς. ὅσα δὲ κατὰ 65 σμικρὸν τὰς ἀποχωρήσεις ἑαυτῶν καὶ κενώσεις εἴληφε, τὰς δὲ πληρώσεις ἀθρόας καὶ κατὰ μεγάλα, κενώσεως μὲν ἀναίσθητα, πληρώσεως δὲ αἰσθητικὰ γιγνόμενα, λύπας μὲν οὐ παρέχει τῷ θνητῷ τῆς ψυχῆς, μεγίστας δὲ ἡδονάς· ἔστι δ' ἔνδηλα περὶ τὰς εὐωδίας. ὅσα δὲ ἀπαλλοτριοῦται μὲν ἀθρόα, κατὰ σμικρὰ δὲ μόγις τε εἰς ταὐτὸν πάλιν ἑαυτοῖς καθίσταται, * τοὐναντίον B τοῖς ἔμπροσθεν πάντα ἀποδίδωσι· ταῦτα δ' αὖ περὶ τὰς καύσεις καὶ τομὰς τοῦ σώματος γιγνόμενά ἐστι κατάδηλα.

Καὶ τὰ μὲν δὴ κοινὰ τοῦ σώματος παντὸς παθήματα, τῶν τε ἐπωνυμιῶν ὅσαι τοῖς δρῶσιν αὐτὰ γεγόνασι, σχεδὸν εἴρηται· τὰ δ' ἐν ἰδίοις μέρεσιν ἡμῶν γιγνόμενα, τά τε πά-

(*) ἄλλ. ἡδύ, τὸ δὲ ἠρέμα καὶ κατὰ σμικρὸν ἀναίσθητον. **) γρ. ἣ. ***) ἴσ. τῷ καθ' ἡμέραν φωτὶ ξυμφυὲς ἡμῖν. ****) ἴσ. ὅσα ἄλλα τι πάσχει.

affectio in iis immobilis totum in animal influens ſenſus expers exhibeat id quod afficitur. haec autem oſſibus et crinibus aliisque omnibus accidunt quae terrena maximam partem in nobis habemus; ſuperiora autem viſui et auditui maxime, quia ignis et aëris in his maxima vis ineſt. de voluptate igitur et dolore hoc oportet ſentiri. affectio quidem a natura averſa et violenta copioſe ad nos affluens acerba, ad naturam revertens itidem copioſe iucunda, contraria vero harum contrario ſe modo habet. quaecumque autem magna cum facilitate obtingit, ſenſum quidem movet quam maxime, doloris vero et voluptatis expers eſt, velut oculorum ipſorum affectiones, quos quidem corpus ſupra diximus luci diurnae cognatum nobis exſtitiſſe. his enim inciſiones et uſtiones et quaecumque alia quid patitur dolores non iniiciunt, neque etiam voluptates quum in eandem revertitur ſpeciem, maximi autem ſenſus et clariſſimi moventur, quatenus afficiuntur ipſique forte in aliquid incurrunt idque attingunt; violentia enim nulla ineſt in eorum ſecretione et concretione. corpora autem e maioribus partibus conflata vix cedentia ei quod afficit, et in totum transfundentia motus, voluptates habent et dolores, de ſtatu quidem deducta dolores, reſtituta vero in eundem voluptates. quaecumque autem paullatim ſeceſſiones et vacuitates ſui accipiunt, expletiones autem copioſas et continuo, expletionem non ſentientia, expletionem vero percipientia, dolores nullos afferunt mortali animi parti, ſummas vero voluptates; quod quidem intelligitur e ſuavibus odoribus. quaecumque vero alienantur ſimul, paullatim vero et vix in priſtinum ſuum ſtatum reſtituuntur, contra atque ſuperiora omnia exhibent; haec quoque in uſtionibus et inciſionibus corporis ſunt manifeſta.

Iam communes quidem corporis cuiusque affectiones et nomina iis indita quae eas efficiunt fere expoſita ſunt; quae vero in propriis noſtri partibus accidunt af-

θη καὶ τὰς αἰτίας τῶν δρώντων αὐτά, πειρατέον εἰπεῖν,
ἄν πῃ δυνώμεθα. * πρῶτον μὲν οὖν ὅσα τῶν χυμῶν πέρι C
λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδι' ὄντα παθήματα
περὶ τὴν γλῶτταν, ἐμφανιστέον ᾗ δυνατόν. φαίνεται δὲ καὶ
ταῦτα, ὥςπερ οὖν καὶ τὰ πολλά, διὰ ξυγκρίσεών τέ τινων
καὶ διακρίσεων γίγνεσθαι, πρὸς δὲ αὐταῖς κεχρῆσθαι μᾶλ-
λόν τι τῶν ἄλλων τραχύτησί τε καὶ λειότησιν. ὅσα μὲν
γὰρ εἰςιόντα περὶ τὰ φλέβια, οἱόνπερ δοκίμια †) τῆς
γλώττης τεταμένα ἐπὶ τὴν * καρδίαν, εἰς τὰ νοτερὰ τῆς σαρ- D
κὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήϊνα μέρη κατατηκόμενα ξυν-
άγει τὰ φλέβια καὶ ἀποξηραίνει, τραχύτερα μὲν ὄντα στρυ-
φνά, ἧττον δὲ τραχύνοντα αὐστηρὰ φαίνεται. τὰ δὲ τούτων
τε ῥυπτικὰ καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα πέρα
μὲν τοῦ μετρίου τοῦτο δρῶντα καὶ προςεπιλαμβανόμενα,
ὥςτε ἀποτήκειν αὐτῆς τι τῆς φύσεως, οἷον ἡ τῶν λίτρων δύ-
ναμις, πικρὰ πάνθ' οὕτως * ὠνόμασται· τὰ δὲ ὑποδεέστε- E
ρα τῆς λιτρώδους ἕξεως ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα
ἁλυκὰ ἄνευ πικρότητος τραχείας καὶ φίλα μᾶλλον ἡμῖν φαν-
τάζεται. τὰ δὲ τῇ τοῦ στόματος θερμότητι κοινωνήσαντα
καὶ λειαινόμενα ὑπ' αὐτοῦ, ξυνεκπυρούμενα καὶ πάλιν αὐτὰ
ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε ὑπὸ κουφότητος
ἄνω πρὸς τὰς τῆς κεφαλῆς αἰσθήσεις, τέμνοντά τε πάνθ'
ὅσοις *) ἂν προςπίπτῃ, διὰ ταύτας * τὰς δυνάμεις δριμέα 66
πάντα τὰ τοιαῦτα ἐλέχθη. τῶν δὲ αὐτῶν προλελεπτυσμένων
μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων,
καὶ τοῖς ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσι καὶ ὅσα ἀέρος ξυμ-
μετρίαν ἔχοντα **), ὥςτε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυ-
κᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε καὶ εἰς ἕτερα ἐνδυό-
μενα ἕτερα κοῖλα ἀπεργάζεσθαι, περιτεινόμενα τοῖς εἰςιοῦ-
σιν — ἃ δὴ νοτίδος περὶ * ἀέρα κοίλης περιταθείσης, τοτὲ B
μὲν γεώδους, τοτὲ δὲ καὶ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος
ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι, καὶ τὰ μὲν τῆς καθαρᾶς
διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας, τὰ δὲ
τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ αἰρομένης, ζέσιν τε

---

†) ἄλλ. δοκιμεῖα. *) ἄλλ. ὁπόσοις. **) ἴσ. ἐχόντων.

fectiones et caussas eorum quae illas afferunt conandum dicere, si qua potuerimus; ac primum quidem quae de humoribus agentes in superioribus praetermisimus, proprias illas quidem linguae affectiones, patefacienda quoad eius fieri poterit. videntur autem haec quoque, sicut pleraque, per concretiones quasdam et secretiones fieri, et praeter has multo magis quam reliqua asperitatibus et levitatibus uti. quaecumque enim intrantia in venas, quae tamquam probationes linguae ad cor extenduntur, et in humidas mollesque carnis partes incidentia, easque terrenas liquefactas, contrahunt venas et exsiccant, ea, si asperiora sunt, acerba, minus vero aspera austera se exhibent, ex his autem quae purgant omniaque linguae adhaerentia abluunt, si ultra modum id faciunt et insuper assumunt ut de ipsa natura aliquid liquefaciant et consumant, velut nitri vis, amara omnia haec appellata sunt; ea contra quae moderatiora sunt nitri habitu leniusque abluunt salsa sine amaritudine aspera grataque magis nobis videntur. quae vero calorem cum ore communicant, ab eo emolliuntur, simul exardescunt rursusque incendunt id quod calefacit, pro levitate sua sursum feruntur ad capitis sensus, omniaque secant in quae incidunt, propter has vires acria omnia haec dicuntur. de iisdem vero quae ante extenuantur a putredine et in angustas venas ingrediuntur partibusque ibi exstantibus terrenis et aëriis convenienter se habent, ita ut motu suo efficiant ut illae inter se confundantur, confusae inter se incurrant et in alias ingressae alias cavas efficiant circum eas tensas quae intrant — quippe humore circum aërem cavo tenso, modo terreno modo etiam puro, humida receptacula aëris aquae cavae et globosae fiunt, et ex puro quidem humore quae oriuntur pellucida evadunt bullaeque nominantur, quae vero e terreno, simul agitato et subla-

καὶ ξύμωσιν ἐπίκλην λεχθῆναι*) — τὸ δὲ τούτων αἴτιον τῶν
παθημάτων ὀξὺ προσρηθῆναι. ξύμπασι δὲ τοῖς περὶ ταῦτα
εἰρημένοις πάθος ἐναντίον ἀπ᾽ ἐναντίας ἐστὶ προφάσεως·
* ὁπόταν ἡ τῶν εἰσιόντων ξύστασις ἐν ὑγροῖς, οἰκεία τῇ C
τῆς γλώττης ἕξει πεφυκυῖα, λειαίνῃ μὲν ἐπαλείφουσα τὰ
τραχυνθέντα, τὰ δὲ παρὰ φύσιν ξυνεστῶτα ἢ κεχυμένα τὰ
μὲν ξυνάγῃ, τὰ δὲ χαλᾷ, καὶ πάνθ᾽ ὅτι μάλιστα ἱδρύῃ κα-
τὰ φύσιν, ἡδὺ καὶ προσφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα
τῶν βιαίων παθημάτων γιγνόμενον κέκληται γλυκύ.

Καὶ τὰ μὲν δὴ ταύτῃ ταῦτα· περὶ δὲ δὴ τὴν * τῶν μυ- D
κτήρων δύναμιν εἴδη μὲν οὐκ ἔνι· τὸ γὰρ τῶν ὀσμῶν πᾶν
ἡμιγενές· εἴδει δὲ οὐδενὶ ξυμβέβηκε ξυμμετρία πρὸς τό τινα
σχεῖν ὀσμήν. ἀλλ᾽ ἡμῶν αἱ περὶ ταῦτα φλέβες πρὸς μὲν τὰ
γῆς ὕδατός τε γένη στενότεραι ξυνέστησαν, πρὸς δὲ τὰ πυ-
ρὸς ἀέρος τε εὐρύτεραι· διὸ τούτων οὐδεὶς οὐδενὸς ὀσμῆς
πώποτε ᾔσθετό τινος, ἀλλ᾽ ἀεὶ βρεχομένων ἢ σηπομένων ἢ
τηκομένων ἢ θυμιωμένων * γίγνονταί τινων· μεταβάλλον- E
τος γὰρ ὕδατος εἰς ἀέρα ἀέρος τε εἰς ὕδωρ ἐν τῷ μεταξὺ
τούτων γεγόνασιν, εἰσί τε ὀσμαὶ ξύμπασαι καπνὸς ἢ ὁμί-
χλη· τούτων δὲ τὸ μὲν ἐξ ἀέρος εἰς ὕδωρ ἰὸν ὁμίχλη, τὸ δὲ
ἐξ ὕδατος εἰς ἀέρα καπνός· ὅθεν λεπτότεραι μὲν ὕδατος,
παχύτεραι δὲ ὀσμαὶ ξύμπασαι γεγόνασιν ἀέρος. δηλοῦνται
δέ, ὁπόταν τινὸς ἀντιφραχθέντος περὶ τὴν ἀναπνοὴν ἄγῃ
τις βίᾳ τὸ πνεῦμα εἰς αὑτόν· τότε γὰρ ὀσμὴ μὲν οὐδεμία
ξυνδιηθεῖται, τὸ δὲ πνεῦμα τῶν ὀσμῶν ἐρημωθὲν αὐτὸ μόνον
ἕπεται. δυ᾽**) οὖν ταῦτα ἀνώνυμα τὰ τούτων * ποικίλματα γέ- 67
γονεν, οὐκ ἐκ πολλῶν οὐδ᾽ ἁπλῶν εἰδῶν ὄντα, ἀλλὰ διχῇ τό
θ᾽ ἡδὺ καὶ τὸ λυπηρὸν αὐτόθι μόνω διαφανῆ λέγεσθον,
τὸ μὲν τραχῦνόν τε καὶ βιαζόμενον τὸ κύτος ἅπαν, ὅσον
ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται, τὸ δὲ ταὐ-
τὸν τοῦτο καταπραῦνον καὶ πάλιν ᾗ πέφυκεν ἀγαπητῶς
ἀποδιδόν.

Τρίτον δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπισκοποῦσι τὸ περὶ

---

*) γρ. κληθῆναι.
**) γρ. διά.

to, fervere et fermentari dicuntur — has igitur affectiones quod affert id acidum appellatur. omnium vero de his dictorum contraria affectio contrariam habet caussam; etenim quando intrantium coagmentatio in humidis, natura illa quidem conveniens linguae habitui, mollit demulcendo exasperata, et praeter naturam concreta laxat aut diffusa contrahit omniaque quam maxime secundum naturam constituit, omne hoc quod iucunda et cuique accepta violentarum affectionum medicina est, dulce vocatur.

Atque haec quidem ita se habent; quod vero ad narium vim attinet, nullae sunt in ea species; odores enim omnes dimidiati sunt generis; et nulli speciei obtingit ea convenientia ut odorem aliquem habeat. sed nostrae circa haec venae ad terrae et aquae genera angustiores, ad ignis vero et aëris genera latiores factae sunt; quocirca nemo umquam ullius horum odorem percepit aliquem, sed semper si madefacta vel putrefacta vel liquefacta vel suffita sunt odores exsistunt; quum enim aqua in aërem et aër in aquam mutatur, in his mediis exsistunt, suntque odores omnes ad unum fumus vel nebula, et horum quidem quod ex aëre in aquam transit nebula, quod vero ex aqua in aërem fumus. unde tenuiores quidem aquae, crassiores vero odores omnes sunt aëris. quod quidem perspicitur, quando, si quid respirationem obstruit, spiritum vi in te traxeris; tum enim odor quidem nullus una transfunditur, spiritus vero ab odoribus destitutus solus sequitur. duae igitur hae illorum varietates sunt nomine carentes, non e multis neque e simplicibus profectae formis, sed bifariam, suavis una, altera acerba, ibi solae conspicuae dicuntur, haec quidem exasperans et violans complexum totum, qui inter verticem et umbilicum interiectus est, illa vero eundem hunc mitigans iucundeque in statum naturae convenientem restituens.

Tertiam vero in nobis partem sentiendi vi praedi-

τὴν ἀκοήν, δι' ἃς αἰτίας * τὰ περὶ αὐτὸ ξυμβαίνει πα- B
θήματα, λεκτέον. ὅλως μὲν οὖν φωνὴν θῶμεν τὴν δι'
ὤτων ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς
πληγὴν διαδιδομένην, τὴν δὲ ὑπ' αὐτῆς κίνησιν, ἀπὸ τῆς
κεφαλῆς μὲν ἀρχομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπα-
τος ἕδραν, ἀκοήν· ὅση δ' αὐτῆς ταχεῖα, ὀξεῖαν, ὅση δὲ βρα-
δυτέρα, βαρυτέραν· τὴν δὲ μίαν *) ὁμαλήν τε καὶ λείαν, τὴν
δ' ἐναντίαν * τραχεῖαν· μεγάλην δὲ τὴν πολλήν, ὅση δ' C
ἐναντία, σμικράν. τὰ δὲ περὶ **) ξυμφωνίας αὐτῶν ἐν τοῖς
ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.

Τέταρτον δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικόν, ὃ διε-
λέσθαι δεῖ συχνὰ ἐν ἑαυτῷ ποικίλματα κεκτημένον, ἃ
ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων
ἑκάστων ἀποῤῥέουσαν, ὄψει ξύμμετρα μόρια ἔχουσαν πρὸς
αἴσθησιν. ὄψεως δὲ ἐν τοῖς πρόσθεν αὐτῶν περὶ τῶν αἰτίων
τῆς * γενέσεως ἐῤῥήθη. τῇδ' οὖν τῶν χρωμάτων πέρι μά- D
λιστα εἰκὸς πρέποι τ' ἂν ἐπιεικεῖ λόγῳ διεξελθεῖν, τὰ
φερόμενα ἀπὸ τῶν ἄλλων μορίων †) ἐμπίπτοντά τε εἰς τὴν
ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δ' ἴσα τοῖς αὐτῆς
τῆς ὄψεως μέρεσιν εἶναι. τὰ μὲν οὖν ἴσα ἀναίσθητα, ἃ δὴ καὶ
διαφανῆ λέγομεν, τὰ δὲ μείζω καὶ ††) ἐλάττω, τὰ μὲν ξυγκρίνον-
τα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ
ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶτταν * στρυφνοῖς καὶ ὅσα θερ- E
μαντικὰ ὄντα δριμέα ἐκαλέσαμεν ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ
τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει
ταὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας τὰς αἰτίας. οὕ-
τως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως
λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δ' ὀξυτέραν
φορὰν καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν καὶ δια-
κρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀμμάτων, αὐτάς τε τῶν
ὀφθαλμῶν τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν,
* πῦρ μὲν καὶ ὕδωρ ἀθρόον, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέ- 68
ουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν, καὶ τοῦ
μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπ' ἀστραπῆς, τοῦ δ' εἰσιόντος

*) ἄλλ. ὁμοίαν.
**) γρ. τὰς δὲ περὶ ξ.
†) ἄλλ. μόρια.
††) γρ. ἤ.

tam, auditum, confiderantibus exponendum est, quibus e caufis eius affectiones exfiftant. in universum igitur vocem ponamus ictum esse ab aëre per aures excitatum cerebri et sanguinis usque ad animum transfusum, et motionem ab eo excitatam, a capite exordientem et in iecoris sede definentem, auditum, eamque quae velox, acutam, quae vero tardior, graviorem; et unam quidem aequalem et lenem, contrariam vero asperam; magnam porro ingentem, contrariam parvam. de concentu autem earum in iis quae infra dicenda sunt exponi oportet.

Quartum iam restat adhuc genus nobis sentiendi vi praeditum, quod explicari oportet multas in se varietates habens, quas omnes ad unum colores nominavimus, flammam e corporibus quibusque effluentem, visui congruentes partes habentem ad sensum. de ipsis vero caufis quae visum produxerunt supra expositum est. itaque de coloribus maxime convenit ac decet oratione consentanea disserere, ea quae ceteris partibus ferantur et in visum incurrant partim minora, partim maiora, partim aequalia esse ipsius visus partibus. et aequalia quidem sub sensum non cadunt, quae etiam pellucida dicimus, maiora autem et minora, contrahentia et discernentia visum, eis quae ad carnem calida et frigida et ad linguam acerba sunt et quaecumque calefaciendi vi praedita nominavimus acria, cognata sunt, alba et nigra, quae illorum sunt affectiones in alio genere eaedem, videntur autem aliae propter has causas. ita igitur illa appellanda sunt, id quod visum discernit album, et contrarium eius nigrum; vehementiorem autem motionem, eamque alius generis ignis, incidentem, visum usque ad oculos discernentem ipsasque oculorum vias dispellentem vi atque liquefacientem, quae ignem quidem simulque aquam, quam lacrymam dicimus, inde effundit, ipsa vero ignis est, ex adverso occurrens, quo partim exsiliente velut a fulgure partim ingrediente et in

καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κινήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προςείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς * γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ B κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ χρῶμα ἔναιμον παρασχομένῃ *), τοὔνομα ἐρυθρὸν λέγομεν· λαμπρόν τε ἐρυθρῷ λευκῷ τε μιγνύμενον ξανθὸν γέγονε· τὸ δ' ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχοι **) τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε * κραθὲν ἁλουργοῦν· C ὄρφνινον δέ, ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε μᾶλλον ξυγκραθῇ μέλαν. πυῤῥὸν δὲ ξανθοῦ τε καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος, τὸ δὲ ὠχρὸν λευκοῦ ξανθῷ μεμιγμένου. λαμπρὸν δὲ λευκῷ ***) ξυνελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν κυανοῦν χρῶμα ἀποτελεῖται, κυανοῦ δὲ λευκῷ κεραννυμένου γλαυκόν, πυῤῥοῦ δὲ μέλανι πράσιον. τὰ δὲ ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα * μίξεσι διασώζοι τὸν εἰκότα μῦθον. εἰ D δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν ξυγκεραννύναι καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανὸς ὡς ἐπιστάμενος ἅμα καὶ δυνατός †), ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτε ἔστι νῦν οὔτ' εἰςαῦθίς ποτ' ἔσται.

Ταῦτα δὴ * πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης ὁ E τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν τελεώτατον θεὸν ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός. διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα

---

*) ἴσ. μιγνύμενον — παρασχόμενον. **) ἄλλ. νοῦν ἔχει. ἴσ. νοῦν ἂν ἔχοι. ***) ἄλλ. λαμπρῷ δὲ λευκόν. †) ἴσ. δυνατὸς ὤν.

humido evanefcente colores exfiftunt ex hac permixtione varii omnisque generis, hanc igitur affectionem fulgorem vocamus et id quod eam infert fplendidum et lucens nuncupamus. ignis porro genus inter haec medium, quod ad oculorum quidem humorem pervenit et cum eo mifcetur, neque tamen lucet, fed per humorem cum ignis fplendore mifcetur fanguineumque colorem exhibet, rubrum appellamus; et fplendidum cum rubro et albo mixtum fit flavum; quanta vero fingulorum fit menfura, hoc, nec fi quis fciat, prudentiae fit dicere, quorum neque neceffitatem aliquam neque probabilem rationem fatis quis potuerit afferre. rubrum vero cum nigro et albo temperatum purpureum fit, fubfufcum autem, quando his commixtis et uftis plus nigri admifcetur. rufum ex albi et fufci permixtione nafcitur, fufcum ex albi et nigri coniunctione, et pallidum quum album cum flavo mifcetur. fplendidum fi cum albo temperatur et in nigrum copiofum incidit, color efficitur caeruleus, caeruleo cum albo temperato caefius, et rufo cum nigro viridis, reliqui autem colores ex his perfpicitur quibus asfimilati permixtionibus fervent probabilem orationem. fi quis autem revera confiderando horum periculum faciat, is humanae et divinae naturae discrimen ignoret, deum videlicet multa in unum poffe commifcere rurfusque unum in multa disfolvere, quippe fcientia et potentia praeditum, hominum autem nullum ad quicquam horum efficiendum neque nunc valere neque in pofterum umquam valiturum effe.

Haec igitur omnia tum ita comparata ex neceffitate pulcherrimi et optimi operis effector in iis quae genita funt asfumpfit, quum deum procrearet totum aptum ex fe et perfectisfimum, adhibens quidem harum rerum caufas fervientes, bene vero conftitutum ipfe in omnibus quae genita funt fabricans. quocirca oportet duas caufae fpecies nos diftinguere, neceffariam unam, alteram divinam, et divinam quidem in omnibus quae-

εὐδαίμονος βίου, καθ' ὅσον ἡμῶν ἡ φύσις * ἐνδέχεται, τὸ 69
δὲ ἀναγκαῖον ἐκείνων χάριν, λογιζομένους ὡς ἄνευ τούτων
οὐ δυνατὰ αὐτὰ ἐκεῖνα, ἐφ' οἷς σπουδάζομεν, μόνα κατα-
νοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως πως μετασχεῖν.

Ὅτ' οὖν δὴ τὰ νῦν οἷα τέκτοσιν ἡμῖν ὕλη παράκειται
τὰ τῶν αἰτίων γένη διυλασμένα, ἐξ ὧν τὸν ἐπίλοιπον λό-
γον δεῖ ξυνυφανθῆναι, πάλιν ἐπ' ἀρχὴν ἀνέλθωμεν διὰ
βραχέων ταχύ τε εἰς ταὐτὸν πορευθῶμεν ὅθεν δεῦρο ἀφι-
κόμεθα, καὶ τελευτὴν ἤδη κεφαλήν * τε τῷ μύθῳ πειρώ- B
μεθα ἁρμόττουσαν ἐπιθεῖναι τοῖς πρόσθεν. ὥσπερ γὰρ οὖν
καὶ κατ' ἀρχὰς ἐλέχθη, ταῦτα ἀτάκτως ἔχοντα ὁ θεὸς ἐν
ἑκάστῳ τε αὐτῷ πρὸς αὑτὸ καὶ πρὸς ἄλληλα ξυμμετρίας ἐνε-
ποίησεν, ὅσας τε καὶ ὅπῃ δυνατὸν ἦν ἀνάλογα καὶ ξύμμε-
τρα εἶναι. τότε γὰρ οὔτε τούτων ὅσον μὴ τύχῃ τι μετεῖ-
χεν, οὔτε τὸ παράπαν ὀνομάσαι τῶν νῦν ὀνομαζομένων
ἀξιόλογον ἦν οὐδέν, οἷον πῦρ *) καὶ ὕδωρ καί τι **)
τῶν ἄλλων· ἀλλὰ πάντα ταῦτα * πρῶτον διεκόσμησεν, C
ἔπειτα ἐκ τούτων πᾶν τόδε ξυνεστήσατο, ζῷον ἓν ζῷα ἔχον
ἅπαντα ἐν αὑτῷ θνητὰ ἀθάνατά τε. καὶ τῶν μὲν θείων αὐ-
τὸς γίγνεται δημιουργός, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς
ἑαυτοῦ γεννήμασι δημιουργεῖν προσέταξεν. οἱ δὲ μιμούμενοι,
παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο θνη-
τὸν σῶμα αὐτῇ ***) περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα
ἔδοσαν, ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ †)
θνητόν, * δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον· D
πρῶτον μὲν ἡδονήν, μέγιστον κακῶν δέλεαρ, ἔπειτα λύπας,
ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάῤῥος καὶ φόβον, ἄφρονε ξυμ-
βούλω, θυμόν τε δυσπαραμύθητον, ἐλπίδα τ' ††) εὐπαρά-
γωγον· αἰσθήσει τε ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι·
ξυγκερασάμενοι τ' αὐτὰ ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθε-
σαν. καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι
μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην

*) γρ. οἷόν περ. **) ἄλλ. εἴ τι. ***) γρ. αὐτοί.
†) γρ. προσῳκοδομοῦντο.
††) ἄλλ. θυμὸν δὲ — ἐλπίδα δ'.

rere vitae beatae adipiſcendae cauſa, quantum naturae noſtrae licet, neceſſariam vero illorum cauſa, reputantes ſine his non poſſe illa ipſa, ad quae ſtudium noſtrum conferamus, ſola intelligi neque comprehendi neque alia qua ratione acquiri.

Quoniam igitur nunc tamquam fabris nobis materia propoſita ſunt cauſarum genera ad materiam praeparata, e quibus reliquam oportet orationem contexi, rurſus ad initium nos referamus paucis verbis ſtatimque eodem redeamus unde huc declinavimus, et finem iam concluſionemque conemur orationi convenientem imponere ſupra dictis. quemadmodum initio iam monuimus, haec quum inordinata eſſent, deus cuique et ad ſe ipſum et ad cetera convenientiam iniecit, quatenus poterant reſpondere inter ſe atque convenire. tunc enim neque quicquam horum compos erat niſi forte caſu, neque omnino quicquam eorum quae nunc appellantur dignum erat quod hoc nomine ſignaretur, velut ignis et aqua et reliquorum aliquid; ſed omnia haec primum in ordinem adduxit, deinde ex his univerſum hocce compoſuit, animal unum cuncta in ſe continens animalia tam mortalia quam immortalia. ac divinorum quidem ipſe exſiſtit fabricator, mortalium vero procreationem proli ſuae mandavit. hi autem imitantes et principium animi immortale ſumentes mortale deinde corpus ei circumdederunt et vehiculum totum corpus praebuerunt, aliamque ſpeciem animi in eo adſtruxerunt, vehementes et neceſſarias in ſe habentem affectiones; primum voluptatem, maximam malorum eſcam, deinde dolores, malorum fugas, praeterea audaciam et metum, amentes conſiliarios, et iracundiam implacabilem, ſpemque quae facile ducitur a ſenſu rationis experte omniumque molitore amore; quas quidem commiſcentes neceſſario mortale genus conſtruxerunt. et hanc quidem ob cauſam verentes divinum polluere, niſi prorſus neceſſe erat, ſeorſum ab illo collocant in alio corpo-

* τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοι- E
κοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα με-
ταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ
καλουμένῳ θώρακι τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν.
καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς, τὸ δὲ χεῖρον πεφύκει,
διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες * οἷον 70
γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διά-
φραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς
ψυχῆς ἀνδρείας καὶ θυμοῦ, φιλόνεικον ὄν, κατῴκισαν ἐγγυ-
τέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα
τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπι-
θυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπι-
τάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. Τὴν δὲ
δὴ καρδίαν, νᾶμα *) τῶν φλεβῶν καὶ πηγὴν * τοῦ περι- B
φερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος, εἰς τὴν
δορυφορικὴν οἴκησιν κατέστησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ
θυμοῦ μένος **) τοῦ λόγου παραγγείλαντος ὥς τις ***) ἄδι-
κος περὶ αὐτὰ γίγνεται πρᾶξις ἔξωθεν ἢ καί τις ἀπὸ τῶν
ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν,
ὅσον αἰσθητικὸν †) ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων
καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον καὶ ἕποιτο πάντῃ
καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν * ἡγεμονεῖν ἐῷη. C
Τῇ δὲ δὴ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδο-
κίᾳ καὶ τῇ τοῦ θυμοῦ ἐγέρσει, προγιγνώσκοντες ὅτι διὰ πυ-
ρὸς ἡ τοιαύτη πᾶσα ἔμελλεν οἴδησις γίγνεσθαι τῶν θυμουμένων,
ἐπικουρίαν αὐτῇ μηχανώμενοι τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύ-
τευσαν, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἐν-
τὸς ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵνα τό τε πνεῦ-
μα καὶ τὸ πῶμα δεχομένη, ψύχουσα, ἀναπνοὴν καὶ ῥαστώ-
νην ἐν * τῷ καύματι παρέχοι. διὸ δὴ τῆς ††) ἀρτηρίας ὀχε- D
τοὺς ἐπὶ τὸν πλεύμονα ἔτεμον, καὶ περὶ τὴν καρδίαν αὐ-
τὸν περιέστησαν οἷον ἅλμα μαλακόν †††), ἵνα ὁ θυμὸς
ἡνίκα ἐν αὐτῇ ἀκμάζοι (*), πηδῶσα εἰς ὑπεῖκον καὶ ἀνα-

*) γρ. ἅμα. ἄλλ. ἅμμα. **) γρ. γένος. ***) γρ. εἴτις.
†) γρ. αἰσθητόν. ††) γρ. διὸ τάς. †††) ἴσ. μάλαγμα.
(*) γρ. ἀκμάζῃ.

ris domicilio mortale, limitem et terminum construentes inter caput et pectus, cervicem interponentes, ut seorsum esset. in pectore igitur et thorace qui dicitur mortale animi genus illigarunt. et quia una eius pars meliore, altera deteriore est natura, separarunt quoque thoracis complexum distinguentes velut unum mulierum et alterum virorum separatum domicilium, praecordia septum in medio eorum ponentes. eam igitur animi partem quae fortitudinis et irae compos est, quippe contentionis amans, collocarunt propius caput inter praecordia et cervicem, ut rationi obediens una cum illa vi cupiditatum genus cohiberet, quando mandato et orationi ex arce delatae nullo modo vellent ultro parere. Atque cor, radicem venarum et fontem sanguinis per omnia membra cito circumfluentis, in satellitum domicilio collocarunt, ut, quando excandesceret irae vis ratione nunciante iniustum ab aliquo committi facinus extrinsecus vel etiam a cupiditatibus intus, celeriter per omnes angustias, quicquid in corpore sentiendi vim haberet, cohortationes et minas percipiens, obediret, plane sequeretur et optimum ita in iis omnibus imperare fineret. De cordis autem trepidatione in rerum formidolosarum exspectatione iraeque excitatione, praesentientes fore ut per ignem omnis eiusmodi tumor exsisteret iracundia inflammatorum, auxilium ei machinantes pulmonis speciem inseverunt, primum mollem et sanguine carentem, deinde fistulas intus habentem tamquam spongiae perforatas, ut spiritu et potu recepto refrigeraret et respirationem levationemque in aestu praeberet. quocirca arteriae canales in pulmonem inciderunt eumque cordi circumiecerunt tamquam malagma, ut iracundia quando in eo ferveret, saliens in aliquid quod cederet et re-

ψυχομένη, πονοῦσα ἧττον μᾶλλον τῷ λόγῳ μετὰ θυμοῦ δύ-
ναιτο ὑπηρετεῖν. Τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμη-
τικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος
ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ
πρὸς * τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν E
ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμε-
νοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα
ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ τι μέλλοι
ποτὲ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς
φάτνῃ καὶ ὅτι ποῤῥωτάτω τοῦ βουλευομένου κατοικοῦν, θό-
ρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ'
ἡσυχίαν * περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος *) ἐῷ **) βου- 71
λεύεσθαι, διὰ ταῦτ' ἐνταῦθα ἔδοσαν αὐτῷ τὴν τάξιν. εἰ-
δότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ
πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυ-
τον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων
καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυ-
χαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὐτῷ ***) τὴν
τοῦ ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου
* κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυ- B
κὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵν' ἐν αὐτῷ τῶν
διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κα-
τόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φο-
βοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγε-
νεῖ, χαλεπὴ †) προσενεχθεῖσα ἀπειλῇ, κατὰ πᾶν ὑπομιγνῦσα
ὀξέως τὸ ἧπαρ χολώδη χρώματα ἐμφαίνοι, * ξυνάγουσά τε C
πᾶν ῥυσσὸν καὶ τραχὺ ποιοῖ ††), λοβὸν δὲ καὶ δοχὰς †††)
πύλας τε τὸ (*) μὲν ἐξ ὀρθοῦ κατακάμπτουσα καὶ ξυσπῶσα,
τὰ δ' ἐμφράττουσα ξυγκλείουσά τε, λύπας καὶ ἄσας παρέ-
χοι, καὶ ὅτ' αὖ τὰ ἐναντία φάσματα ἀποζωγραφοῖ (**) πρᾳό-
τητός τις ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυ-
χίαν παρέχουσα τῷ μήτε κινεῖν μήτε προσάπτεσθαι τῆς ἐναν-
τίας ἑαυτῇ φύσεως ἐθέλειν, γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο

---

*) γρ. ξυνδιαφέροντος. **) ἴσ. ἐῴη. ***) γρ. αὐτοῦ.
†) ἰσ. χαλεπῇ. ††) γρ. ἐμφαίνει — ποιῇ. †††) γρ. λοχόν. (*) ἴσ. τά. (**) γρ. ὅταν — ἀποζωγραφῇ.

frigerata minus laboraret magisque rationi ipsa adiuvante excandescentia posset obtemperare. Eam porro animi partem quae esculenta et potulenta appetit omniaque quorum indiget propter corporis naturam, inter praecordia terminumque ad umbilicum pertinentem collocarunt, tamquam praesepe in universo hoc corporis loco alimento fabricati; atque deligarunt illam huc quasi belluam feram necessario quum alligata esset nutriendam, siquidem mortale aliquando genus futurum esset. ut igitur semper nutritum ad praesepe et, quum a parte consulente quam longissime habitaret, tumultum et clamorem quam minimum edens optimam animi partem tranquille de eo quod omnibus communiter conduceret consilium inire fineret, hanc ob causam hunc ei dederunt locum. scientes autem eam rationem non esse intellecturam et, licet forte etiam alicuius sensus particeps fieret, tamen hoc ei non insitum fore ut rationes quasdam curaret, sed a simulacris et visis noctes et dies maxime allectum iri, de hoc igitur cogitans deus iecoris speciem cum ea coniunxit et in huius eam domicilio collocavit, densum et leve et splendidum et dulce et amarum machinatus, ut in eo cogitationum vis e ratione proficiscens, velut in speculo firmas recipiente visuique imagines exhibente, terreret illam, quando parte amaritudini cognata usa et ad graves progressa minas per totum se celeriter admisceret iecur et colores ostenderet bilem reddentes contrahensque totum rugosum et asperum efficeret, eam autem partem qui lobus dicitur et receptacula portasque partim a recto statu deflectens et constringens, partim intersepiens et claudens dolores et angores efficeret, et quando contraria visa depingeret mansuetudinis quidam e cogitatione profectus afflatus, amaritudinis quietem afferens eo quod neque movere neque attingere vellet contrariam sibi naturam,

ξυμφύτῳ πρὸς * αὐτὸ χρωμένη καὶ πάντα ὀρθὰ καὶ λεῖα D
αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών τε καὶ εὐήμερον ποιοῖ (*) τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένην καθ' ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ ξυνιστάντες ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέστελλε γένος ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν,* ἵνα ἀληθείας E
πῃ προσάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον. ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ' ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν ἢ διὰ νόσον ἤ τινα ἐνθουσιασμὸν παραλλάξας. ἀλλὰ ξυννοῆσαι μὲν ἔμφρονος τά τε ῥηθέντα ἀναμνησθέντα ὄναρ ἢ ὕπαρ ὑπὸ τῆς μαντικῆς τε καὶ ἐνθουσιαστικῆς φύσεως, καὶ ὅσα ἂν φάσματα * ὀφθῇ, πάντα λογισμῷ διελέσθαι, 72
ὅπῃ τι σημαίνει καὶ ὅτῳ μέλλοντος ἢ παρελθόντος ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ· τοῦ δὲ μανέντος ἔτι τε ἐν τούτῳ μένοντος οὐκ ἔργον τὰ φανέντα καὶ φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν, ἀλλ' εὖ καὶ πάλαι λέγεται τὸ πράττειν καὶ γνῶναι τά τε αὑτοῦ καὶ ἑαυτὸν σώφρονι μόνῳ προσήκειν. ὅθεν δὴ καὶ τὸ τῶν προφητῶν * γένος ἐπὶ ταῖς ἐνθέοις μαν- B
τείαις κριτὰς ἐπικαθιστάναι νόμος· οὓς μάντεις ἐπονομάζουσί τινες, τὸ πᾶν ἠγνοηκότες ὅτι τῆς δι' αἰνιγμῶν οὗτοι φήμης καὶ φαντάσεως ὑποκριταί *), καὶ οὔτι **) μάντεις, προφῆται δὲ μαντευομένων δικαιότατα ὀνομάζοιντ' ἄν.

Ἡ μὲν οὖν φύσις τοῦ ἥπατος διὰ ταῦτα τοιαύτη τε καὶ ἐν τόπῳ ᾧ λέγομεν πέφυκε χάριν μαντικῆς. καὶ ἔτι μὲν δὴ ζῶντος ἑκάστου τὸ τοιοῦτον ***) σημεῖα ἐναργέστερα ἔχει, στερηθὲν δὲ τοῦ ζῆν γέγονε τυφλὸν καὶ τὰ μαντεῖα ἀμυδρώτερα †) ἔσχε τοῦ * τι σαφὲς σημαίνειν. Ἡ δ' αὖ C
τοῦ γείτονος αὐτῷ ξύστασις καὶ ἕδρα σπλάγχνου γέγονεν ἐξ ἀριστερᾶς χάριν ἐκείνου, τοῦ παρέχειν αὐτὸ λαμπρὸν ἀεὶ

(*) γρ. ποιεῖ   *) ἴσ. εἰσὶ κριταί.   **) γρ. οὗτοι.
***) γρ. τῶν τοιούτων.   †) ἴσ. μαντείας ἀμυδροτέρας.

dulcedinem vero natura illi insitam ei adhibens omniaque recta et levia et libera eius dirigens placatam et mansuetam redderet animi partem circa iecur habitantem, ita ut noctu tempus satis traduceret et divinatione uteretur per somnum, quum rationis et prudentiae esset expers. memores enim patris mandati ii qui nos finxerunt, quum mortale genus quam optimum pro viribus eos efficere iussisset, iccirco etiam vilem nostri partem erigentes ut veritatem quodammodo attingeret, vaticinationi hunc constituerunt locum. satis autem hoc argumenti est divinationem deum imprudentiae humanae tribuisse, quod nemo mentis compos praesagitionem assequitur divinam et veram, sed vel per somnum prudentiae vi colligata vel per morbum instinctumve aliquem divinum et afflatum permota. sed prudentis est perspicere recordantem ea quae vel somnians vel vigilans profert natura praesagiens et divino afflatu concitata, et quaecumque visa obiiciantur, omnia reputare et diiudicare, quatenus significent et cui aliquid mali vel boni futuri vel praeteriti vel praesentis; eius autem qui mente incitatus est et adhuc in hoc statu versatur, non est quae viderit et protulerit iudicare, sed bene iam antiquitus dictum est in sapientem solum cadere ut agat et cognoscat et res suas et semet ipsum. quocirca lex est ut interpretes divinis vaticinationibus iudices praeficiantur, quos vates nuncupant quidam prorsus ignorantes, hos oraculorum obscure editorum et visorum esse iudices, neutiquam vates; interpretes vero vaticinantium rectissime dicentur.

Ac natura quidem iecoris has ob causas talis et eo in loco quem diximus vaticinationis causa posita est. et adhuc quidem vivente quoque signa illud manifestiora habet, privatum vero vita caecum exsistit et vaticinationes obscuriores habet quam ut clari quid significet. Vicinorum autem viscerum constructio et sedes a sinistra ei collocata est, ut ipsum splendidum semper et pu-

καὶ καθαρόν, οἷον κατόπτρῳ παρεσκευασμένον καὶ ἕτοιμον ἀεὶ παρακείμενον ἐκμαγεῖον. διὸ δὴ καὶ ὅταν τινὲς ἀκαθαρσίαι γίγνωνται διὰ νόσους σώματος περὶ τὸ ἧπαρ, πάντα ἡ σπληνὸς καθαίρουσα αὐτὰ δέχεται μανότης, ἅτε κοίλου καὶ ἀναίμου ὑφανθέντος· ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων * μέγας καὶ ὕπουλος αὐξάνεται, καὶ πάλιν, ὅταν D καθαρθῇ τὸ σῶμα, ταπεινούμενος εἰς ταὐτὸν ξυνίζει.

Τὰ μὲν οὖν περὶ ψυχῆς, ὅσον θνητὸν ἔχει καὶ ὅσον θεῖον, καὶ ὅπῃ καὶ μεθ' ὧν καὶ δι' ἃ χωρὶς ᾠκίσθη, τὸ μὲν ἀληθές, ὡς εἴρηται, θεοῦ ξυμφήσαντος τότ' ἂν οὕτω μόνως δισχυριζοίμεθα, τό †) γε μὴν εἰκὸς ἡμῖν εἰρῆσθαι, καὶ νῦν καὶ ἔτι μᾶλλον ἀνασκοποῦσι διακινδυνευτέον φάναι καὶ πεφάσθω. * Τὸ δ' ἑξῆς δὴ τούτοισι κατὰ ταὐτὰ μετα- E διωκτέον· ἦν δὲ τὸ τοῦ σώματος ἐπίλοιπον ᾗ γέγονεν. ἐκ δὴ λογισμοῦ τοιοῦδε ξυνίστασθαι μάλιστ' ἂν αὐτὸ πάντων πρέποι.

Τὴν ἐσομένην ἐν ἡμῖν ποτῶν καὶ ἐδεστῶν ἀκολασίαν ᾔδεσαν οἱ ξυντιθέντες ἡμῶν τὸ γένος, καὶ ὅτι τοῦ μετρίου καὶ ἀναγκαίου διὰ μαργότητα πολλῷ χρησοίμεθα πλέονι. ἵν' οὖν μὴ φθορὰ διὰ νόσους ὀξεῖα γίγνοιτο καὶ ἀτελὲς τὸ γένος εὐθὺς τὸ θνητὸν τελευτῴη, ταῦτα * προορώμενοι τῇ 73 τοῦ περιγενησομένου πώματος ἐδέσματός τε ἕξει τὴν ὀνομαζομένην *) κάτω κοιλίαν ὑποδοχὴν ἔθεσαν, εἵλιξάν τε πέριξ τὴν τῶν ἐντέρων γένεσιν, ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον **) τοῦ θειοτάτου τῶν παρ' ἡμῖν.

Τὸ δὲ ὀστῶν καὶ σαρκῶν καὶ τῆς τοιαύτης φύσεως * πέρι πάσης ὧδε ἔσχε. τούτοις ξύμπασιν ἀρχὴ μὲν ἡ τοῦ B μυελοῦ γένεσις· οἱ γὰρ τοῦ βίου δεσμοὶ τῆς ψυχῆς τῷ σώματι ξυνδουμένης ἐν τούτῳ διαδούμενοι κατεῤῥίζουν τὸ θνητὸν γένος· αὐτὸς δὲ ὁ μυελὸς γέγονεν ἐξ ἄλλων. τῶν γὰρ

---

†) ἴσ. ὅ. *) γρ. ὠνομασμένην. **) ἴσ. καὶ ἀνυπήκοον.

rum exhibeant, tamquam ſpeculo praeparatum et in promptu ſemper appoſitum ſimulacrum. quocirca etiam, quum ſordes quaedam exſiſtunt per corporis morbos circa iecur, omnis ſplenis purgans eas recipit raritas, quippe quod cavum ſánguineque carens contextum ſit; unde purgamentis impletum magnum et purulentum intumeſcit, rurſusque corpore purgato depreſſum in idem conſidit.

Atque de animo, quoad mortalis ſit et quoad divinus, et quomodo, cum quibus quasque ob cauſas ſeorſum collocatus fuerit, verum quidem, ut dictum eſt, quum deus asſenſerit, tum demum affirmaverimus, quod vero probabiliter a nobis dicitur, id et nunc et magis etiam conſiderantibus periclitandum eſt, ſumere ſumptumque eſto. Quod vero cum his coniunctum eſt, id eodem modo inveſtigandum; erat autem hoc quomodo reliquum factum ſit corpus. ex hac igitur ratione omnium convenientiſſima ei fuerit conſtructio.

Futuram noſtram potulentorum et eſculentorum intemperantiam perſpectam habuerunt qui genus noſtrum conſtruxerunt, nosque longe ultra modum et neceſſitatem in ea eſſe progreſſuros. ne igitur interitus per morbos praeceps ingrueret et imperfectum ſtatim genus mortale occumberet, hoc providentes reliquiis futuris potionis et cibi inferiorem quae dicitur alvum receptaculum poſuerunt eamque obvolverunt circumcirca inteſtinis, ut ne cito traiectum alimentum cito rurſus alius alimenti indigere corpus cogeret, et inexplebilem iniiciens aviditatem propter ligurritionem a philoſophia et Muſis averſum totum efficeret genus partique noſtri diviniſſimae haud obtemperans.

Oſſium vero et carnis omnisque huius naturae haec eſt ratio. his omnibus principium eſt medullae ortus; vitae enim vincula, quum animus cum corpore colligatus eſſet, in hac conſtricta tamquam radicibus ſtabiliverunt mortale genus; ipſa autem medulla ex aliis gene-

τριγώνων ὅσα πρῶτα ἀστραβῆ καὶ λεῖα ὄντα πῦρ τε καὶ
ὕδωρ καὶ ἀέρα καὶ γῆν δι' ἀκριβείας μάλιστα ἦν παρασχεῖν
δυνατά, ταῦτα ὁ θεὸς ἀπὸ τῶν ἑαυτῶν ἕκαστα γενῶν χω-
ρὶς ἀποκρίνων, μιγνὺς δ' ἀλλήλοις * ξύμμετρα, πανσπερ- C
μίαν παντὶ θνητῷ γένει μηχανώμενος, τὸν μυελὸν ἐξ αὐτῶν
ἀπειργάσατο, καὶ μετὰ ταῦτα δὴ φυτεύων ἐν αὐτῷ κατέδει
τὰ τῶν ψυχῶν γένη, σχημάτων τε ὅσα ἔμελλεν αὖ σχήσειν
οἷά τε καθ' ἕκαστα εἴδη, τὸν μυελὸν αὐτὸν τοσαῦτα καὶ
τοιαῦτα διῃρεῖτο σχήματα εὐθὺς ἐν τῇ διανομῇ τῇ κατ'
ἀρχάς. καὶ τὴν μὲν τὸ θεῖον σπέρμα, οἷον ἄρουραν, μέλ-
λουσαν ἕξειν ἐν αὑτῇ περιφερῆ πανταχῇ πλάσας, ἐπωνό-
μασε τοῦ μυελοῦ * ταύτην τὴν μοῖραν ἐγκέφαλον, ὡς ἀπο- D
τελεσθέντος ἑκάστου ζώου τὸ περὶ τοῦτο ἀγγεῖον κεφαλὴν
γενησόμενον· ὃ δ' αὖ (*) τὸ λοιπὸν καὶ θνητὸν τῆς ψυ-
χῆς ἔμελλε καθέξειν, ἅμα στρογγύλα καὶ προμήκη διῃρεῖτο
σχήματα, μυελὸν δὲ πάντα ἐπεφήμισε, καί, καθάπερ ἐξ
ἀγκυρῶν, βαλλόμενος ἐκ τούτων πάσης ψυχῆς δεσμοὺς περὶ
τοῦτο ξύμπαν ἤδη τὸ σῶμα ἡμῶν ἀπειργάζετο, στέγασμα
μὲν αὐτῷ πρῶτον ξυμπηγνὺς περὶ ὅλον *) * ὀστέινον. Τὸ E
δὲ ὀστοῦν ξυνίστησιν ὧδε. γῆν διαττήσας **) καθαρὰν καὶ
λείαν ἀνεφύρασε***) καὶ ἔδευσε μυελῷ, καὶ μετὰ τοῦτο εἰς πῦρ
αὐτὸ ἐντίθησι, μετ' ἐκεῖνο δὲ εἰς ὕδωρ βάπτει, πάλιν δὲ
εἰς πῦρ αὖθίς τε εἰς ὕδωρ· μεταφέρων δ' οὕτω πολλάκις
εἰς ἑκάτερον ὑπ' ἀμφοῖν ἄτηκτον ἀπειργάσατο. καταχρώμε-
νος δὴ τούτῳ περὶ μὲν τὸν ἐγκέφαλον αὐτοῦ σφαῖραν πε-
ριετόρνευσεν ὀστεΐνην, ταύτῃ δὲ στενὴν διέξοδον κατελίπε-
το· καὶ περὶ τὸν * διαυχένιον ἅμα καὶ νωτιαῖον μυελὸν ἐξ 74
αὐτοῦ σφονδύλους πλάσας ὑπέτεινεν οἷον στρόφιγγας ἀρ-
ξάμενος ἀπὸ τῆς κεφαλῆς διὰ παντὸς τοῦ κύτους. καὶ τὸ πᾶν
δὴ σπέρμα διασώζων οὕτω λιθοειδεῖ περιβόλῳ ξυνέφραξεν,
ἐμποιῶν ἄρθρα, τῇ θατέρου προσχρώμενος ἐν αὐτοῖς ὡς μέσῃ
ἐνισταμένῃ δυνάμει, κινήσεως καὶ κάμψεως ἕνεκα. Τὴν
δ' αὖ τῆς ὀστεΐνης φύσεως ἕξιν ἡγησάμενος τοῦ δέοντος
* κραυροτέραν εἶναι καὶ ἀκαμπτοτέραν, διάπυρόν τ' αὖ B

(*) γρ. ἂν. *) ἴσ. περίβολον. **) γρ. διατρήσας.
***) ἄλλ. ἐφύραρε.

rata est. etenim quaecumque triangula prima recta et levia erant maximeque idonea ad ignem et aquam et aërem et terram accurate exhibenda, haec deus quum a suis quaeque generibus seorsum secrevisset et congruentia inter se miscuisset, seminum omnis generis cinnum universo mortali generi machinatus, medullam ex iis effecit, deinde sevit in ea atque defixit animorum genera, et quot qualesque habitura essent figuras singulae species, medullam ipsam in tot talesque distribuit figuras statim prima in divisione. et eam quidem medullae partem quae divinum semen, tamquam arvum, in se habitura erat, globosam omnibus partibus finxit et appellavit ἐγκέφαλον (cerebrum), quoniam animante quoque absoluto huius receptaculum futura esset κεφαλή (caput); quae vero reliquam et mortalem animi partem erat comprehensura, eam in rotundas simulque oblongas divisit figuras totamque medullam nominavit et, quasi ancora iacta, hac stabilivit universi animi vincula totumque iam corpus nostrum circa eam absolvit, quum prius ei tegumentum compegisset septum osseum. Os autem componit ita. terram cribratam puram et levem subegit medullaque imbuit, et deinde in ignem eam iniicit, postea in aquam immergit, rursusque in ignem iterumque in aquam; et ita saepius in utrumque quum transtulisset effecit ut neutrum eam posset liquefacere. hanc igitur adhibens circa cerebrum globum tornavit osseum, huic vero angustum reliquit transitum; et circa medullam cervicis et dorsi vertebras ex ea finxit, quas subdidit tamquam cardines inde a capite per totum corpus. et omne quidem semen eo servavit quod septo communivit tamquam lapideo, articulos iniiciens motus et flexionis causa, ad quos alterius vim tamquam mediam interiectam adhibuit. Osseae vero naturae habitum quia arbitrabatur rigidiorem esse quam oporteret et a flexione alieniorem et, quum ignitus evasisset rur-

γιγνομένην καὶ πάλιν ψυχομένην σφακελίσασαν ταχὺ δια-
φθερεῖν τὸ σπέρμα ἐντὸς αὐτῆς, διὰ ταῦτα οὕτω τὸ τῶν
νεύρων καὶ τὸ τῆς σαρκὸς γένος ἐμηχανᾶτο, ἵνα τῷ μὲν
πάντα τὰ (*) μέλη ξυνδήσας ἐπιτεινομένῳ καὶ ἀνιεμένῳ περὶ
τοὺς στρόφιγγας καμπτόμενον τὸ σῶμα καὶ ἐκτεινόμενον πα-
ρέχοι, τὴν δὲ σάρκα προβολὴν μὲν καυμάτων, πρόβλημα δὲ
χειμώνων, ἔτι δὲ πτωμάτων οἷον τὰ πιλητὰ ἔσεσθαι κτή-
ματα, * σώμασι μαλακῶς καὶ πρᾴως ὑπείκουσαν, θερμὴν C
δὲ νοτίδα ἐντὸς ἑαυτῆς ἔχουσαν, θέρους μὲν ἀνιδίουσάν τε †)
καὶ νοτιζομένην ἔξωθεν ψῦχος κατὰ πᾶν τὸ σῶμα παρέξειν
οἰκεῖον, διὰ χειμῶνος δὲ πάλιν αὖ τούτῳ τῷ πυρὶ τὸν προςφερό-
μενον ἔξωθεν καὶ περιιστάμενον πάγον ἀμυνεῖσθαι μετρίως.
ταῦτα ἡμῶν διανοηθεὶς ὁ κηροπλάστης, ὕδατι μὲν καὶ πυρὶ καὶ
γῇ ξυμμίξας καὶ ξυναρμόσας, ἐξ ὀξέος καὶ ἁλμυροῦ ξυνθεὶς ζύμω-
μα καὶ * ὑπομίξας αὐτοῖς, σάρκα ἔγχυμον καὶ μαλακὴν ξυνέστησε· D
τὴν δὲ τῶν νεύρων φύσιν ἐξ ὀστοῦ καὶ σαρκὸς ἀζύμου κρά-
σεως, μίαν ἐξ ἀμφοῖν μέσην δυνάμει ξυνεκεράσατο, ξανθῷ
χρώματι προςχρώμενος. ὅθεν ξυντονωτέραν μὲν καὶ γλισχρο-
τέραν σαρκῶν, μαλακωτέραν δὲ ὀστῶν ὑγροτέραν τε ἐκτή-
σατο δύναμιν νεῦρα· οἷς ξυμπεριλαβὼν ὁ θεὸς ὀστᾶ καὶ μυε-
λόν, δήσας πρὸς ἄλληλα νεύροις, μετὰ ταῦτα σαρξὶ πάντα αὐ-
τὰ κατεσκίασεν * ἄνωθεν. ὅσα μὲν οὖν ἐμψυχότατα τῶν ὀστῶν E
ἦν, ὀλιγίσταις ξυνέφραττε σαρξίν, ἃ δ' ἀψυχότατα ἐντός,
πλείσταις καὶ πυκνοτάταις. καὶ δὴ καὶ *) κατὰ τὰς ξυμβολὰς
τῶν ὀστῶν, ὅπῃ μή τινα ἀνάγκην ὁ λόγος ἀπέφαινε δεῖν
αὐτὰς εἶναι, βραχεῖαν σάρκα ἔφυσεν, ἵνα μήτε ἐμποδὼν ταῖς
καμπαῖς οὖσαι δύςφορα τὰ σώματα ἀπεργάζοιντο, ἅτε δυς-
κίνητα γιγνόμενα, μήτ' αὖ πολλαὶ καὶ πυκναὶ σφόδρα τε
ἐν ἀλλήλαις ἐμπεπιλημέναι, διὰ στερεότητα ἀναισθησίαν ἐμ-
ποιοῦσαι, δυςμνημονευτότερα καὶ κωφότερα**) τὰ περὶ τὴν
διάνοιαν ποιοῖεν. διὸ δὴ τό τε τῶν μηρῶν καὶ κνημῶν καὶ
τὸ περὶ * τὴν τῶν ἰσχίων φύσιν τά τε τῶν βραχιόνων ὀστᾶ 75
καὶ τὰ τῶν πήχεων, καὶ ὅσα ἄλλα ἡμῶν ἄναρθρα, ὅσα τε
ἐντὸς ὀστᾶ δι' ὀλιγότητα ψυχῆς ἐν μυελῷ κενά ἐστι φρο-

(*) γρ. τἄλλα. †) γρ. ἀνιδροῦσαν.
*) γρ. καὶ δή. **) γρ. κουφότερα.

fusque refrigeratus, carie exesum cito corrupturum esse semen in se inclusum, hanc ob causam nervorum et carnis genus machinatus est, ut omnia membra colligans illo se adstringente et relaxante circa cardines corpus efficeret sese flectens et extendens, carnem autem arbitratus est fore propugnaculum adversus aestum et munimentum adversus frigus, praeterea adversus casus instar rerum ex lana coacta factarum, corporibus molliter et leniter cedentem, calidum vero humorem in se habentem, qui aestate quidem sudans et madefactus extrinsecus frigus omne per corpus praebiturus esset proprium, hieme autem frigus in hunc ignem invadens extrinsecus et circumfusum satis esset a se propulsaturus. haec spectans is qui nos finxit cum aqua et igne et terra inter se mixtis et concinnatis fermentum ex acido et salso compositum temperavit carnemque conflavit sucei plenam ac mollem; nervorum autem naturam ex ossis et carnis non fermentatae temperatione, unam ex ambobus vi mediam commiscuit, flavum colorem adhibens. unde intentiorem et tenaciorem carnibus et molliorem ossibus atque humidiorem nacti sunt vim nervi; quibus comprehendens deus ossa et medullam, quum nervis ea inter se colligasset, deinde carnibus omnia illa operuit superne. quaecumque vero ossa maxime animata erant, paucissimis consepsit carnibus, quae autem maxime inanimata intus, plurimis ac densissimis. atque etiam commissuris ossium, nisi ubi necessitatem aliquam ratio ostendebat earum adiiciendarum, paucas carnes apposuit, ut neque impedirent flexiones tardaque redderent corpora, quippe quae difficile sese tum motura essent, neque etiam multae et densae firmeque inter se constipatae, propter duritiam stuporem iniicientes, memoriam mentisque aciem praestringerent. quocirca femora et tibiae et coxarum natura et brachiorum cubitorumque ossa et quaecumque alia in nobis articulis carent omniaque quae intus ossa propter animi exiguitatem in medulla vacua sunt

νήσεως, ταῦτα πάντα ξυμπεπλήρωται σαρξὶν, ὅσα δ' ἔμφρο-
να, ἧττον, εἰ μή πού τινα αὐτὴν καθ' αὑτὴν αἰσθήσεων
ἕνεκα σάρκα οὕτω ξυνέστησεν, οἷον τὸ τῆς γλώττης εἶδος·
τὰ δὲ πλεῖστα ἐκείνως· ἡ γὰρ ἐξ ἀνάγκης γιγνομένη καὶ
ξυντρεφομένη φύσις οὐδαμῇ προσδέχεται πυκνὸν * ὀστοῦν B
καὶ σάρκα πολλὴν ἅμα τε αὐτοῖς ὀξυήκοον αἴσθησιν· μά-
λιστα γὰρ ἂν αὐτὰ πάντων ἔσχεν ἡ περὶ τὴν κεφαλὴν ξύστασις,
εἴπερ ἅμα ξυμπίπτειν ἠθελησάτην, καὶ τὸ τῶν ἀνθρώπων γένος
σαρκώδη ἔχον ἐφ'*) ἑαυτῷ καὶ νευρώδη κρατεράν τε κε-
φαλὴν βίον ἂν διπλοῦν καὶ πολλαπλοῦν καὶ ὑγιεινότερον
καὶ ἀλυπότερον τοῦ νῦν κατεκτήσατο· νῦν δὲ τοῖς περὶ τὴν
ἡμετέραν γένεσιν δημιουργοῖς, λογιζομένοις πότερον πολυ-
χρονιώτερον χεῖρον * ἢ βραχυχρονιώτερον βέλτιον ἀπεργά- C
σαιντο γένος, ξυνέδοξε τοῦ πλείονος βίου, φαυλοτέρου δὲ τὸν
ἐλάττονα ἀμείνονα ὄντα πάντῃ †) πάντως αἱρετέον ††)· ὅθεν
δὴ μανῷ μὲν ὀστῷ, σαρξὶ δὲ καὶ νεύροις κεφαλὴν, ἅτε οὐδὲ
καμπὰς ἔχουσαν, οὐ ξυνεστέγασαν. κατὰ πάντ' οὖν ταῦτα
εὐαισθητοτέρα μὲν καὶ φρονιμωτέρα, πολὺ δὲ ἀσθενεστέρα
παντὸς ἀνδρὸς προσετέθη κεφαλὴ σώματι. τὰ δὲ νεῦρα διὰ
ταῦτα καὶ οὕτως ὁ θεὸς ἐπ' ἐσχάτην τὴν κεφαλὴν * περι- D
στήσας κύκλῳ περὶ τὸν τράχηλον ἐκόλλησεν ὁμοιότητι, καὶ
τὰς σιαγόνας ἄκρας αὐτοῖς ξυνέδησεν ὑπὸ τὴν φύσιν τοῦ
προσώπου· τὰ δ' ἄλλα εἰς ἅπαντα τὰ μέλη διέσπειρε, ξυν-
άπτων ἄρθρον ἄρθρῳ. Τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν
δύναμιν ὀδοῦσι καὶ γλώττῃ καὶ χείλεσιν ἕνεκα τῶν ἀναγ-
καίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες, ᾗ
νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν * ἀναγκαίων μηχα- E
νώμενοι χάριν, τὴν δὲ ἔξοδον τῶν ἀρίστων· ἀναγκαῖον μὲν
γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι, τὸ δὲ
λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει κάλλιστον καὶ
ἄριστον πάντων ναμάτων. Τὴν δ' αὖ κεφαλὴν οὔτε μόνον
ὀστεΐνην ψιλὴν δυνατὸν ἐᾶν ἦν διὰ τὴν ἐν ταῖς ὥραις ἐφ'
ἑκάτερον ὑπερβολὴν, οὔτ' αὖ ξυσκιασθεῖσαν κωφὴν καὶ

---

*) γρ. ἐν. †) γρ. παντί. ††) ἴσ. προαιρετέον ἤ· πρὸ τοῦ πλείονος — αἱρετέον.

prudentia, haec omnia impleta ſunt carnibus, quaecumque autem prudentia ſunt, minus, niſi forte carnem aliquam ipſam per ſe ſenſuum cauſa alicubi ita conſtruxit, ut linguae ſpeciem; plurima vero illa ratione finxit; natura enim cum neceſſitate generata et concreta nullo modo ſuſcipit denſum os multamque carnem una cum ſenſu acute percipiente; maxime enim omnium haec capitis conſtructio haberet, ſi concurrere ſimul poſſent, hominumque genus carnoſum ſuper ſe habens et nervoſum validumque caput vitam nactum eſſet altero tanto multisque partibus longiorem, ſaniorem et dolore magis vacuam quam quae nunc eſt; nunc vero generis noſtri effectoribus, quum rationem haberent utrum diuturnius deteriusque an brevius ad tempus durans meliusque id redderent, videbatur longiori viliorique vitae brevior meliorque omni prorſus modo anteponenda eſſe; quocirca raro quidem oſſe, nullis vero carnibus nec nervis caput, quippe flexiones non habens, obtexerunt. omnes igitur has ob cauſas ad ſenſum quidem valentius et prudentius, multo autem imbecillius cuiusque viri corpori appoſitum eſt caput. nervos autem hanc ob cauſam et ita deus extremo capiti circumiecit et in orbem circa collum agglutinavit aequaliter, et maxillas extremas cum iis colligavit ſub naturam vultus; reliquos omnia per membra diſperſit, copulans articulum cum articulo. Atque oris noſtri vim dentibus et lingua et labiis neceſſariarum optimarumque rerum cauſa adornarunt qui nos adornaverunt, ſicut nunc diſpoſita ſunt, introitum quidem neceſſariarum rerum cauſa machinati, exitum vero optimarum cauſa; etenim neceſſarium eſt quicquid intrat alimentum praebens corpori, ſermonis vero flumen foris manans ſerviensque prudentiae pulcherrimum et optimum omnium fluminum. Caput vero neque oſſeum tantummodo nudum relinqui poterat propter anni tempora quae in utramque partem modum facile transeunt, neque etiam negligi obvolutum ita ut

ἀναίσθητον διὰ τὸν τῶν σαρκῶν ὄχλον περιιδεῖν γιγνομένην. τῆς δὴ σαρκοειδοῦς φύσεως οὐ καταξηραινομένης * λεῖμμα *) 76 μεῖζον περιγιγνόμενον ἐχωρίζετο, τὸ νῦν λεγόμενον δέρμα. τοῦτο δὲ διὰ τὴν περὶ τὸν ἐγκέφαλον νοτίδα ξυνιὸν αὐτὸ πρὸς αὐτὸ καὶ βλαστάνον κύκλῳ περιημφιέννυ τὴν κεφαλήν· ἡ δὲ νοτὶς ὑπὸ τὰς ῥαφὰς ἀνιοῦσα ἦρδε καὶ ξυνέκλεισεν αὐτὸ ἐπὶ τὴν κορυφὴν οἷον ἅμμα ξυναγαγοῦσα. τὸ δὲ τῶν ῥαφῶν παντοδαπὸν εἶδος γέγονε διὰ τὴν τῶν περιόδων δύναμιν καὶ τῆς τροφῆς, μᾶλλον μὲν ἀλλήλοις μαχομένων τούτων πλείους, * ἧττον δὲ ἐλάττους. τοῦτο δὴ πᾶν τὸ δέρ- B μα κύκλῳ κατεκέντει πυρὶ τὸ θεῖον, τρηθέντος **) δὲ καὶ τῆς ἰκμάδος ἔξω δι' αὐτοῦ φερομένης τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλικρινὲς ἀπῄει, τὸ δὲ μικτὸν ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον μὲν ὑπὸ τῆς φορᾶς ἔξω μακρὸν ἐτείνετο, λεπτότητα ἴσην ἔχον τῷ κατακεντήματι, διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ τοῦ περιεστῶτος ἔξωθεν πνεύματος πάλιν ἐντὸς ὑπὸ τὸ δέρμα εἱλούμενον ***) κατερριζοῦτο. * καὶ κατὰ ταῦτα δὴ τὰ πάθη τὸ τριχῶν γένος ἐν τῷ δέρ- C ματι πέφυκε, ξυγγενὲς μὲν ἱμαντῶδες ὂν αὐτοῦ, σκληρότερον δὲ καὶ πυκνότερον τῇ πιλήσει τῆς ψύξεως, ἣν ἀποχωριζομένη δέρματος ἑκάστη θρὶξ ψυχθεῖσα ξυνεπιλήθη. τούτῳ δὴ λασίαν ἡμῶν ἀπειργάσατο τὴν κεφαλὴν ὁ ποιῶν, χρώμενος μὲν αἰτίοις τοῖς εἰρημένοις, διανοούμενος δὲ ἀντὶ σαρκὸς αὐτὸ δεῖν εἶναι στέγασμα τῆς περὶ τὸν ἐγκέφαλον ἕνεκα ἀσφαλείας κοῦφον καὶ * θέρους χειμῶνός τε ἱκανὸν D σκιὰν καὶ σκέπην παρέχειν, εὐαισθησίας δὲ οὐδὲν διακώλυμα ἐμποδὼν γενησόμενον. Τὸ δὲ ἐν τῇ περὶ τοὺς δακτύλους καταπλοκῇ τοῦ νεύρου καὶ τοῦ δέρματος ὀστοῦ τε, ξυμμιχθὲν ἐκ τριῶν, ἀποξηρανθὲν ἓν κοινὸν ξυμπάντων σκληρὸν γέγονε δέρμα, τοῖς μὲν ξυναιτίοις τούτοις δημιουργηθέν, τῇ δ' αἰτιωτάτῃ διανοίᾳ τῶν ἔπειτα ἐσομένων ἕνεκα εἰργασμένον· ὡς γάρ ποτε ἐξ ἀνδρῶν γυναῖκες καὶ τἆλλα θηρία * γενήσοιτο, ἠπίσταντο οἱ ξυνιστάντες ἡμᾶς, καὶ δὴ E καὶ τῆς τῶν ὀνύχων χρείας ὅτι πολλὰ τῶν θρεμμάτων καὶ

*) ἄλλ. λέμμα. **) γρ. τρυθέντος.
***) γρ. εἰλλόμενον. ἴσ. ἰλλόμενον.

hebes sensusque expers fieret propter carnis copiam. carnosae igitur naturae non exsiccatae reliquiae maiores superstites separatae sunt, quae nunc dicuntur cutis. haec autem per humorem cerebrum circumfluentem in se ipsa coalescens et circumcirca pullulans circumdedit caput; humor vero sub suturas adscendens irrigavit eam et clausit in verticem velut vinculum coniungens. suturarum vero species multiplex exstitit per circuituum et alimenti vim; magis enim his inter se pugnantibus, plures, minus vero, pauciores prodeunt. hanc vero totam cutem circumcirca igne compunxit deus, qua quidem perforata et humore foris per eam effluente humidum et calidum quantum purum abit, mixtum vero ex iisdem e quibus etiam cutis erat, ab agitatione foras elatum in longum extendebatur, tenuitatem aequalem habens punctioni, propter tarditatem autem repulsum ab aëre extrinsecus circumfuso rursus intus sub cutem constrictum radices egit. atque ex his affectionibus capillorum genus iu cute effloruit, cognatum quidem eius quippe quod lori formam et similitudinem habeat, durius vero ac densius propter refrigerationis vim contrahentem, qua separatus a cute quisque capillus refrigeratus et constrictus obriguit. itaque hirsutum nostrum reddidit caput opifex, causis adductus iam memoratis et arbitratus carnis loco id oportere esse tegumentum cerebri tutandi causa leve et aestate hiemeque umbram et operimentum praebens sensuumque perspicacitati nullum inferens impedimentum. Quod vero ad nervi, cutis et ossis complexionem attinet in digitis conspicuam, commixta e tribus exsiccataque una omnibus communis exstitit dura cutis, ex causis quidem illis adiuvantibus facta, a mente vero quae suprema est causa propter ea quae in posterum futura essent procreata; aliquando enim e viris mulieres ceteraque animalia proditura esse sciebant qui nos finxerunt, atque etiam unguium usum multis animantibus multasque ad

ἐπὶ πολλὰ δεήσοιτο *) ᾔδεσαν· ὅθεν ἐν ἀνθρώποις εὐθὺς
γιγνομένοις ὑπετυπώσαντο τὴν τῶν ὀνύχων γένεσιν. τούτῳ
δὴ τῷ λόγῳ καὶ ταῖς προφάσεσι ταύταις δέρμα, τρίχας ὄνυ-
χάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν.

Ἐπειδὴ **) δὲ πάντ' ἦν τὰ τοῦ θνητοῦ ζώου ξυμπεφυ-
κότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν * πυρὶ καὶ πνεύματι 77
ξυνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ ***), καὶ διὰ ταῦτα ὑπὸ
τούτων τηκόμενον κενούμενόν τε ἔφθινε, βοήθειαν αὐτῷ
θεοὶ μηχανῶνται. τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύ-
σιν ἄλλαις ἰδέαις καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον
ζῶον εἶναι, φυτεύουσιν· ἃ δὴ νῦν ἥμερα δένδρα καὶ φυτὰ
καὶ σπέρματα φυτευθέντα †) ὑπὸ γεωργίας τιθασσῶς πρὸς
ἡμᾶς ἔσχε· πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύ-
τερα * τῶν ἡμέρων ὄντα. πᾶν γὰρ οὖν ††), ὅ τιπερ ἂν B
μετάσχῃ τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα·
μετέχει γε μὴν τοῦτο ὃ νῦν λέγομεν τοῦ τρίτου ψυχῆς εἴ-
δους, ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος, ᾧ δό-
ξης μὲν λογισμοῦ τε καὶ νοῦ μέτεστι τὸ μηδέν, αἰσθήσεως
δὲ ἡδείας καὶ ἀλγεινῆς μετὰ ἐπιθυμιῶν· πάσχον γὰρ διατε-
λεῖ πάντα· στραφέντι δ' αὐτῷ ἐν ἑαυτῷ †††) περὶ ἑαυτό,
τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δ' οἰκείᾳ * χρησα- C
μένῳ, τῶν αὐτοῦ τι λογίσασθαι κατιδόντι φύσιν οὐ παρα-
δέδωκεν ἡ γένεσις. διὸ δὴ ζῇ μέν, ἔστι τε οὐχ ἕτερον
ζώου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε διὰ τὸ τῆς
ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι.

Ταῦτα δὴ τὰ γένη πάντα (*) φυτεύσαντες οἱ κρείττους
τοῖς ἥττοσιν ἡμῖν τροφήν, τὸ σῶμα (**) ἡμῶν διωχέτευσαν
τέμνοντες οἷον ἐν κήποις ὀχετούς, ἵν' ὥσπερ ἐκ νάματος ἐπι-
όντος ἄρδοιτο. καὶ πρῶτον μὲν ὀχετοὺς κρυφαίους ὑπὸ τὴν
* ξύμφυσιν τοῦ δέρματος καὶ τῆς σαρκὸς δύο φλέβας ἔτε- D
μον νωτιαίας, δίδυμον ὡς τὸ σῶμα ἐτύγχανε δεξιοῖς τε καὶ
ἀριστεροῖς ὄν. ταύτας δὲ καθῆκαν παρὰ τὴν ῥάχιν, καὶ τὸν

---

*) γρ. δεήσοιντο. **) γρ. Ἐπεί. ***) γρ. αὐτό.
†) ἄλλ. παιδευθέντα. ††) γρ. πᾶν γάρ. †††) γρ. αὐτῷ.
(*) γρ. γένη. (**) γρ. τῷ σώματι.

res necessarium fore intelligebant; quocirca in hominibus statim ut nati sunt unguium naturam formarunt. hac igitur ratione hisque de caussis cutem, capillos et ungues extremis membris apposuerunt.

Quoniam vero omnes mortalis animantis natura erant copulatae partes et membra, et vitam necessario illud in igne et aëre habebat, a quibus liquefactum et exhaustum interibat, auxilium ei dii excogitarunt. naturam enim humanae naturae cognatam aliis cum formis et sensibus temperantes procreant aliud quoddam animal; quae quidem nunc arbores et plantae et semina ab agricultura sata mitia nobis sunt; ante autem erant sola agrestium genera, antiquiora sativis. omne enim quodcumque vivendi particeps est, animans rectissime dicetur; partem enim habet hoc quod nunc dicimus tertiae animi speciei, quam inter praecordia et umbilicum collocatam esse memoravimus, quae nullam quidem opinionis, rationis et intelligentiae partem habet, sensus vero iucundi et acerbi cum cupiditatibus coniuncti; ab omnibus enim rebus semper afficitur; quum vero in semet ipso et circa se ipsum vertatur, externam quidem motionem repellens et propria utens, ortus non hanc ei naturam tribuit ut eorum aliquid quae ad ipsum pertinent cognoscat et consideret. quamobrem vivit quidem nec diversum est ab animante, stabile vero et radicibus defixum obriguit, quia motu a se ipso proficiscente privatum est.

Haec igitur genera omnia ferentes superiores nobis inferioribus alimenta, corpus nostrum alveis quibusdam distinxerunt secantes velut in hortis canales, ut tamquam e rivo invadente irrigaretur. ac primum quidem canales occultos finxerunt sub concretione cutis et carnis duas venas secantes in dorso, quod corpus quoque geminum erat dextra et sinistra parte. has autem demise-

γόνιμον μεταξὺ λαβόντες μυελόν, ἵνα οὗτός τε ὅτι μάλιστα
θάλλοι, καὶ ἐπὶ τἆλλα εὔρους ἐντεῦθεν ἅτ' ἐπὶ κάταντες ἡ
ἐπίχυσις γιγνομένη παρέχοι τὴν ὑδρείαν ὁμαλήν. μετὰ δὲ
ταῦτα σχίσαντες περὶ τὴν κεφαλὴν τὰς φλέβας καὶ δι' ἀλλή-
λων * ἐναντίας πλέξαντες διεῖσαν, τὰς μὲν ἐκ τῶν δεξιῶν E
ἐπὶ τἀριστερὰ τοῦ σώματος, τὰς δ' ἐκ τῶν ἀριστερῶν ἐπὶ
τὰ δεξιὰ κλίναντες, ὅπως δεσμὸς ἅμα τῇ κεφαλῇ πρὸς τὸ
σῶμα εἴη μετὰ τοῦ δέρματος, ἐπειδὴ νεύροις οὐκ ἦν κύκλῳ
κατὰ κορυφὴν περιειλημμένη, καὶ δὴ καὶ *) τὸ τῶν αἰσθή-
σεων πάθος ἵν' ἀφ' ἑκατέρων τῶν μερῶν εἰς ἅπαν τὸ σῶ-
μα εἴη **) διαδιδόμενον. τὸ δ' ἐντεῦθεν ἤδη τὴν ὑδραγω-
γίαν παρεσκεύασαν τρόπῳ τινὶ τοιῷδε, ὃν * κατοψόμεθα 78
ῥᾷον προδιομολογησάμενοι τὸ τοιόνδε, ὅτι πάντα ὅσα ἐξ
ἐλαττόνων ξυνίσταται στέγει τὰ μείζω, τὰ δ' ἐκ μειζόνων
τὰ σμικρότερα οὐ δύναται, πῦρ δὲ πάντων γενῶν σμικρο-
μερέστατον, ὅθεν δι' ὕδατος καὶ γῆς ἀέρος τε καὶ ὅσα ἐκ
τούτων ξυνίσταται διαχωρεῖ καὶ στέγειν οὐδὲν αὐτὸ δύνα-
ται. ταὐτὸν δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας διανοητέον,
ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ στέγει, πνεῦ-
μα δὲ καὶ πῦρ * σμικρομερέστερα ὄντα τῆς αὐτῆς ξυστά- B
σεως οὐ δύναται. τούτοις οὖν κατεχρήσατο ὁ θεὸς εἰς τὴν
ἐκ τῆς κοιλίας ἐπὶ τὰς φλέβας ὑδρείαν, πλέγμα ἐξ ἀέρος
καὶ πυρὸς οἷον οἱ ***) κύρτοι ξυνυφηνάμενος, διπλᾶ κατὰ
τὴν εἴσοδον ἐγκύρτια ἔχον †), ὧν θάτερον πάλιν διέπλεξε
δίκροον· καὶ ἀπὸ τῶν ἐγκυρτίων δὴ διετείνατο οἷον σχοί-
νους κύκλῳ διὰ παντὸς πρὸς τὰ ἔσχατα τοῦ πλέγματος. τὰ
μὲν οὖν ἔνδον ἐκ πυρὸς ξυνεστήσατο τοῦ πλοκάνου * ἅπαν- C
τα, τὰ δ' ἐγκύρτια καὶ τὸ κύτος ἀεροειδῆ. καὶ λαβὼν αὐτὸ
περιέστησε τῷ πλασθέντι ζῴῳ τρόπον τοιόνδε ††). τὸ μὲν
τῶν ἐγκυρτίων εἰς τὸ στόμα μεθῆκε, διπλοῦ δὲ ὄντος αὐ-
τοῦ κατὰ μὲν τὰς ἀρτηρίας εἰς τὸν πλεύμονα καθῆκε θάτε-
ρον, τὸ δ' εἰς τὴν κοιλίαν παρὰ τὰς ἀρτηρίας· τὸ δ' ἕτε-
ρον σχίσας τὸ μέρος ἑκάτερον κατὰ τοὺς ὀχετοὺς τῆς ῥινὸς
ἀφῆκε κοινόν, ὥσθ', ὅτε μὴ κατὰ στόμα ἴοι θάτερον, ἐκ

*) γρ. καὶ δή. **) γρ. ᾖ. ***) γρ. οἷοι.
†) γρ. ἔχοντος. ††) γρ. τρόπῳ τοιῷδε.

runt ad ſpinam, et genitalem interiectam medullam, ut haec quam maxime vigeret, et ad ceteras partes inde facile manans quippe ad declive infuſio aequalem praeberet irrigationem. deinde diffindentes circa caput venas et ex adverſo inter ſe nectentes tranſmiſerunt alias a dextris ad ſiniſtras corporis partes, alias a ſiniſtris ad dextras inclinantes, ut vinculum ſimul capitis cum corpore eſſet una cum cute, quoniam nervis circumcirca in vertice non continebatur, et ſenſuum ſimul affectio ab utrisque partibus univerſum in corpus distribueretur. deinceps vero iam aquae deductionem pararunt hoc fere modo, quem facilius perſpiciemus ſi hoc prius inter nos convenerit, omnia quae e minoribus componantur retinere maiora, quae vero e maioribus minora non poſſe retinere, ignem autem omnium minutiſſimis partibus conſtare, quocirca per aquam et terram et aërem et quaecumque ex his componantur pervadat nihilque eum retinere poſſit. idem igitur etiam de alvo noſtra ſtatuendum, eam cibos quidem et potus quando inciderint retinere, aërem vero et ignem qui minutioribus partibus conſtant quam ipſius coagmentatio non poſſunt. his igitur uſus eſt deus ad venas ex alvo irrigandas, reticulum ex aëre et igne quales naſſae ſunt contexens, duas in introitu convexitates habens, quarum alteram rurſus contexuit bicipitem; et a convexitatibus extendit tamquam funiculos circumcirca per totum ad extremitates reticulum. et interiores quidem texti partes omnes ex igne compoſuit, convexitates autem et complexum aëris ſpeciem habentes finxit. atque ſumens hoc circumiecit animali formato hac ratione. convexitates in os demiſit, duplices vero quum hae eſſent, alteram per arterias in pulmonem deiecit, alteram in alvum iuxta arterias; alteram vero diffindens partem utramque per canales naſi demiſit communem, ut, quando altera pars non per os iret, ex hac omnes etiam illius fluxio-

τούτου πάντα καὶ τὰ ἐκείνου * ῥεύματα ἀναπληροῦσθαι. D τὸ δ' ἄλλο κύτος τοῦ κύρτου περὶ τὸ σῶμα ὅσον κοῖλον ἡμῶν περιέφυσε, καὶ πᾶν δὴ τοῦτο τοτὲ μὲν εἰς τὰ ἐγκύρτια ξυῤῥεῖν μαλακῶς, ἅτε ἀέρα ὄντα, ἐποίησε, τοτὲ δὲ ἀναῤῥεῖν μὲν τὰ ἐγκύρτια, τὸ δὲ πλέγμα, ὡς ὄντος τοῦ σώματος μανοῦ, δύεσθαι εἴσω δι' αὐτοῦ καὶ πάλιν ἔξω, τὰς δ' ἐντὸς τοῦ πυρὸς ἀκτῖνας διαδεδεμένας ἀκολουθεῖν ἐφ' ἑκάτερα ἰόντος τοῦ ἀέρος, καὶ τοῦτο, ἕωςπερ *) ἂν τὸ θνητὸν ξυνεστήκῃ * ζῶον, μὴ διαπαύεσθαι γιγνόμενον. τούτῳ δὲ δὴ τῷ γένει E τὸν τὰς ἐπωνυμίας θέμενον ἀναπνοὴν καὶ ἐκπνοὴν λέγομεν θέσθαι τοὔνομα. πᾶν δὲ δὴ τό τ' ἔργον καὶ τὸ πάθος τοῦθ' ἡμῶν τῷ σώματι γέγονεν ἀρδομένῳ καὶ ἀναψυχομένῳ τρέφεσθαι καὶ ζῆν· ὁπόταν γὰρ εἴσω καὶ ἔξω τῆς ἀναπνοῆς ἰούσης τὸ πῦρ ἐντὸς ξυνημμένον ἕπηται, διαιωρούμενον δὲ ἀεὶ διὰ τῆς κοιλίας εἰςελθὸν * τὰ σιτία καὶ ποτὰ λάβῃ **), 79 τήκει δή, καὶ κατὰ σμικρὰ διαιροῦν, διὰ τῶν ἐξόδων ᾗπερ πορεύεται διάγον, οἷον ἐκ κρήνης ἐπ' ὀχετοὺς ἐπὶ τὰς φλέβας ἀντλοῦν αὐτά, ῥεῖν ὥςπερ δι' αὐλῶνος τοῦ ***) σώματος τὰ τῶν φλεβῶν ποιεῖ ῥεύματα.

Πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτον γέγονεν οἷόνπερ τὰ νῦν ἐστίν. ὧδ' οὖν. ἐπειδὴ κενὸν οὐδέν ἐστιν εἰς ὃ τῶν φερομένων * δύναιτ' ἂν εἰςελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ' ἡμῶν B ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον ὡς οὐκ εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ, τὸ δὲ ὠθούμενον ἐξελαύνει τὸ πλησίον ἀεί, καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰςιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτὴν ξυνέπεται τῷ πνεύματι· καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται διὰ τὸ κενὸν * μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τὸ τοῦ C πλεύμονος ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίγνεται πλῆρες· αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ σώματος ἔξω ἰὼν εἴσω τὴν ἀναπνοὴν πε-

*) γρ. ὥςπερ. **) γρ. λάβοι.
***) γρ. ὥςπερ αὐλῶνος διὰ τοῦ.

nes replerentur. reliquum vero naſſae complexum corpori noſtro quantum eius cavum erat circumiecit, et totum quidem hunc ita finxit ut modo in convexitates molliter conflueret quippe quae aër eſſent, modo refluerent convexitates, reticulum vero, quoniam corpus rarum eſſet, in hoc intraret rurſusque egrederetur, et ignis interiores radii conſtricti ſequerentur in utramque partem aërem progredientem, idque, quamdiu mortale animal conſiſteret, non defineret fieri. huic vero generi qui nomina impoſuerit reſpirationis et exſpirationis vocabulis id dicimus nuncupaſſe. omne igitur hoc opus omnisque affectio haec corpori noſtro obtigit ut irrigatum et refrigeratum aleretur et viveret; quando enim reſpiratione ingrediente et egrediente ignis intus annexus ſequitur, ſurſum vero deorſum agitatus ſemper per alvum quum intravit cibos et potus comprehendit, liquefacit eos, et dum minutatim conciſos per exitus per quos meat traducit, tamquam e fonte in canales in venas eos infundit eoque efficit ut per corpus quaſi per aquae ductum venarum fluant rivi.

Rurſus reſpirationis videamus affectionem quibus de cauſis talis extiterit qualis nunc eſt. quoniam vacuum nihil eſt in quod eorum quid quae feruntur intrare poſſit, ſpiritus autem noſter foras fertur, cuique iam patet eum non in vacuum abire, ſed vicinum e ſede ſua pellere, pulſum vero eiicere proximum quidque, et hac ex neceſſitate, quicquid exagitetur, id in ſedem e qua ſpiritus egreſſus fuerit, intrans eamque implens ſequi ſpiritum; et hoc totum velut ſi rota circumagatur ſimul fieri propterea quod nihil ſit vacuum. quocirca pectoris et pulmonis ſpiritus foras emiſſus ab aëre qui corpus circumfundit, per raras carnes intrat et circumagitur, iterum repletur; rurſus vero depulſus aër et per corpus foras emanans reſpirationem in-

ριωθεῖ κατὰ τὴν τοῦ στόματος καὶ τὴν τῶν μυκτήρων δίο-
δον. Τὴν δὲ αἰτίαν τῆς ἀρχῆς αὐτῶν θετέον τήνδε. * πᾶν D
ζῶον αὐτοῦ πάντως *) περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερ-
μότητα **) ἔχει, οἷον ἐν ἑαυτῷ πηγήν τινα ἐνοῦσαν πυρός·
ὃ δὴ καὶ προσῃκάζομεν ***) τῷ τοῦ κύρτου πλέγματι, κατὰ
μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα,
ὅσα ἔξωθεν, ἀέρος. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὐ-
τοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς ὁμολογητέον ἰέναι. δυεῖν
δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ τὸ σῶμα * ἔξω, E
τῆς δὲ αὖ κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θά-
τερα ὁρμήσῃ, θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν εἰς τὸ πῦρ
ἐμπῖπτον θερμαίνεται, τὸ δ' ἐξιὸν ψύχεται. μεταβαλλούσης
δὲ τῆς θερμότητος καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμο-
τέρων γιγνομένων πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον
μᾶλλον, πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κα-
τὰ θάτερα· τὸ δὲ τὰ αὐτὰ πάσχον καὶ τὰ αὐτὰ ἀνταποδι-
δὸν ἀεί, κύκλῳ †) οὕτω σαλευόμενον ἔνθα καὶ ἔνθα ἀπειρ-
γασμένον ὑπ' ἀμφοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνε-
σθαι παρέχεται.

Καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημά-
των * αἴτια καὶ τὰ τῆς πόσεως ††) τά τε τῶν ῥιπτουμένων, 80
ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διω-
κτέον, καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς ὀξεῖς τε καὶ βαρεῖς
φαίνονται, τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι δι' ἀνομοιότητα τῆς
ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως, τοτὲ δὲ ξύμφωνοι δι' ὁμοιότητα.
τὰς γὰρ τῶν προτέρων καὶ θαττόνων οἱ βραδύτεροι κινήσεις
ἀποπαυομένας ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, * αἷς ὕστερον B
αὐτοὶ προσφερόμενοι κινοῦσιν ἐκείνας, καταλαμβάνουσι, κα-
ταλαμβάνοντες δὲ οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν †††)
κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς κατὰ τὴν τῆς θάτ-
τονος, ἀποληγούσης δὲ ὁμοιότητα προσάψαντες μίαν ἐξ ὀξεί-
ας καὶ βαρείας ξυνεκεράσαντο πάθην· ὅθεν ἡδονὴν μὲν
τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι διὰ τὴν τῆς θεί-

*) ἴσ. αὖ τοῦ παντός. ἄλλ. αὐτοῦ παντός. **) ἄλλ. θερμότατα. ***) γρ. προσεικάζομεν. †) ἄλλ. κύκλον. ††) ἴσ. καταπόσεως. †††) γρ. ἐνετάραξαν.

tro repellit per oris et narium transitum. Atque causa principii eorum ponenda est haec: omne animal universi circa sanguinem et venas calorem habet, quasi fons quidam ignis in eo sit; quod quidem etiam comparavimus cum nassa texta, dicentes totum per medium extensum ex igne contextum esse, reliqua exteriora ex aëre. calidum igitur naturae convenienter in locum suum foras ad cognatum confitendum est ire. duo enim quum exitus sint, per corpus foras unus, alter per os et nares, quando ad alterum tendit, alterum repellit; repulsum vero in ignem incidens incalescit, emanans vero refrigeratur. calor vero dum mutatur et quae circa alterum transitum sunt calidiora fiunt rursus illuc vergens id quod calidius est, quippe ad naturam suam tendens, repellit id quod circa alterum est; hoc autem, quod eadem patitur eademque semper reddit et ab utrisque hic et illic ita afficitur ut in orbem agitetur, efficit ut respiratio et exspiratio exsistant.

Atque etiam causae eorum quae cucurbitis medicis accidunt et eorum quae in devorando iisque fiunt quae iaciuntur, sive in sublime emittuntur sive in terram feruntur, hac ratione investigandae sunt, et quicumque soni celeres et tardi, acuti et graves reperiuntur, modo inconcinni propter dissimilitudinem motionis in nobis ab iis excitatae, modo concinentes propter similitudinem. priorum enim et celeriorum sonorum motus iam desinentes et ad simile progressos tardiores soni, qui serius ipsi ad motus progrediuntur et excitant illos, occupant, occupantes vero non alia iniecta motione turbant, sed principium tardioris agitationis secundum celerioris quidem, sed desinentis similitudinem adiungentes unam ex acuto et gravi temperant affectionem; unde voluptatem insipientibus, delectationem vero sapientibus pro-

ας ἁρμονίας μίμησιν ἐν θνηταῖς γενομένην φοραῖς παρέσχον. Καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, * ἔτι δὲ C τὰ τῶν κεραυνῶν πτώματα καὶ τὰ θαυμαζόμενα ἠλέκτρων πέρι τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων, πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε, τὸ δὲ κενὸν εἶναι μηδὲν περιωθεῖν τε αὑτὰ *) ταῦτα εἰς ἄλληλα, τό τε διακρινόμενα καὶ ξυγκρινόμενα πρὸς τὴν αὑτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα ξυμπλεχθεῖσι τεθαυματουργημένα τῷ κατὰ τρόπον ζητοῦντι φανήσεται.

Καὶ δὴ * καὶ τὸ τῆς ἀναπνοῆς, ὅθεν ὁ λόγος ὥρμησε, D κατὰ ταῦτα καὶ διὰ τούτων γέγονεν, ὥςπερ ἐν τοῖς πρόσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρός, αἰωρουμένου δὲ ἐντὸς τῷ πνεύματι ξυνεπομένου, τὰς φλέβας δὲ ἐκ τῆς κοιλίας τῇ ξυναιωρήσει πληροῦντος τῷ τὰ τετμημένα αὐτόθεν ἀπαντλεῖν **), καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζώοις τὰ τῆς τροφῆς νάματα οὕτως ἐπίῤῥυτα γεγονέναι. νεότμητα δὲ καὶ ἀπὸ ξυγγενῶν * ὄντα, τὰ μὲν E καρπῶν, τὰ δὲ χλόης, ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὸ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσις· ὅθεν τοῦ κατὰ τὸ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν· ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος τοῦ σώματος, * ὅθεν ὑδρευόμενα 81 ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν. ὁ δὲ τρόπος τῆς πληρώσεως ἀποχωρήσεώς τε γίγνεται, καθάπερ ἐν τῷ παντὶ παντὸς ἡ φορὰ γέγονεν, ἣν τὸ ξυγγενὲς πᾶν φέρεται πρὸς ἑαυτό. τὰ μὲν γὰρ δὴ περιεστῶτα ἐκτὸς ἡμᾶς τήκει τε ἀεὶ καὶ διανέμει πρὸς ἕκαστον εἶδος τὸ ὁμόφυλον ἀποπέμπον ***), τὰ δὲ ἔναιμα αὖ, κερματισθέντα ἐντὸς παρ' ἡμῖν καὶ περιειλημμένα ὥςπερ ὑπ' οὐρανοῦ ξυνεστῶτος ἑκάστου τοῦ ζώου, * τὴν τοῦ παντὸς ἀναγκάζεται μιμεῖσθαι φοράν· B πρὸς τὸ ξυγγενὲς οὖν φερόμενον ἕκαστον τῶν ἐντὸς μερι-

*) γρ. αὐτά. **) γρ. ἐπαντλεῖν.
***) ἴσ. ἀποπέμποντα.

pter divini concentus imitationem in mortalibus expressam agitationibus creant. Atque etiam quod ad aquarum flumina attinet, praeterea ad fulminum iactus et admirabilem electri lapidumque Heracliorum vim attrahendi, horum omnium nulli umquam tractus est, sed eo quod vacuum nihil est, illa se ipsa in se repellunt omniaque discreta et collecta in suam quidque sedem permutatam progrediuntur, propter has affectiones inter se connexas admirationem movere rite investiganti videbuntur.

Atque etiam respiratio, unde egressa est oratio, iccirco et has ob causas exstitit, quemadmodum supra dictum est; quia videlicet ignis cibos dividit, intus vero suspensus tenetur aëremque sequitur, et venas ex alvo una sublatus implet eo quod divisa inde exhaurit, hanc quidem ob causam totum per corpus omnibus animantibus alimenti rivi ita infunduntur. recens vero secti quum sint et a cognatis profecti, partim a fructibus, partim a gramine, quae quidem deus hanc ipsam ob causam nobis sevit, ut alimenta essent, varios quidem colores habent propter permixtionem, ruber tamen maxime in iis conspicuus est, ignis divisi et in humido expressi natura efficta; unde eius quod per corpus fluit color talem habet adspectum qualem descripsimus; quod quidem sanguinem appellamus, pabulum carnium universique corporis, unde irrigata quaeque implent exhausti basin. modus autem implendi et exhauriendi idem est quo in universitate quidque fertur, cognatum videlicet quidque ad semet ipsum. ea enim quae extrinsecus nos circumdant liquefaciunt semper et distribuunt ad speciem quamque cognatam mittentia; sanguinea autem, minutatim discerpta in nobis et comprehensa tamquam a caelo ab animante quoque composito, totius coguntur imitari cursum: ad cognatum igitur dum fertur quidque eorum quae intus partita sunt exhaustum tum

σθέντων τὸ κενωθὲν τότε πάλιν ἀνεπλήρωσεν. ὅταν μὲν δὴ πλέον τοῦ ἐπιῤῥέοντος ἀπίῃ, φθίνει πᾶν, ὅταν δὲ ἔλαττον, αὐξάνεται. νέα μὲν οὖν ξύστασις τοῦ παντὸς ζώου, καινὰ τὰ τρίγωνα οἷον ἐκ δρυόχων ἔτι ἔχουσα τῶν γενῶν*), ἰσχυρὰν μὲν τὴν ξύγκλεισιν αὐτῶν πρὸς ἄλληλα κέκτηται, ξυμπέπηγε δὲ ὁ πᾶς ὄγκος αὐτῆς ἁπαλός, ἅτε ἐκ * μυελοῦ μὲν C νεωστὶ γεγονυίας, τεθραμμένης δὲ ἐν γάλακτι· τὰ δὴ περιλαμβανόμενα ἐν αὐτῇ τρίγωνα ἔξωθεν ἐπεισελθόντα, ἐξ ὧν ἂν ᾖ τά τε σιτία καὶ ποτά, τῶν αὑτῆς τριγώνων παλαιότερα ὄντα καὶ ἀσθενέστερα καινοῖς ἐπικρατεῖ τέμνουσα, καὶ μέγα ἀπεργάζεται τὸ ζῶον τρέφουσα ἐκ πολλῶν ὁμοίων. ὅταν δ' ἡ ῥίζα**) τῶν τριγώνων χαλᾷ διὰ τὸ πολλοὺς ἀγῶνας ἐν πολλῷ χρόνῳ πρὸς πολλὰ ἠγωνίσθαι, τὰ μὲν τῆς τροφῆς εἰσιόντα οὐκέτι * δύναται τέμνειν εἰς ὁμοιότητα ἑαυ- D τοῖς, αὐτὰ δὲ ὑπὸ τῶν ἔξωθεν ἐπεισιόντων εὐπετῶς διαιρεῖται· φθίνει δὴ πᾶν ζῶον ἐν τούτῳ κρατούμενον, γῆράς τε ὀνομάζεται τὸ πάθος. τέλος δέ, ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων οἱ ξυναρμοσθέντες μηκέτι ἀντέχωσι δεσμοὶ τῷ πόνῳ διεσταμένοι, μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς· ἡ δὲ κατὰ φύσιν λυθεῖσα***) μεθ' ἡδονῆς ἐξέπτατο· πᾶν γὰρ τὸ μὲν * παρὰ φύσιν ἀλγεινόν, τὸ δ' ᾗ πέφυκε γιγνόμε- E νον ἡδύ. καὶ θάνατος δὴ κατὰ ταὐτὰ ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάτων †) γιγνόμενος ἀλγεινὸς καὶ βίαιος, ὁ δὲ μετὰ γῆρας ἰὼν ἐπὶ τέλος κατὰ φύσιν ἀπονώτατος τῶν θανάτων καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος ἢ λύπης.

Τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν ξυμπέπηγε * τὸ 82 σῶμα, γῆς, πυρός, ὕδατός τε καὶ ἀέρος, τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλείονα ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν ††), καὶ πάνθ' ὅσα τοιαῦτα, στάσεις καὶ νόσους παρέχει· παρὰ φύσιν γὰρ ἑκά-

*) γρ. γερῶν. **) γρ. ὅταν δὴ ῥίζαν.
***) γρ. λαθοῦσα. †) γρ. καὶ τραύματα.
††) γρ. προσλαμβάνει.

rursus implet. et quando plus quam influit decedit totum decrescit, quando vero minus, augescit. ac recens quidem totius animantis constructio, nova triangula adhuc habens e generibus illis quattuor tamquam e fundamento ficta, validam quidem compactionem eorum inter se possidet, composita vero universa eius moles est mollis, quippe e medulla constans recens nata et lacte nutrita; comprehensa igitur in ea triangula extrinsecus illata, e quibus cibi et potus constant, suis triangulis vetustiora et imbecilliora recentibus superat secans magnumque efficit animal nutriendo multis similibus. quando vero radix triangulorum laxatur propterea quod multa certamina longum per tempus multis conseruit, alimenta ingressa iam nequeunt illa secare in partes sibi similes, sed ipsa ab iis quae extrinsecus invadunt facile dissolvuntur; consumitur igitur totum animal in hoc superatum, et senectus vocatur haec affectio. tandem vero, quum triangulorum medullae vincula concinnata iam non resistere possunt labore dissoluta, dimittunt etiam animi vincula; qui quidem secundum naturam solutus cum voluptate evolat; quicquid enim a natura aversum est, acerbum, quod vero ita peragitur ut naturae ratio exigit, iucundum. atque mors quoque similiter ea quae per morbos et vulnera contingit acerba et violenta, ea vero quae post senectutem ad finem pergit secundum naturam, minimam ex omnibus molestiam exhibet magisque iucunda quam tristis accidit.

De morbis autem, cuilibet sine dubio patet unde concitentur. etenim quattuor quum sint genera e quibus compactum est corpus, terra, ignis, aqua et aër, horum a natura aversa abundantia et defectus et migratio e loco proprio in alienum, ignis porro reliquorumque status (plura enim sunt uno genera), quando quidque non id quod sibi convenit assumit, et omnia eiusmodi seditiones et morbos inferunt; praeter naturam

στου γιγνομένου καὶ μεθισταμένου θερμαίνεται μὲν ὅσαπερ ἂν
πρότερον ψύχηται, ξηρὰ δὲ * ὄντα ἐς ὕστερον γίγνεται νο- B
τερά, καὶ κοῦφα δὴ καὶ βαρέα, καὶ *) πάσας πάντῃ μετα-
βολὰς δέχεται. μόνον γὰρ δή, φαμέν, ταὐτὸ ταὐτῷ κατὰ
ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπο-
γιγνόμενον ἐάσει ταὐτὸν ὂν αὑτῷ σῶν καὶ ὑγιὲς μένειν· ὃ
δ' ἂν πλημμελήσῃ τι τούτων ἐκτὸς **) ἀπιὸν ἢ προσιόν,
ἀλλοιότητας παμποικίλας καὶ νόσους φθοράς τε ἀπείρους
παρέξεται. Δευτέρων δὴ ξυστάσεων αὖ ***) κατὰ φύσιν ξυν-
εστηκυιῶν δευτέρα κατανόησις * νοσημάτων τῷ βουλομένῳ C
γίγνεται ξυννοῆσαι. μυελοῦ γὰρ ἐξ ἐκείνων ὀστοῦ τε καὶ
σαρκὸς καὶ νεύρου ξυμπαγέντος, ἔτι τε αἵματος ἄλλον μὲν
τρόπον, ἐκ δὲ τῶν αὐτῶν γεγονότος, τῶν μὲν ἄλλων τὰ
πλεῖστα ᾗπερ τὰ πρόσθεν, τὰ δὲ μέγιστα τῶν νοσημάτων
τῇδε χαλεπὰ ξυμπέπτωκεν· ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων
πορεύηται, τότε ταῦτα διαφθείρεται. κατὰ φύσιν γὰρ σάρ-
κες μὲν καὶ νεῦρα ἐξ αἵματος γίγνεται, νεῦρον μὲν ἐξ ἰνῶν
διὰ τὴν ξυγγένειαν, * σάρκες δὲ ἀπὸ τοῦ παγέντος, ὃ πήγνυ- D
ται χωριζόμενον ἰνῶν· τὸ δὲ ἀπὸ τῶν νεύρων καὶ σαρκῶν
ὀπιὸν αὖ γλίσχρον καὶ λιπαρὸν ἅμα μὲν τὴν σάρκα κολλᾷ
πρὸς τὴν τῶν ὀστῶν φύσιν αὐτό τε τὸ περὶ τὸν μυελὸν
ὀστοῦν τρέφον αὔξει, τὸ δ' αὖ διὰ τὴν πυκνότητα τῶν
ὀστῶν διηθούμενον καθαρώτατον γένος τῶν τριγώνων λειό-
τατόν τε καὶ λιπαρώτατον, λειβόμενον ἀπὸ τῶν ὀστῶν καὶ
στάζον, ἄρδει τὸν * μυελόν. καὶ κατὰ ταῦτα μὲν γιγνομέ- E
νων ἑκάστων ὑγίεια ξυμβαίνει τὰ πολλά· νόσοι δέ, ὅταν
ἐναντίως. ὅταν γὰρ τηκομένη σὰρξ ἀνάπαλιν εἰς τὰς φλέ-
βας τὴν τηκεδόνα ἐξιῇ †), τότε μετὰ πνεύματος αἷμα πολύ
τε καὶ παντοδαπὸν ἐν ταῖς φλεψὶ χρώμασι καὶ πικρότησι ††)
ποικιλλόμενον, ἔτι δὲ ὀξείαις καὶ ἁλμυραῖς δυνάμεσι, χολὰς
καὶ ἰχῶρας καὶ φλέγματα ἴσχει παντοῖα· παλιναίρετα γὰρ
πάντα γεγονότα καὶ διεφθαρμένα τό τε αἷμα αὐτὸ πρῶτον

*) ἴσ. βαρέα καὶ τἆλλα πάσας.
**) γρ. πλημμελήσῃ τούτων ἕκαστον.
***) γρ. Δευτέρων αὖ ξυστ.
†) γρ. ἐξίῃ.
††) γρ. πυκνότησι.

enim quoque mutato et migrante incalescunt quae prius frigebant, sicca autem in posterum fiunt humida, et levia quoque et gravia ceteraque omnes omnino mutationes accipiunt. solum videlicet, ut ponimus, id quod sibi constat et una eademque ratione et pro portione accedit et decedit, sinet id quod idem est atque ipsum salvum et sanum manere; quodcunque vero ab hac ratione aberrat decedens vel accedens, id diversitates varii omnisque generis et morbos et corruptiones infinitas afferet. secundae porro quum constructiones naturae convenienter conflatae sint, secunda morborum consideratio obtingit perspecturo. quia enim medulla et ossa et caro et nervus ex illis compacta sunt, praeterea quoque sanguis, alio quidem modo, ex iisdem vero natus, reliquorum quidem morbi plurimi quemadmodum priores eveniunt, maximi vero iique graves hac ratione incidunt: quum videlicet eorum ortus ordine inverso progreditur, tum corrumpuntur. secundum naturam enim carnes et nervi e sanguine exsistunt, et nervus quidem e fibris propter cognationem, carnes vero e compacto eo quod a fibris separatum coaluit; quod autem a nervis et carnibus abscedit glutinosum illud quidem et pingue, id simul carnem ossium naturae agglutinat ipsaque medullam circumdantia ossa nutrit et auget, id porro quod per densitatem ossium transfunditur purissimum genus triangulorum, levissimum et pinguissimum, fluens ab ossibus atque stillans, irrigat medullam. et hac quidem ratione quaeque quum accidunt, sanitas obtingit ex maxima parte, morbi vero, quum contra. quum enim caro liquescens rursus in venas liquescendi statum transmittit, tum una cum spiritu sanguis multus et varius in venis coloribus et amaritudine, praeterea acidis et salsis viribus distinctus, bilem et serum et pituitam gignit omnis generis; contraria enim ratione quum omnia fiunt et corrumpuntur, ipsum sanguinem primum perdunt,

διόλλυσι, καὶ αὐτὰ οὐδεμίαν τροφὴν * ἔτι τῷ σώματι παρέ- 83
χοντα φέρεται πάντῃ διὰ τῶν φλεβῶν, τάξιν τῶν κατὰ φύ-
σιν οὐκέτ' ἴσχοντα *) περιόδων, ἐχθρὰ μὲν αὐτὰ αὑτοῖς
διὰ τὸ μηδεμίαν ἑαυτῶν ἀπόλαυσιν ἔχειν, τῷ ξυνεστῶτι δὲ
τοῦ σώματος καὶ μένοντι κατὰ χώραν πολέμια, διολλύντα
καὶ τήκοντα. ὅσον μὲν οὖν ἂν **) παλαιότατον ὂν τῆς σαρ-
κὸς τακῇ, δύσπεπτον γιγνόμενον μελαίνει μὲν ὑπὸ παλαιᾶς
ξυγκαύσεως, διὰ δὲ τὸ πάντῃ διαβεβρῶσθαι πικρὸν ὂν παντὶ
χαλεπὸν. προσπίπτει * τοῦ σώματος, ὅσον ἂν μήπω διε- B
φθαρμένον ᾖ ***). καὶ τοτὲ μὲν ἀντὶ τῆς πικρότητος ὀξύτητα
ἔσχε τὸ μέλαν χρῶμα, ἀπολεπτυνθέντος μᾶλλον τοῦ πικροῦ·
τοτὲ δὲ ἡ πικρότης αὖ βαφεῖσα αἵματι χρῶμα ἔσχεν ἐρυ-
θρότερον, τοῦ δὲ μέλανος τούτῳ ξυγκεραννυμένου χλοῶδες·
ἔτι δὲ ξυμμίγνυται ξανθὸν χρῶμα μετὰ τῆς πικρότητος,
ὅταν νέα ξυντακῇ σὰρξ ὑπὸ τοῦ περὶ τὴν φλόγα πυρός.
καὶ τὸ μὲν κοινὸν ὄνομα πᾶσι τούτοις ἤ τινες ἰατρῶν * πού C
χολὴν ἐπωνόμασαν †) ἢ καί τις ὢν δυνατὸς εἰς πολλὰ μὲν
καὶ ἀνόμοια βλέπειν, ὁρᾶν δ' ἐν αὐτοῖς ἓν γένος ἐνὸν ἄξιον
ἐπωνυμίας πᾶσι· τὰ δ' ἄλλα ὅσα χολῆς εἴδη λέγεται, κατὰ
τὴν χρόαν ἔσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. ἰχὼρ δέ, ὁ μὲν
αἵματος ὀρὸς ††) πρᾶος, ὁ δὲ μελαίνης χολῆς ὀξείας τε
ἄγριος, ὅταν ξυμμιγνύηται διὰ θερμότητα ἁλμυρᾷ δυνά-
μει· καλεῖται δὲ ὀξὺ φλέγμα τὸ τοιοῦτον. τὸ δ' αὖ με-
τὰ ἀέρος τηκόμενον ἐκ νέας καὶ ἁπαλῆς σαρκός, * τού- D
του δὲ ἀνεμωθέντος καὶ ξυμπεριληφθέντος ὑπὸ ὑγρότητος,
καὶ πομφολύγων ξυστασῶν ἐκ τοῦ πάθους τούτου καθ' ἑκά-
στην μὲν ἀοράτων διὰ σμικρότητα, ξυναπασῶν δὲ τὸν ὄγ-
κον †††) παρεχομένων ὁρατόν, χρῶμα ἐχουσῶν διὰ τὴν τοῦ
ἀφροῦ γένεσιν ἰδεῖν λευκόν, ταύτην πᾶσαν τηκεδόνα ἁπα-
λῆς σαρκὸς μετὰ πνεύματος ξυμπλακεῖσαν λευκὸν εἶναι φλέγ-
μα φαμέν. φλέγματος δὲ νέου ξυνισταμένου ὀρὸς (*) ἱδρὼς καὶ
δάκρυον, ὅσα * τε ἄλλα τοιαῦτα σῶμα τὸ καθ' ἡμέραν χεῖ- E
ται καθαιρόμενον. καὶ ταῦτα μὲν δὴ πάντα νόσων ὄργανα

*) γρ. κατὰ φύσιν ἔχοντα. **) γρ. αὖ. ***) γρ. εἴη.
†) γρ. ὠνόμασαν. ††) γρ. ὀῤῥός. †††) γρ. τῶν ὄγκων.
(*) γρ. ὀῤῥός.

et ipsa nullum alimentum iam corpori praebentia feruntur in omnes partes per venas, nullum iam conversionum naturae convenientium ordinem servantia, inimica ipsa inter se, quia nullum inter se usum afferunt, compactis vero corporis partibus et manentibus in loco infesta, perdentia et liquantia. quantum quidem carnis vetustissimi liquatur, id concoctu difficile fit et nigrescit propter veterem exustionem; quia vero penitus peresum est, amarum se exhibet omnibusque corporis partibus nondum corruptis incommodum accidit. et modo pro amaritudine acerbitatem accipit niger color, magis attenuato amaro, modo amaritudo sanguine tincta colorem nanciscitur rubriorem et, nigro cum hoc temperato, bili similem; praeterea flavus quoque color commiscetur cum amaritudine, quando recens caro colliquefacta est ab ignis flamma et commune his omnibus nomen bilis vel medici aliqui imposuerunt vel quispiam qui potuit multa et dissimilia perspicere unumque in his genus videre dignum a quo omnia denominarentur; reliquae autem quae bilis species dicuntur, secundum colorem propriam quaeque rationem habent. de sero autem, sanguinis quidem humor mitis est, nigrae vero bilis et acidae ferus, quum propter calorem commiscetur cum vi salsa; vocatur autem hic acida pituita. id porro quod cum aëre liquescit e recente et tenera carne, quum inflatum est unaque comprehensum ab humore, ita ut bullae coalescant ex hac affectione singulatim quidem sub adspectum non cadentes propter parvitatem, simul vero omnes molem exhibentes adspectabilem, et colorem habentes propter spumam orientem album adspectu, hanc omnem tenerae carnis liquescentis et cum aëre connexae affectionem albam dicimus pituitam esse. pituitae autem recens conflatae humor est sudor et lacryma et quaecumque alia corpus quotidie se purgans fundit. et haec quidem omnia morbo-

γέγονεν, ὅταν αἷμα μὴ ἐκ τῶν σιτίων καὶ ποτῶν ᾖ πλη-
θύον *) κατὰ φύσιν, ἀλλ' ἐξ ἐναντίων τὸν ὄγκον παρὰ
τοὺς τῆς φύσεως λαμβάνῃ νόμους. διακρινομένης μὲν οὖν
ὑπὸ νόσων τῆς **) σαρκὸς ἑκάστης, μενόντων δὲ τῶν πυ-
θμένων αὐταῖς ἡμίσεια τῆς ξυμφορᾶς ἡ δύναμις· ἀνάληψιν
γὰρ ἔτι μετ' εὐπετείας ἴσχει. τὸ δὲ δὴ σάρκας * ὀστοῖς ξυν- 84
δοῦν ὁπότ' ἂν ***) νοσήσῃ, καὶ μηκέτι αὖ τὸ ἐξ ἰνῶν αἷ-
μα †) καὶ νεύρων ἀποχωριζόμενον ὀστῷ μὲν τροφή, σαρκὶ
δὲ πρὸς ὀστοῦν γίγνηται δεσμός, ἀλλ' ἐκ λιπαροῦ καὶ λείου
καὶ γλίσχρου τραχὺ καὶ ἁλμυρὸν αὐχμῆσαν ὑπὸ κακῆς διαί-
της γένηται, τότε ταῦτα πάσχον πᾶν τὸ τοιοῦτον καταψή-
χεται ††) μὲν αὐτὸ πάλιν ὑπὸ τὰς σάρκας καὶ τὰ νεῦρα, ἀφι-
στάμενον ἀπὸ τῶν ὀστῶν, αἱ δ' ἐκ τῶν * ῥιζῶν ξυνεκπί- B
πτουσαι τά τε νεῦρα γυμνὰ καταλείπουσι καὶ μεστὰ †††)
ἅλμης, αὐταὶ δὲ πάλιν εἰς τὴν αἵματος φορὰν ἐμπεσοῦσαι
τὰ πρόσθεν ῥηθέντα νοσήματα πλείω ποιοῦσι. χαλεπῶν δὲ
τούτων περὶ τὰ σώματα παθημάτων γιγνομένων μείζω ἔτι
γίγνεται τὰ πρὸ τούτων, ὅταν ὀστοῦν διὰ πυκνότητα σαρ-
κὸς ἀναπνοὴν μὴ λαμβάνον ἱκανήν, ὑπ' εὐρῶτος θερμαι-
νόμενον, σφακελίσαν μήτε τὴν τροφὴν καταδέχηται πάλιν
τε αὐτὸ * εἰς ἐκείνην ἐναντίως ἴῃ ψηχόμενον (*), ἡ δ' C
εἰς σάρκας, σὰρξ δὲ εἰς αἷμα ἐμπίπτουσα τραχύτερα πάντα
τῶν πρόσθεν τὰ νοσήματα ἀπεργάζηται. τὸ δ' ἔσχατον πάν-
των, ὅταν ἡ τοῦ μυελοῦ φύσις ἀπ' (**) ἐνδείας ἤ τινος
ὑπερβολῆς νοσήσῃ, τὰ μέγιστα καὶ κυριώτατα πρὸς θάνα-
τον τῶν νοσημάτων ἀποτελεῖ, πάσης ἀνάπαλιν τῆς τοῦ σώ-
ματος φύσεως ἐξ ἀνάγκης ῥυείσης. Τρίτον δ' αὖ νοσημάτων
εἶδος τριχῇ δεῖ διανοεῖσθαι γιγνόμενον, τὸ * μὲν ὑπὸ πνεύμα- D
τος, τὸ δὲ φλέγματος, τὸ δὲ χολῆς. ὅταν μὲν γὰρ ὁ τῶν πνευ-
μάτων τῷ σώματι ταμίας πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξ-
όδους ὑπὸ ῥευμάτων φραχθείς, ἔνθα μὲν οὐκ ἰόν, ἔνθα δὲ
πλέον ἢ τὸ προσῆκον πνεῦμα εἰσιὸν τὰ μὲν οὐ τυγχάνοντα

*) ἄλλ. πληθύσῃ. **) γρ. οὖν τῆς. ***) γρ. ὁπότε.
†) γρ. ἐξ ἐκείνων ἄμμα. ††) γρ. καταψύχεται.
†††) γρ. μετά. (*) γρ. ψυχόμενον.
(**) ἴσ. ὑπ'.

rum instrumenta exstiterunt, quando sanguis non e cibis et potibus naturae convenienter sese implet, sed e contrariis praeter naturae leges molem accipit. dum igitur a morbis caro quaeque dissolvitur, radices vero ei manent, dimidia est vis calamitatis; facile enim illa recuperari potest. quum autem id quod carnes cum ossibus nectit aegrotat, nec iam sanguis e fibris et nervis secretus ossibus alimentum praebet, quamquam carnis et ossium exsistit vinculum, sed e pingui et levi et glutinoso asper et salsus fit, quippe arescens propter pravum victum, tum quidque ita affectum conteritur quidem ipsum rursus sub carnes et nervos, secedens ab ossibus, carnes vero e radicibus simul excidentes nervos relinquunt nudos plenosque salsi humoris, ipsae dein rursus in sanguinis cursum incidentes morbos supra dictos plures efficiunt. gravibus autem his corporis affectionibus maiores etiam exsistunt quae illas praecedunt, quum os propter carnis densitatem respirationem non iustam accipit et a carie incalescens exesumque alimentum nullum recipit, ipsumque in illud contrario modo revertitur contritum, hoc vero in carnes, et caro in sanguinem incidens asperiores omnes superioribus morbos efficit. omnium autem extremum, quum medullae natura e defectu vel nimia aliqua copia aegrotat, maximos et ad mortem efficacissimos morbos affert, universa corporis natura cum necessitate ordine inverso fluente. Tertiam morborum speciem trifariam fieri oportet existimari, e spiritu, e pituita et e bili. quando videlicet qui spirituum corpori procurator est pulmo non puros praebet transitus a fluxionibus obstructus, spiritus huc quidem non intrans, illuc vero copiosior quam convenit ingrediens ea quae respiratione carent putrefacit,

ἀναψυχῆς σήπει, τὰ δὲ τῶν φλεβῶν διαβιαζόμενον *) καὶ ξυνεπιστρέφον αὐτὰ τῆκόν τε τὸ σῶμα εἰς τὸ μέσον αὐτοῦ διάφραγμά τε ἴσχον ἐναπολαμβάνεται, καὶ μυρία * δὴ νο- E
σήματα ἐκ τούτων ἀλγεινὰ μετὰ πλήθους ἱδρῶτος ἀπείργασται. πολλάκις δ' ἐν τῷ σώματι διακριθείσης σαρκὸς πνεῦμα ἐγγενόμενον καὶ ἀδυνατοῦν ἔξω πορευθῆναι τὰς αὐτὰς τοῖς ἐπεισεληλυθόσιν ὀδύνας **) παρέσχε, μεγίστας δέ, ὅταν περὶ τὰ νεῦρα καὶ τὰ ταύτῃ φλέβια περιστὰν καὶ ἀνοιδῆσαν τούς τε ἐπιτόνους καὶ τὰ ξυνεχῆ νεῦρα οὕτως εἰς τὸ ἐξόπισθεν κατατείνῃ τούτοις· ἃ δὴ καὶ ἀπ' αὐτοῦ τῆς ξυντονίας τοῦ παθήματος τὰ νοσήματα τέτανοί τε καὶ ὀπισθότονοι προσεῤῥήθησαν. ὧν καὶ τὸ φάρμακον χαλεπόν· πυρετοὶ γὰρ οὖν δὴ τὰ τοιαῦτα γιγνόμενοι μάλιστα λύουσι. * τὸ δὲ 85
λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀποληφθέν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μέν, καταποικίλλει δὲ τὸ σῶμα λεύκας ἀλφούς τε καὶ τὰ τούτων ξυγγενῆ νοσήματα ἀποτίκτον. μετὰ χολῆς δὲ μελαίνης κερασθὲν ἐπὶ τὰς περιόδους τε τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας ἐπισκεδαννύμενον καὶ ξυνταράττον αὐτάς, καθ' ὕπνον μὲν ἰὸν πραότερον ***), ἐγρηγορόσι * δὲ ἐπιτιθέμενον B
δυσαπαλλακτότερον· νόσημα δὲ ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται. φλέγμα δὲ ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων ὅσα γίγνεται καταῤῥοϊκά· διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας παντοῖα ὀνόματα †) εἴληφεν. ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος, ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα * μὲν οὖν ἀναπνοὴν ἔξω παντοῖ' ἀναπέμπει φύμα- C
τα ††) ζέουσα, καθειργνυμένη δ' ἐντὸς πυρίκαυτα νοσήματα πολλὰ ἐμποιεῖ, μέγιστον δέ, ὅταν αἵματι καθαρῷ ξυγκερασθεῖσα τὸ τῶν ἰνῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορῇ τάξεως, αἳ διεσπάρησαν μὲν εἰς αἷμα, ἵνα ξυμμέτρως λεπτότητος ἴσχοι καὶ πάχους καὶ μήτε διὰ θερμότητα ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνότερον δυσ-

---

*) ἴσ. διαβιβαζόμενον. **) ἄλλ. ὠδῖνας.
***) γρ. πραΰτερον. †) γρ. νοσήματα.
††) γρ. φυσήματα.

per venas autem traiectus unaque eas circumagens et liquefaciens corpus in medio hoc et septo includitur; et innumerabiles ex his morbi acerbi multo cum sudore exsistunt. saepe vero in corpore secreta carne spiritus exoriens qui egredi nequit eosdem quos qui ingreditur dolores creat, maximos vero, quando nervis et venis hac in parte exstantibus circumfusus et intumescens ligamina nervosque continuos ita in partem posteriorem distendit; qui quidem morbi ab ipsa intentionis affectione tensiones (τετανοί et ὀπισθότονοι) nominati sunt. quorum etiam remedium difficile; febres enim exsistentes tales maxime solvunt. alba vero pituita propter bullarum spiritum interclusum difficilis, extra corpus autem si respirationes habet, mitior quidem est, corpus vero distinguit albugines et vitiligines hisque cognatos morbos procreans. cum bili autem nigra temperata et in circuitus qui quidem divinissimi sunt in capite dispersa eosque perturbans, per somnum quum invadit, lenior, vigilantes autem quum adoritur, difficilius repellitur; et morbus hic quum sacrae sit naturae rectissime sacer appellatur. pituita autem acida et salsa fons est omnium morborum qui destillationes vocantur; quia vero loci in quos fluit varii sunt, varia invenerunt morbi nomina. quaecumque porro corporis partes inflammatae dicuntur, eo quod incenduntur et inflammantur a bili, tales exsistunt. et accipiens quidem respirationem varias emittit vomicas ebulliens, inclusa vero intus multos urentes iniicit morbos, maximum autem, quando puro cum igne temperata fibrarum genus ex ordine suo dimovet, quae dispersae sunt in sanguinem, ut moderatam haberet tenuitatem et crassitudinem, et neque propter calorem quippe liquidus e raro corpore effluerct, neque, densior si esset, difficilius

κίνητον ὂν μόγις ἀναστρέφοιτο *) ἐν ταῖς * φλεψί. καιρὸν D δὴ τούτων ἶνές τῇ τῆς φύσεως γενέσει φυλάττουσιν· ἃς ὅταν τις καὶ τεθνεῶτος αἵματος ἐν ψύξει τε ὄντος πρὸς ἀλλήλας ξυναγάγῃ, διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα, ἐαθεῖσαι δὲ ταχὺ μετὰ τοῦ περιεστῶτος αὐτὸ ψύχους ξυμπηγνύασι. ταύτην δὴ τὴν δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι χολὴ φύσει παλαιὸν αἷμα γεγονυῖα καὶ πάλιν ἐκ τῶν σαρκῶν ἐς τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρὰ κατ᾽ ὀλίγον τὸ πρῶτον ἐμπίπτουσα πήγνυται διὰ * τὴν τῶν ἰνῶν δύναμιν, πηγνυμένη E δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων δ᾽ ἐπιῤῥέουσα, τῇ παρ᾽ αὐτῆς θερμότητι κρατήσασα τὰς ἶνας εἰς ἀταξίαν ζέσασα διέσεισε **), καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος κάουσα ἔλυσε τὰ τῆς ψυχῆς αὐτόθεν οἷον νεὼς πείσματα μεθῆκέ τε ἐλευθέραν, ὅταν δ᾽ ἐλάττων ᾖ τό τε σῶμα ἀντίσχῃ τηκόμενον, αὐτὴ κρατηθεῖσα ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέπεσεν, ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιασάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ * δυσεντερίας 86 καὶ τὰ τοιαῦτα νοσήματα πάντα παρέσχετο. τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα ξυνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δ᾽ ἐξ ἀέρος ἀμφημερινούς, τριταίους δ᾽ ὕδατος διὰ τὸ νωθέστερον ἀέρος καὶ πυρὸς αὐτὸ εἶναι· τὸ δὲ γῆς, τετάρτως ὂν νωθέστατον τούτων, ἐν τετραπλασίαις περιόδοις χρόνου καθαιρόμενον ***), τεταρταίους πυρετοὺς ποιῆσαν ἀπαλλάττεται μόγις.

* Καὶ τὰ μὲν περὶ τὸ σῶμα νοσήματα ταύτῃ ξυμβαίνει B γιγνόμενα, τὰ δὲ περὶ ψυχὴν διὰ σώματος ἕξιν τῇδε. νόσον μὲν δὴ ψυχῆς ἄνοιαν ξυγχωρητέον· δύο δ᾽ ἀνοίας γένη, τὸ μὲν μανίαν, τὸ δ᾽ ἀμαθίαν. πᾶν οὖν ὅ τι πάσχων τις πάθος ὁπότερον αὐτῶν ἴσχει, νόσον προσρητέον. ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ· περιχαρὴς γὰρ ἄνθρωπος ὢν ἢ καὶ τἀναν-

---

*) γρ. ἀντιστρέφοιτο.
**) γρ. διέσωσε.
***) ἴσ. καθαιρούμενον.

moveretur vixque converteretur in venis. hanc igitur potestatem fibrae naturae conservant, quas si quis, etiam emortuo sanguine atque refrigerato, inter se colligat, reliquus omnis sanguis diffunditur, missae autem celeriter eum cum frigore circumfuso compingunt. hanc igitur vim quum fibrae habeant in sanguine, bilis quae natura vetustus sanguis fuit rursusque e carnibus in hoc liquata est, calida et humida paullatim primum incidens compingitur fibrarum vi compressa, compacta vero et vi exstincta procellam et tremorem intus excitat. uberior autem quum affluit, proprio suo calore superat fibras ebulliens et ita concutit ut perturbentur, et si perpetuo potuerit superare, ad medullae penetrans genus urendo solvit inde animi tamquam navis funes liberumque mittit, minus autem quum copiosa est corpusque resistit ne liquetur, ipsa superata aut per totum corpus expellitur, aut per venas in ventrem inferiorem vel superiorem contrusa, tamquam exsul e civitate seditiosa e corpore eiecta, profluvia, malos intestinorum habitus omnesque huiusmodi morbos infert. et corpus quidem ex igne nimio maxime aegrotans continuos calores et febres exhibet, ex aëre nimio aegrotans quotidianas, ex aqua tertianas, propterea quod segnior est aëre et igne; e terra vero si aegrotat, quae quadruplo segnior est illis, in quadruplicibus temporis circuitibus prosternitur febresque efficit quartanas a quibus vix liberatur.

Et corporis quidem morbi ita solent accidere, animi vero e corporis habitu sic exsistunt. morbum igitur animi dementiam esse fatendum, duo autem dementiae genera, insaniam unum, alterum insipientiam. quomodocumque igitur quispiam affectus alterutrum illorum habet, morbus haec affectio appellanda. voluptates vero et dolores effrenati maximi animi morbi ponendi; homo enim laetitia exsultans vel etiam contra

τία ὑπὸ λύπης πάσχων, σπεύδων τὸ * μὲν ἑλεῖν ἀκαίρως, C
τὸ δὲ φυγεῖν, οὔτε ὁρᾷν οὔτε ἀκούειν ὀρθὸν οὐδὲν δύνα-
ται, λυττᾷ δὲ καὶ λογισμοῦ μετασχεῖν ἥκιστα τότε δὴ δυ-
νατός. τὸ δὲ σπέρμα ὅτῳ πολὺ καὶ ῥυῶδες περὶ τὸν μυελὸν
γίγνεται, καὶ καθαπερεὶ δένδρον πολυκαρπότερον τοῦ ξυμ-
μέτρου πεφυκὸς ᾖ *), πολλὰς μὲν καθ' ἕκαστον ὀδύνας**),
πολλὰς δ' ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις καὶ τοῖς περὶ
τὰ τοιαῦτα τόκοις, ἐμμανὴς τὸ πλεῖστον γιγνόμενος τοῦ
βίου διὰ τὰς μεγίστας ἡδονὰς * καὶ λύπας, νοσοῦσαν καὶ D
ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχὴν, οὐχ ὡς νοσῶν,
ἀλλ' ὡς ἑκὼν κακὸς κακῶς δοξάζεται. τὸ δὲ ἀληθὲς, ἡ περὶ
τὰ ἀφροδίσια ἀκολασία κατὰ τὸ πολὺ μέρος διὰ τὴν ἑνὸς γέ-
νους ἕξιν ὑπὸ μανότητος ὀστῶν ἐν σώματι ῥυώδη καὶ ὑγραί-
νουσαν νόσος ψυχῆς γέγονε. καὶ σχεδὸν δὴ πάντα ὁπόσα
ἡδονῶν ἀκρατία καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν,
οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ
πονηρὰν ἕξιν * τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον τροφὴν E
ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἐχθρὰ καὶ κακόν
τι ***) προσγίγνεται. καὶ πάλιν δὴ τὸ περὶ τὰς λύπας ἡ
ψυχὴ κατὰ ταὐτὰ διὰ σῶμα πολλὴν ἴσχει κακίαν. ὅπου γὰρ
ἂν οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων καὶ ὅσοι πι-
κροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες ἔξω
μὲν μὴ λάβωσιν ἀναπνοὴν, ἐντὸς δὲ εἱλούμενοι †) τὴν
ἀφ' αὑτῶν ἀτμίδα * τῇ τῆς ψυχῆς φορᾷ ξυμμίξαντες ἀνα- 87
κερασθῶσι, παντοδαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι, μᾶλλον
καὶ ἧττον, καὶ ἐλάττω καὶ πλείω· πρός τε τοὺς τρεῖς τό-
πους ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκαστον ††) αὐτῶν
προσπίπτῃ, ποικίλλει μὲν εἴδη δυσκολίας καὶ δυσθυμίας
παντοδαπά, ποικίλλει δὲ †††) θρασύτητός τε καὶ δειλίας,
ἔτι δὲ λήθης ἅμα καὶ δυσμαθίας. πρὸς δὲ τούτοις, ὅταν
οὕτω κακῶς παγέντων πολιτεῖαι κακαὶ καὶ λόγοι κατὰ * πό- B
λεις ἰδίᾳ καὶ δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ
τούτων ἰατικὰ ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ πάντες οἱ

*) ἴσ. ἦν. ἤ· πεφυκός, πολλὰς κτλ. **) γρ. ὠδῖνας.
***) ἴσ. καὶ ἄκοντι. †) ἴσ. ἰλλόμενοι. ††) ἴσ. ἕκαστος.
†††) γρ. ποικίλλῃ μὲν — ποικίλλῃ δέ.

dolore nimio affectus, dum hoc quidem immoderate ſtudet asſequi, illud vero fugere, neque videre neque audire quicquam recte poteſt, ſed furit et rationis compos minime eſſe tum poteſt. ſemen autem cui multum largeque fluens circa medullam obtingit et ſic comparatum ut arbor nimis fecunda, is multos dolores multasque voluptates in cupiditatibus earumque fetibus percipit, furioſus per maximam vitae partem exſiſtit propter maximas voluptates et dolores, et, animum quum habeat aegrotantem ac dementem per corpus, non aegrotus, ſed ultro malus male exiſtimatur. veritas autem ſic ſe habet: rerum Venerearum intemperantia magna ex parte per unius generis habitum propter oſſium raritatem in corpore affluentem et humidum exſiſtens animi morbus evadit. et omnis fere voluptatum intemperantia quae probro habetur, quaſi homines ſua ſponte ſint mali, non recte exprobratur; malus enim nemo eſt ſua ſponte, ſed per pravum quendam corporis habitum et incultam educationem malus exſiſtit quicumque malus evadit, et cuique hoc adverſum eſt et invito accidit. et rurſus quod ad dolores attinet animus ſimiliter per corpus multam accipit pravitatem. quando enim acris et ſalſae pituitae humores et quicumque amari et bilioſi per corpus vagantes foras reſpirationem non accipiunt, ſed intus conſtricti halitum ſuum cum animi curſu commiſcent et temperant, varios animi morbos inferunt, magis et minus, pauciores et plures; et ad tres illos animi locos delati, in quemcumque quisque eorum incurrit, varias diſtinguit moroſitatis et triſtitiae ſpecies, varias diſtinguit audaciae et timiditatis, praeterea etiam oblivionis tardique ingeni. ad haec vero quum ita male concretis civitates accedunt pravae et ſermones huiusmodi in civitatibus privatim et publice conferuntur, praeterea diſciplinae neutiquam his medentes a pueris percipiuntur, tum pravi omnes qui pravi evadimus dua-

κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα. ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων, προθυμητέον μήν, ὅπῃ τις δύναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δὲ ἑλεῖν. ταῦτα μὲν οὖν δὴ τρόπος ἄλλος λόγων.

* Τὸ δὲ τούτων ἀντίστροφον αὖ, τὸ περὶ τὰς τῶν σω- C
μάτων καὶ διανοήσεων θεραπείας, αἷς αἰτίαις σώζεται, πάλιν εἰκὸς καὶ πρέπον ἀνταποδοῦναι· δικαιότερον γὰρ τῶν ἀγαθῶν πέρι μᾶλλον ἢ τῶν κακῶν ἴσχειν λόγον. πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ ἄμετρον· καὶ ζῶον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον. ξυμμέτρων *) δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα
καὶ μέγιστα ἀλογίστως ἔχομεν. πρὸς γὰρ ὑγιείας * καὶ νό- D
σους ἀρετάς τε καὶ κακίας οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν σκοποῦμεν, οὐδ' ἐννοοῦμεν ὅτι ψυχὴν ἰσχυρὰν καὶ πάντῃ μεγάλην ἀσθενέστερον καὶ **) ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τούτω, οὐ καλὸν ὅλον τὸ ζῶον (ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις), τὸ δ' ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν κάλλιστον καὶ ἐρασμι-
ώτατον. * οἷον οὖν ὑπερσκελὲς ἢ καί τινα ἑτέραν ὑπὲρ ἕξιν ***) E
ἄμετρον ἑαυτῷ τι σῶμα ὂν ἅμα μὲν αἰσχρόν, ἅμα δ' ἐν τῇ κοινωνίᾳ τῶν πόνων πολλοὺς μὲν κόπους, πολλὰ δὲ σπάσματα καὶ διὰ τὴν παραφορότητα πτώματα παρέχον μυρίων κακῶν αἴτιον ἑαυτῷ, ταὐτὸν δὴ διανοητέον καὶ περὶ τοῦ ξυναμφοτέρου, ζῶον ὃ καλοῦμεν, ὡς, ὅταν τε ἐν αὐτῷ ψυχὴ κρείττων οὖσα σώμα-
τος περιθύμως ἴσχῃ, διασείουσα * πᾶν αὐτὸ ἔνδοθεν νόσων 88
ἐμπίπλησι, καὶ ὅταν εἴς τινας μαθήσεις καὶ ζητήσεις ξυν-

---

*) ἄλλ. ξυμμετριῶν.
**) γρ. ἢ.
***) ἄλλ. ὑπέρεξιν. ἴσ. ὑπερέχουσαν ἕξιν.

bus de caussis exsistimus minime e voluntate nostra aptis. quorum quidem culpa procreantibus quibusque magis attribuenda est quam procreatis et educantibus magis quam educatis, conandum vero, quomodo quis potest, per educationem et studia et disciplinas fugere pravitatem, contrarium autem assequi. haec vero aliam desiderant disputandi rationem.

De eo autem quod ex altera parte his respondet, de corporum et cogitationum curatione, quibus caussis adiuvantibus conserventur, consentaneum et conveniens est vicissim exponi; aequius enim est bonorum quam malorum rationem habere. omne igitur bonum est pulchrum, pulchrum vero haud immoderatum; itaque animal quoque tale futurum moderatum et concinnum est ponendum. et ex moderatis quidem ea quae parva sunt percipimus et colligimus, verissima autem et maxima haud consideramus. nam ad sanitates et morbos, virtutes et pravitates nulla moderatio et immoderatio maior est quam animi ipsius ad corpus ipsum; quorum nihil perpendimus neque intelligimus, animum robustum omnibusque partibus magnum imbecillior minorque species quum vehat, quumque contrario modo ambo sint compacta, non pulchrum esse totum animal (abhorrere enim maxima a convenientia et moderatione), id vero quod contra se habeat omnium esse spectaculorum ei qui perspicere possit pulcherrimum et amabilissimum. quemadmodum igitur corpus quod grandiora habet crura vel alio quopiam habitu nimio affectum sibique haud conveniens nec moderatum est simul deforme se exhibet simulque in laborum communitate multas lassitudines multasque convulsiones et propter vacillationes lapsus efficit infinitaque sibi mala infert, idem existimandum est etiam de utroque coniuncto, animal quod appellamus: quando videlicet in eo animus insit potentior corpore exsultansque, eum totum concutere intusque morbis implere, et quum ad disciplinas aliquas et quaestio-

τόνως †) ἴῃ, κατατήκει, διδαχάς τ' αὖ καὶ μάχας ἐν λόγοις
ποιουμένη δημοσίᾳ καὶ ἰδίᾳ δι' ἐρίδων καὶ φιλονεικιῶν ††)
γιγνομένων διάπυρον αὐτὸ ποιοῦσα λύει, καὶ ῥεύματα ἐπά-
γουσα, τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους, τἀν-
αντία αἰτιᾶσθαι ποιεῖ· σῶμά τε ὅταν αὖ μέγα καὶ ὑπέρψυ-
χρον *) σμικρᾷ ξυμφυὲς ἀσθενεῖ τε διανοίᾳ γένηται, διττῶν
ἐπιθυμιῶν * οὐσῶν φύσει κατ' ἀνθρώπους, διὰ σῶμα μὲν B
τροφῆς, διὰ δὲ τὸ θειότατον τῶν ἐν ἡμῖν φρονήσεως, αἱ
τοῦ κρείττονος κινήσεις κρατοῦσαι καὶ τὸ μὲν σφέτερον αὔ-
ξουσαι, τὸ δὲ τῆς ψυχῆς κωφὸν καὶ δυσμαθὲς ἀμνῆμόν τε
ποιοῦσαι τὴν μεγίστην νόσον ἀμαθίαν ἐναπεργάζονται. μία
δὴ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος
κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω **) γιγνή-
σθον ἰσοῤῥόπω καὶ ὑγιῆ. τὸν δὴ μαθηματικὸν * ἤ τινα ἄλ- C
λην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ
σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα,
τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀποδο-
τέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον,
εἰ μέλλει δικαίως τις ἅμα μὲν καλός, ἅμα δὲ ἀγαθὸς ὀρθῶς
κεκλήσεσθαι. Κατὰ δὲ ταὐτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον,
τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ
τῶν εἰσιόντων * καομένου τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν D
ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου καὶ τὰ τού-
τοις ἀκόλουθα πάσχοντος ὑπ' ἀμφοτέρων τῶν κινήσεων,
ὅταν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ ταῖς κινή-
σεσι, κρατηθὲν διώλετο, ἐὰν δὲ ἣν τροφὸν καὶ τιθήνην
τοῦ παντὸς προσείπομεν μιμῆταί τις, καὶ τὸ σῶμα μάλιστα
μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ, κινῇ δὲ καὶ σεισμοὺς ἀεί
τινας ἐμποιῶν αὐτῷ διὰ παντὸς * τὰς ἐντὸς καὶ ἐκτὸς E
ἀμύνηται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων τά τε
περὶ τὸ σῶμα πλανώμενα παθήματα καὶ μέρη κατὰ ξυγ-
γενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρό-
σθεν λόγον ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρ'

†) ἄλλ. εὐτόνως. ††) ἄλλ. φιλονεικίας.
*) ἄλλ. ὑπέρψυχον.
**) ἴσ. ἁμιλλωμένω.

nes contente aggrediatur, corpus liquefacere, docentem porro et altercantem publice et privatim, lites quum exoriantur et contentiones, fervidum corpus reddere et folvere, et fluxiones inferentem plurimos medicorum qui dicuntur adeo fallere ut contrariis caufam attribuant; contra fi corpus ingens nimisque fegne copulatum fuerit cum pufilla et imbecilla mente, quum duae cupiditates natura homini infitae fint, per corpus quidem alimenti, per diviniffimam vero noftri partem fapientiae, potentioris naturae motus fuperantes remque fuam augentes, animum vero hebetem et indocilem et immemorem reddentes maximum morbum infcitiam efficere. una igitur amborum falus reperitur, fi neque animum fine corpore movemus neque corpus fine animo, ut contendentia evadant aequalia inter fe atque fana. doctrinarum igitur ftudiofum vel in alia quapiam meditatione mentisque exercitatione verfantem corporis quoque motionem adiungere oportet, gymnafticam tractantem, eum contra qui corpus fedulo fingit et excolit, animi adiungere oportet motiones, mufica univerfaque philofophia utentem, fi iure quis voluerit fimul pulcher fimulque vere bonus appellari. Eadem vero hac ratione etiam partes curandae funt ad univerfitatis fpeciei fimilitudinem. etenim quum corpus ab iis quae ingrediuntur uratur intus et refrigeretur, rurfusque a rebus externis exficcetur et humectetur, eaque quae cum his coniuncta funt patiatur ab utrisque motionibus, quando quis quiefcens corpus tradit motionibus, fuperatum perit, quando vero quam altricem et nutricem univerfi appellavimus imitatur quispiam, et corpus omnino numquam quiefcere finit, fed movet et concuffiones femper aliquas ei iniiciens usquequaque interiores et exteriores repellit fecundum naturam motiones, modiceque concutiens affectiones in corpore vagantes eiusque partes pro cognatione in ordinem adducit inter fe, ex ea quam fupra de univerfo explicavimus oratione, non inimi-

ἐχθρὸν τιθέμενον ἐάσει πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ' αὖ κινήσεων ἡ * ἐν ἑαυτῷ ὑφ' ἑαυ- 89
τοῦ ἀρίστη κίνησις (μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενής), ἡ δὲ ὑπ' ἄλλου χείρων· χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν δι' ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ ξυστάσεων τοῦ σώματος ἡ μὲν διὰ τῶν γυμνασίων ἀρίστη, δευτέρα δὲ ἡ διὰ τῶν αἰωρήσεων κατά τε τοὺς πλοῦς καὶ ὅπηπερ ἂν ὀχήσεις ἄκοποι γίγνωνται· τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, * ἄλλως δὲ οὐδαμῶς B
τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. τὰ γὰρ νοσήματα, ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον φαρμακείαις· πᾶσα γὰρ ξύστασις νόσων τρόπον τινὰ τῇ τῶν ζώων φύσει προσέοικε. καὶ γὰρ ἡ τούτων ξύνοδος ἔχουσα τεταγμένους τοῦ βίου γίγνεται χρόνους, τοῦ τε γένους ξύμπαντος, καὶ καθ' αὑτὸ τὸ ζῶον εἱμαρμένον ἕκαστον ἔχον τὸν βίον φύεται, χωρὶς τῶν ἐξ ἀνάγκης παθημάτων· * τὰ γὰρ τρίγωνα εὐθὺς C
κατ' ἀρχὰς ἑκάστου *) δύναμιν ἔχοντα ξυνίσταται μέχρι τινὸς χρόνου δυνατὰ ἐξαρκεῖν, οὗ βίον οὐκ ἄν ποτέ τις εἰς τὸ πέραν ἔτι βιῴη. τρόπος οὖν ὁ αὐτὸς καὶ τῆς περὶ τὰ νοσήματα ξυστάσεως· ἣν **) ὅταν τις παρὰ τὴν εἱμαρμένην τοῦ χρόνου φθείρῃ φαρμακείαις, ἅμα ἐκ σμικρῶν μεγάλα καὶ πολλὰ ἐξ ὀλίγων νοσήματα φιλεῖ γίγνεσθαι. διὸ παιδαγωγεῖν δεῖ διαίταις πάντα τὰ τοιαῦτα, καθ' ὅσον ἂν ᾖ τῳ σχολή, ἀλλ' * οὐ φαρμακεύοντα ***) κακὸν δύσκολον ἐρε- D
θιστέον. Καὶ περὶ μὲν τοῦ κοινοῦ ζώου καὶ τοῦ κατὰ τὸ σῶμα αὐτοῦ μέρους, ᾗ τις ἂν καὶ διαπαιδαγωγῶν καὶ διαπαιδαγωγούμενος ὑφ' αὑτοῦ μάλιστ' ἂν κατὰ λόγον ζῴη, ταῦτα †) λελέχθω. τὸ δὲ δὴ παιδαγωγῆσον αὐτὸ μᾶλλόν που καὶ πρότερον παρασκευαστέον εἰς δύναμιν ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν παιδαγωγίαν εἶναι. δι' ἀκριβείας μὲν οὖν

---

*) γρ. ἑκάστων. **) γρ. ἦν· ἃ.
***) γρ. φαρμακεύοντας.
†) ἀλλ. ταύτῃ.

cum inimico oppositum sinet belli inferre corpori atque morbos, sed id contendet ut amicum amico oppositum sanitatem efficiat. ex motionibus autem optima est quae ipsa in se a se ipsa concitatur (maxime enim mentis et universitatis motioni cognata est), quae vero aliunde concitatur, deterior; deterrima autem quae iacens corpus et quiescens per alia particulatim movet. quocirca purgationum et confirmationum corporis ea quae per exercitationes fit optima, secunda vero ea quae per pensiles gestationes fit in navigatione et quaecumque alia vectura est haud laboriosa. ac tertia motionis species admodum quandoque ei qui coactus est utilis, alio vero nullo modo prudenti admittenda, sanatio quae medica purgatione peragitur. morbi enim, nisi magna intendunt pericula, non irritandi sunt medicamentis; nam quaevis morborum constitutio animantium naturae quodammodo similis est. etenim horum coniunctio constituta habet vitae tempora, tam genus universum, quam animal quodque per se quod fatalem habens vitam nascitur, quum ab affectionibus necessariis discesseris. triangula enim statim ab initio cuiusque vim habentia composita sunt ita ut ad tempus aliquod sufficere possint, quod ultra numquam poterit aliquis vitam adhuc proferre. eadem igitur ratio est morborum constitutionis, quam si quis praeter necessitatem temporis corrumpit medicamentis, simul e parvis magni et multi e paucis morbi solent fieri. quocirca regi omnes hos oportet praescripta victus ratione, quantum quis oti habeat, non medicamentis adhibitis malum difficile est irritandum. Ac de communi quidem animante eiusque parte corporea, quomodo quis gubernans et gubernatus a se ipse rationi convenientissime vivat, haec dicta sunto. ipsum vero quod recturum est magis sine dubio et prius praeparandum pro viribus, ut quam pulcherrimum et optimum ad rectionem sit. accurate vero de his exponere operis

περὶ τούτων διελθεῖν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ' αὑτὸ μόνον ἔργον· * τὸ δ' ἐν παρέργῳ κατὰ τὰ πρόσθεν ἑπόμε- E
νος ἄν τις οὐκ ἄπο τρόπου τῇδε σκοπῶν ὧδε τῷ λόγῳ διαπεράναιτ' ἄν. καθάπερ εἴπομεν πολλάκις ὅτι τρία ψυχῆς τριχῇ ἐν ἡμῖν εἴδη κατῴκισται, τυγχάνει δ' ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ ταὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐῤῥωμενέστατον· διὸ φυλακτέον * ὅπως 90
ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα ξυμμέτρους. τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γάρ, ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, * τὸ B
θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα. τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι *) καὶ ταῦτα διαπονοῦντι σφόδρα πάντα τὰ δόγματα ἀνάγκη θνητὰ ἐγγεγονέναι, καὶ παντάπασι, καθ' ὅσον μάλιστα δυνατὸν θνητῷ γίγνεσθαι, τούτου μηδὲ σμικρὸν ἐλλιπεῖν **), ἅτε τὸ τοιοῦτον ηὐξηκότι· τῷ δὲ περὶ φιλομάθειαν καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι καὶ ταῦτα μάλιστα τῶν αὐτοῦ γεγυμνασμένῳ * φρονεῖν μὲν ἀθάνατα καὶ C
θεῖα, ἄνπερ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που, καθ' ὅσον δ' αὖ μετασχεῖν ἀνθρωπίνῃ φύσις ἀθανασίας ἐνδέχεται, τούτου μηδὲν μέρος ἀπολιπεῖν ***), ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε αὐτὸν εὖ μάλα κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὐτῷ διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ παντὶ †) παντὸς μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι. τῷ δ' ἐν ἡμῖν θείῳ ξυγγενεῖς * εἰσὶ κινήσεις αἱ τοῦ παντὸς διανοήσεις καὶ πε- D

*) γρ. τετηκότι.
**) ἄλλ. ἐλλείπειν.
***) ἄλλ. ἀπολείπειν.
†) γρ. πάντῃ.

sit per se ipsum iam iusti; subsicivis vero operis si quis priora sequens explicare velit, haud inepte ita considerans oratione persequatur. quemadmodum saepius diximus tres animi species trifariam in nobis constitutas esse, et quamque motiones habere, ita similiter nunc quoque quam paucissimis dicendum est, eam quae in segnitia vivat et motionum suarum quietem capiat imbecillimam necessario exsistere, quae contra exerceatur, validissimam; quocirca curandum est ut motiones habeant inter se congruentes. de praestantissima vero animi nostri specie sic existimandum, deum cuique dedisse ut genium hanc quam dicimus in summo nobis corpore habitare, et propter caeli cognationem a terra nos attollere, quippe qui simus animantia non terrena, sed caelestia, rectissime hoc ponentes; illinc enim, unde primus animi ortus profectus est, divinum suspendens caput et radicem nostram erigit totum corpus. in eo igitur qui in cupiditates et contentiones studium operamque confert et in his vehementer se exercet, omnia decreta necesse est innasci mortalia, planeque, quam maxime potest mortalis fieri, hac re ne paullulum quidem defici, quippe qui eam auxerit, eum contra, qui discendi amorem veritatisque cognitionem coluit et in his prae ceteris rebus suis se exercuit, immortalia et divina, siquidem veritatem assequutus fuerit, prorsus necesse est cogitare, quantum natura humana immortalitatis potest compos esse, ea nullo modo deficiet, quum semper colat divinum, habeatque admodum ornatum genium in se contubernalem, prae ceteris beatum esse. cultura autem cuique cuiusque rei una est haec, ut convenientes cuique pastus et motiones attribuamus. iam divino nobis insito cognatae sunt motiones universi cogitationes et

ριφοραί. ταύταις δὴ ξυνεπόμενον ἕκαστον δεῖ, τὰς περὶ τὴν γένεσιν ἐν τῇ κεφαλῇ διεφθαρμένας ἡμῶν περιόδους ἐξορθοῦντα διὰ τὸ καταμανθάνειν τὰς τοῦ παντὸς ἁρμονίας τε καὶ περιφοράς, τῷ κατανοουμένῳ τὸ κατανοοῦν ἐξομοιῶσαι κατὰ τὴν ἀρχαίαν φύσιν, ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον.

* Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέντα E
διεξελθεῖν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης σχεδὸν ἔοικε τέλος ἔχειν. τὰ γὰρ ἄλλα ζῶα ᾗ γέγονεν αὖ, διὰ βραχέων ἐπιμνηστέον, ὃ μή τις *) ἀνάγκη μηκύνειν· οὕτω γὰρ ἐμμετρότερός τις ἂν αὐτῷ **) δόξειε περὶ τοὺς τούτων λόγους εἶναι. τῇδ' οὖν ***) τὸ τοιοῦτον ἔστω λεγόμενον. Τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ καὶ τὸν βίον ἀδίκως διῆλθον, κατὰ λόγον τὸν εἰκότα γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει. καὶ κατ' ἐκεῖνον * δὴ τὸν χρόνον διὰ ταῦτα θεοὶ 91
τὸν τῆς ξυνουσίας ἔρωτα ἐτεκτήναντο, ζῶον τὸ μὲν ἐν ἡμῖν, τὸ δ' ἐν ταῖς γυναιξὶ ξυστήσαντες ἔμψυχον, τοιῷδε †) τρόπῳ ποιήσαντες ἑκάτερον. τὴν τοῦ ποτοῦ διέξοδον, ᾗ διὰ τοῦ πλεύμονος τὸ πῶμα ὑπὸ τοὺς νεφροὺς εἰς τὴν κύστιν ἐλθὸν καὶ τῷ πνεύματι θλιφθὲν ξυνεκπέμπει δεχομένη ††), ξυνέτρησαν εἰς τὸν ἐκ τῆς κεφαλῆς κατὰ τὸν αὐχένα καὶ διὰ τῆς ῥάχεως μυελὸν ξυμπεπηγότα, * ὃν δὴ σπέρμα ἐν τοῖς πρόσθεν λόγοις εἴπομεν· ὁ δέ, ἅτ' ἔμψυχος ὢν καὶ λαβὼν ἀναπνοὴν τοῦθ' ᾗπερ †††) ἀνέπνευσε, τῆς ἐκροῆς ζωτικὴν ἐπιθυμίαν ἐμποιήσας αὐτῷ τοῦ γεννᾶν ἔρωτα ἀπετέλεσε. διὸ δὴ τῶν μὲν ἀνδρῶν τὸ περὶ τὴν τῶν αἰδοίων φύσιν ἀπειθές τε καὶ αὐτοκρατὲς γεγονός, οἷον ζῶον ἀνυπήκοον τοῦ λόγου, πάντων δι' ἐπιθυμίας οἰστρώδεις ἐπιχειρεῖ κρατεῖν· αἱ δ' ἐν ταῖς γυναιξὶν αὖ μῆτραί τε καὶ ὑστέραι λεγόμεναι * διὰ ταὐτὰ ταῦτα, ζῶον ἐπιθυμητικὸν ἐνὸν τῆς C
παιδοποιίας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται, χαλεπῶς ἀγανακτοῦν φέρει, καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον,

*) ἴσ. ὅτι μή τις. **) γρ. εὐμετρότερός τις αὐτῷ. ***) γρ. αὖ. †) γρ. τοιῷδε δέ. ††) γρ. δεχόμενος. †††) ἴσ. ταύτῃ ᾗπερ.

circuitus. has igitur ſequi oportet quemque, ut circuitus in capite noſtro per ortum corruptos emendet universi harmonias et circuitus perſpiciens, univerſo intellecto intelligendi vim ſimilem efficiat ſecundum priſtinam naturam, et hanc per ſimilitudinem finem aſſequatur vitae optimae hominibus a diis propoſitae et in praesens et in poſterum tempus.

Iam vero nunc quae initio conſtituimus disserere de univerſo usque ad ortum humanum ad finem videntur fere perducta eſſe. reliqua autem animantia quomodo procreata ſint, brevi memorandum, niſi forte neceſſitas poſtulat ut fuſius disputemus; ſic enim moderatior aliquis ſimimet ipſi videatur in his exponendis eſſe. ita igitur hoc explicetur. Virorum procreatorum quicumque ignavi fuerant vitamque iniuſte traduxerant, ex oratione veriſimili in mulieres transierunt in ſecundo ortu. et illo quidem tempore hanc ob cauſam dii concumbendi cupiditatem genuerunt, animal unum in nobis, alterum in mulieribus conſtituentes animatum, hac ratione fingentes utrumque. potus transitum, qua per pulmonem potio ſub renes pervenit in veſicam quae eam ſuscipit aëreque compreſſam una emittit, perforarunt in medullam ex capite in cervicem et per ſpinam compactam, quod quidem ſemen in oratione ſuperiore diximus; hoc autem, quippe animatum et reſpirans, ei parti qua reſpirat effluendi vitalem cupiditatem iniiciens generandi amorem procreavit. quocirca virorum quidem genitalium natura haud obediens et imperioſa, velut animal rationi non parens, omnibus per cupiditates furioſas conatur potiri; et mulierum quoque matrix et vulva quae dicitur easdem has ob cauſas, quum animal ſit liberorum procreandorum appetens, quando ſterilis praeter tempus diutius manet, graviter et indigne id fert, vagans totum per corpus ſpiritusque meatus obſtruens, et reſpirare non ſinens in an-

ἀναπνεῖν οὐκ ἐῶν εἰς ἀπορίας *) τὰς ἐσχάτας ἐμβάλλει καὶ
νόσους παντοδαπὰς ἄλλας παρέχεται, μέχριπερ ἂν ἑκατέρων
ἡ ἐπιθυμία καὶ ὁ ἔρως ἐξαγαγόντες οἷον ἀπὸ δένδρων **)
καρπὸν κατὰ δρέψαντες, * ὡς εἰς ἄρουραν τὴν μήτραν D
ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῶα κατασπείραν-
τες, καὶ πάλιν διακρίναντες, μεγάλα ἐντὸς ἐκθρέψωνται καὶ
μετὰ ταῦτα εἰς φῶς ἀγαγόντες ζώων ἀποτελέσωσι γένεσιν.
Γυναῖκες μὲν οὖν καὶ τὸ θῆλυ πᾶν οὕτω γέγονε· τὸ δὲ τῶν
ὀρνέων φῦλον μετεῤῥυθμίζετο, ἀντὶ τριχῶν πτερὰ φύον,
ἐκ τῶν ἀκάκων ἀνδρῶν, κούφων δέ, καὶ μετεωρολογικῶν
μέν, ἡγουμένων δὲ δι' ὄψεως τὰς περὶ * τούτων ἀποδεί- E
ξεις βεβαιοτάτας εἶναι δι' εὐήθειαν. τὸ δ' αὖ πεζὸν καὶ
θηριῶδες γέγονεν ἐκ τῶν μηδὲν προςχρωμένων φιλοσοφίᾳ
μηδὲ ἀθρούντων τῶν περὶ τὸν οὐρανὸν πέρι ***) μηδέν, διὰ
τὸ μηκέτι ταῖς ἐν τῇ κεφαλῇ χρῆσθαι περιόδοις, ἀλλὰ τοῖς
περὶ τὰ στήθη τῆς ψυχῆς ἡγεμόσιν ἕπεσθαι μέρεσιν. ἐκ
τούτων οὖν τῶν ἐπιτηδευμάτων τά τε πρόσθια †) κῶλα καὶ
τὰς κεφαλὰς εἰς γῆν ἑλκόμενα ὑπὸ ξυγγενείας ἤρεισαν, προ-
μήκεις τε καὶ παντοίας ἔσχον τὰς κορυφάς, ὅπῃ ξυνεθλί-
φθησαν * ὑπὸ ἀργίας ἑκάστων αἱ περιφοραί. τετράπουν 92
τε τὸ γένος αὐτῶν ἐκ ταύτης ἐφύετο καὶ πολύπουν τῆς προ-
φάσεως, θεοῦ βάσεις ὑποτιθέντος πλείους τοῖς μᾶλλον ἄφρο-
σιν, ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. τοῖς δ' ἀφρονεστάτοις
αὐτῶν τούτων καὶ παντάπασι πρὸς γῆν πᾶν τὸ σῶμα κατα-
τεινομένοις ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης, ἄποδα αὐτὰ
καὶ ἰλυσπώμενα ἐπὶ γῆς ἐγέννησαν. τὸ δὲ τέταρτον γένος
ἔνυδρον γέγονεν ἐκ τῶν μάλιστα ἀνοητοτάτων καὶ ἀμαθε-
στάτων, οὓς οὐδ' ἀναπνοῆς καθαρᾶς ἔτι ἠξίωσαν οἱ μετα-
πλάττοντες, ὡς τὴν ψυχὴν ὑπὸ πλημμελείας πάσης ἀκαθάρ-
τως ἐχόντων, ἀλλ' ἀντὶ λεπτῆς καὶ καθαρᾶς ἀναπνοῆς ἀέρος
εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀνάπνευσιν· ὅθεν
ἰχθύων ἔθνος καὶ τὸ τῶν ὀστρέων ξυναπάντων τε ὅσα ἔνυ-

*) γρ. ἀπορίας τε ἄλλας. **) γρ. δένδρου.
***) ἄλλ. τῆς περὶ τὸν οὐρανὸν φύσεως πέρι. ἴσ. τῶν περὶ τ. οὐραν. μηδέν. †) ἄλλ. ἐμπρόσθια.

gores iniicit extremos morbosque varios alios affert, dum utriusque cupiditas et amor, educto tamquam ex arboribus fructu et deinde decerpto, velut in arvum in matricem animalia propter parvitatem oculorum obtutum effugientia necdum formata inserant rursusque ea secreta intus enutriant magna et postea in lucem edentes animantium absolvant generationem. Ac feminae quidem omneque muliebre ita nata sunt; avium autem gens formata est, pilis in pennas mutatis, e viris haud malis quidem, sed levibus, de rebus sublimibus quidem disputantibus, sed arbitrantibus prae simplicitate demonstrationes harum rerum quae visu nitantur esse firmissimas. pedestre autem et ferinum genus natum est ex iis qui nullo modo philosophiam attigerunt nec rerum caelestium quicquam conspexerunt, quia non conversionibus quae in capite sunt utebantur, sed animi partes in pectore locatas sequebantur duces. quibus quidem studiis factum est ut anteriora membra et capita in terram detraherent propter cognationem in eaque defigerent, et oblongos variosque haberent vertices, ubi circuitus cuiusque prae segnitia constricti erant. quadrupedum igitur et multipedum genus hac ex causa ortum est, deo pedes subiiciente plures magis insipientibus, quo magis ad terram traherentur. imprudentissimis vero horum ipsorum prorsusque ad terram totum corpus deiicientibus quia nulli iam usui fuissent pedes, pedibus ea carentia et in terra repentia procreaverunt. quartum autem genus aquatile exstitit e maxime insipientissimis et imperitissimis, quos ne respiratione quidem pura dignos iam existimarunt fictores, quia animum habebant omni nequitia pollutum, sed pro tenui et pura aëris respiratione in aquae detruserunt turbidam ac profundam respirationem; unde piscium gens et ostrearum omniumque quae aquatilia nata sunt,

δρα γέγονε, δίκην ἀμαθίας ἐσχάτης ἐσχάτας οἰκήσεις εἰληχότων. καὶ κατὰ ταῦτα δὴ πάντα τότε καὶ νῦν διαμείβεται τὰ ζῶα εἰς ἄλληλα, νοῦ καὶ ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα.

Καὶ δὴ καὶ τέλος περὶ τοῦ παντὸς νῦν ἤδη τὸν λόγον φῶμεν ἡμῖν ἔχειν· θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος, οὕτω ζῶον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ νοητοῦ θεοῦ, αἰσθητός*), μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν.

---

*) γρ. θεὸς αἰσθητός.

quae poenas inſcitiae extremae has ſolverunt ut extrema acciperent domicilia. et hoc quidem modo et tunc et nunc permutantur inter ſe animantia, mentis et amentiae amiſſione et comparatione ſeſe convertentia.

Iam vero finem habere orationem de univerſo a nobis ſusceptam dicamus; mortalia enim et immortalia animantia quum accepiſſet hic mundus atque completus eſſet, factus eſt animal adſpectabile animantia adſpectabilia complexum, imago dei ſub intelligentiam cadentis, ſub ſenſum cadens, maximus et optimus et pulcherrimus et perfectiſſimus, unum hoc caelum atque unicum.

ΚΡΙΤΙΑΣ.

ΤΙΜΑΙΟΣ ΚΡΙΤΙΑΣ ΣΩΚΡΑΤΗΣ ΕΡΜΟΚΡΑΤΗΣ.

106 Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν οὕτως *) ἐκ τῆς τοῦ λόγου διαπορείας ἀγαπητῶς ἀπήλλαγμαι! τῷ δὲ πρὶν μὲν πάλαι ποτ' ἔργῳ, νῦν δὲ λόγοις ἄρτι θεῷ γεγονότι προσεύχομαι, τῶν ῥηθέντων ὅσα μὲν
B ἐῤῥήθη μετρίως, σωτηρίαν ἡμῖν αὐτὸν αὐτῶν διδόναι, * παρὰ μέλος δὲ εἴ τι περὶ αὐτῶν ἄκοντες εἴπομεν, δίκην τὴν πρέπουσαν ἐπιτιθέναι· δίκη δὲ ὀρθὴ τὸν πλημμελοῦντα ἐμμελῆ ποιεῖν. ἵν' οὖν τὸ λοιπὸν τοὺς περὶ θεῶν γενέσεως ὀρθῶς λέγωμεν **) λόγους, φάρμακον ἡμῖν αὐτὸν τελεώτατον καὶ

*) γρ. ὄντως.
**) γρ. λέγοιμεν.

TIMAEUS CRITIAS SOCRATES HERMOCRATES.

Quam laetus, Socrate, tamquam a longa requiescens via, nunc ita a sermonis itinere lubenter discessi! eum vero qui ante quidem iam dudum re, nunc autem verbis modo deus factus est, precor ut eorum quae recte dicta sunt salutem nobis ipse praebeat, si quid vero absoni de illis inviti protulimus, poena conveniente nos afficiat; poena autem recta haec est quae discrepantem efficit concinentem. ut igitur in posterum de ortu deorum recte disseramus, precamur eum

ἄριστον φαρμάκων ἐπιστήμην εὐχόμεθα διδόναι. προσευξάμενοι δὲ παραδίδομεν κατὰ τὰς ὁμολογίας Κριτίᾳ τὸν ἑξῆς λόγον.

ΚΡΙ. Ἀλλ', ὦ Τίμαιε, δέχομαι μέν, ᾧ δὲ καὶ σὺ κατ' ἀρχὰς *) ἐχρήσω ξυγγνώμην * αἰτούμενος ὡς περὶ μεγάλων C
μέλλων λέγειν, ταὐτὸν καὶ νῦν ἐγὼ τοῦτο παραιτοῦμαι, μειζόνως δὲ αὐτοῦ τυχεῖν ἔτι μᾶλλον ἀξιῶ περὶ * τῶν μελλόν- 107
των ῥηθήσεσθαι. καίτοι σχεδὸν μὲν οἶδα παραίτησιν εὖ μάλα φιλότιμον καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, ῥητέον δὲ ὅμως. ὡς μὲν γὰρ οὐκ εὖ τὰ παρὰ σοῦ λεχθέντα εἴρηται, τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; ὅτι δὲ τὰ ῥηθησόμενα πλείονος ξυγγνώμης δεῖται χαλεπώτερα ὄντα, τοῦτο πειρατέον πῃ διδάξαι. περὶ θεῶν γάρ, ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους δοκεῖν ἱκανῶς λέγειν ῥᾷον ἢ περὶ θνητῶν πρὸς * ἡμᾶς **). ἡ γὰρ ἀπειρία καὶ B
σφόδρα ἄγνοια***) τῶν ἀκουόντων περὶ ὧν ἂν οὕτως ἔχωσι πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν· περὶ δὲ δὴ θεῶν ἴσμεν ὡς ἔχομεν. ἵνα δὲ σαφέστερον ὃ λέγω δηλώσω, τῇδέ μοι ξυνεπισπέσθε. μίμησιν μὲν γὰρ δὴ καὶ ἀπεικασίαν τὰ παρὰ πάντων ἡμῶν ῥηθέντα χρεών που γενέσθαι· τὴν δὲ τῶν γραφέων εἰδωλοποιίαν περὶ τὰ θεῖά τε καὶ τὰ ἀνθρώπινα †) σώματα γιγνομένην ἴδωμεν ῥᾳστώνης τε πέρι καὶ χαλεπότητος ††) * πρὸς τὸ τοῖς †††) ὁρῶ- C
σι δοκεῖν ἀποχρώντως μεμιμῆσθαι (*), καὶ κατοψόμεθα ὅτι γῆν μὲν καὶ ὄρη καὶ ποταμοὺς καὶ ὕλην οὐρανόν τε ξύμπαντα καὶ τὰ περὶ αὐτὸν ὄντα καὶ ἰόντα πρῶτον μὲν ἀγαπῶμεν ἄν τίς τι (**) καὶ βραχὺ πρὸς ὁμοιότητα αὐτῶν ἀπομιμεῖσθαι δυνατὸς ᾖ, πρὸς δὲ τούτοις, ἅτε οὐδὲν εἰδότες ἀκριβὲς περὶ τῶν τοιούτων, οὔτε ἐξετάζομεν οὔτε ἐλέγχομεν τὰ γεγραμμένα, σκιαγραφίᾳ δὲ ἀσαφεῖ καὶ ἀπατηλῷ χρώμεθα * περὶ αὐτά· τὰ δὲ ἡμέτερα ὁπόταν τις ἐπι- D
χειρῇ σώματα ἀπεικάζειν, ὀξέως αἰσθανόμενοι τὸ παραλει-

*) γρ. μὲν ὧδε, ᾧ σὺ κατ' ἀρχάς. **) γρ. ἢ πρὸς ὑμᾶς. ***) γρ. ἄνοια. †) ἴσ. οὐράνια. ††) γρ. λεπτότητος. †††) γρ. πρὸς τοῖς. (*) γρ. μὲν μιμεῖσθαι. (**) γρ. ἄν τισι.

ut remedium nobis suppeditet perfectissimum et optimum remediorum, scientiam. qua quidem facta precatione tradimus, ut compositum est, Critiae orationem deinceps explicandam.

Crit. Sane, Timaee, accipio eam, idem vero quod tu initio fecisti quum veniam peteres quippe de rebus magnis dicturus, ego quoque nunc facio eandem petens; et magis etiam me confido eam impetraturum esse de iis quae propositurus sum. quamquam fere intelligo petitionem meam admodum ambitiosam et magis quam par sit rusticam fore; attamen dicendum. etenim a te prolata non bene dicta esse, quis intelligens conabitur affirmare? ea vero quae mihi dicenda sunt maioris indigere veniae quia difficiliora sint, hoc conandum fere docere. de diis enim, Timaee, si quis disserit apud homines, facilius videtur satis facere, quam de mortalibus apud nos. nam imperitia magnaque inscitia audientium in iis in quibus ita affecti sunt multam praebent facilitatem de his dicturo; de diis autem scimus quomodo affecti simus. ut vero dilucidius quod dicere volo declarem, huc me sequimini. imitatio videlicet et effictio necessario sunt a nobis omnibus dicta; pictorum autem effictionem in divinis et caelestibus corporibus versantem videamus ratione facilitatis et difficultatis qua spectantibus videantur rem satis imitando expressisse, et perspiciemus nos primum acquiescere si quis terram et montes et fluvios et sylvas et caelum universum resque quae circa caelum sunt et feruntur vel leviter ad similitudinem imitari possit, praeterea, quippe accuratam non habentes harum rerum cognitionem, neque explorare neque redarguere picta, sed effictione verum simulante eaque obscura et fallace uti in illis; nostra contra corpora si quis instituerit effingere, acute

πόμενον διὰ τὴν ἀεὶ ξύνοικον κατανόησιν χαλεποὶ κριταὶ γιγνόμεθα τῷ μὴ πάσας πάντως τὰς ὁμοιότητας ἀποδιδόντι. ταὐτὸν δὴ καὶ κατὰ τοὺς λόγους ἰδεῖν δεῖ γιγνόμενον, ὅτι τὰ μὲν οὐράνια καὶ θεῖα ἀγαπῶμεν καὶ σμικρῶς εἰκότα λεγόμενα, τὰ δὲ θνητὰ καὶ ἀνθρώπινα ἀκριβῶς ἐξετάζομεν.
* ἐκ δὴ τοῦ παραχρῆμα νῦν λεγόμενα, τὸ πρέπον ἂν μὴ E
δυνώμεθα πάντως ἀποδιδόναι, ξυγγιγνώσκειν χρεών· οὐ γὰρ ὡς ῥᾴδια τὰ θνητά, ἀλλ' ὡς χαλεπὰ πρὸς δόξαν ὄντα ἀπεικάζειν δεῖ διανοεῖσθαι. ταῦτα δὴ βουλόμενος ὑμᾶς ὑπομνῆσαι, καὶ * τὸ τῆς ξυγγνώμης οὐκ ἔλαττον, ἀλλὰ μεῖζον 108
αἰτῶν περὶ τῶν μελλόντων ῥηθήσεσθαι, πάντα ταῦτα εἴρηκα, ὦ Σώκρατες. εἰ δὴ δικαίως αἰτεῖν φαίνομαι τὴν δωρεάν, ἑκόντες δίδοτε.

ΣΩ. Τί δ' οὐ μέλλομεν, ὦ Κριτία, διδόναι; καὶ πρός γ' ἔτι τρίτῳ δεδόσθω ταὐτὸν τοῦτο Ἑρμοκράτει παρ' ἡμῶν· δῆλον γὰρ ὡς ὀλίγον ὕστερον, ὅταν αὐτὸν δέῃ λέγειν, παραιτήσεται καθάπερ ὑμεῖς· ἵν' οὖν ἑτέραν * ἀρχὴν ἐκπορίζηται καὶ B
μὴ τὴν αὐτὴν ἀναγκασθῇ λέγειν, ὡς ὑπαρχούσης αὐτῷ ξυγγνώμης ἴστω οὕτω τε.*) λεγέτω. προλέγω γε μήν, ὦ φίλε Κριτία, σοι τὴν τοῦ θεάτρου διάνοιαν, ὅτι θαυμαστῶς ὁ πρότερος εὐδοκίμηκεν ἐν αὐτῷ ποιητής, ὥστε τῆς ξυγγνώμης δεήσει τινός σοι παμπόλλης, εἰ μέλλειν αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν.

ΕΡ. Ταὐτὸν μήν, ὦ Σώκρατες, κἀμοὶ παραγγέλλεις ὅπερ τῷδε. ἀλλὰ γὰρ ἀθυμοῦντες * ἄνδρες οὔπω τρόπαιον C
ἔστησαν, ὦ Κριτία· προϊέναι τε οὖν ἐπὶ τὸν λόγον ἀνδρείως χρή, καὶ τὸν Παίωνά τε καὶ τὰς Μούσας ἐπικαλούμενον τοὺς παλαιοὺς πολίτας ἀγαθοὺς ὄντας ἀναφαίνειν τε καὶ ὑμνεῖν.

ΚΡ. Ὦ φίλε Ἑρμόκρατες, τῆς ὑστέρας **) τεταγμένος, ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαῤῥεῖς. τοῦτο μὲν οὖν οἷόν ἐστιν, αὐτό***) σοι τάχα δηλώσει· παραμυθουμένῳ δ' οὖν καὶ παραθαῤῥύνοντί σοι * πειστέον, καὶ πρὸς οἷς θεοῖς D

*) ἄλλ. εἰς τότε οὕτω. **) γρ. ὑστεραίας.
***) γρ. αὐτός.

nos percipientes quicquid praetermissum fuerit propter contubernalem fere perpetuamque harum rerum considerationem difficiles reperiri iudices in eum qui non omnes omnino similitudines exhibuerit. idem igitur etiam in orationibus accidere intelligendum est: caelestia enim et divina etiam si paullulum ad verisimilitudinem exponuntur satis habemus, mortalia vero et humana diligenter exploramus. subito igitur nunc dicentes si id quod convenit non potuerimus prorsus reddere, ignosci oportet; neque enim facilia esse mortalia, sed difficilia ad opinionem expressu cogitandum est. hoc igitur ut vos admonerem et veniam non minorem, sed maiorem peterem de iis quae prolaturus essem omnia haec dixi, Socrate. iam si iure petere videor donum, ultro mihi date.

So. Quidni velimus, Critia, tibi dare? et praeterea quoque tertio datum est idem hoc Hermocrati a nobis; non enim dubium est quin paullo post, quum oportuerit eum dicere, petiturus sit quod vos; ut igitur aliud exordium capiat nec idem cogatur proferre, scito veniam ei iam datam esse et ita dicito. praedico tamen, care Critia, tibi theatri sententiam, priorem poëtam eximiam in eo gloriam consequutum esse; quocirca permagna tibi opus erit venia, ut has partes possis suscipere.

Her. Idem vero, Socrate, mihi denuncias quod huic. attamen desperantes viri nondum tropaeum statuerunt, Critia; aggredi igitur ad orationem viriliter te oportet, et Apolline Musisque invocatis priscos cives egregios ostendere atque celebrare.

Crit. O care Hermocrates, quia in posteriore ordine collocatus es et alium ante te habes, adhuc confidis. et hoc quidem quale sit, res ipsa tibi mox declarabit; adhortanti vero tibi atque excitanti obtemperandum, et praeter eos quos dixisti deos reliqui invo-

εἶπες τούς τε ἄλλους κλητέον, καὶ δὴ καὶ τὰ μάλιστα Μνημοσύνην. σχεδὸν γὰρ τὰ μέγιστα ἡμῖν τῶν λόγων ἐν ταύτῃ τῇ θεῷ πάντ' ἐστί· μνησθέντες γὰρ ἱκανῶς καὶ ἀπαγγείλαντες τά ποτε ῥηθέντα ὑπὸ τῶν ἱερέων καὶ δεῦρο ὑπὸ Σόλωνος κομισθέντα, σχεδὸν οἶδ' ὅτι καὶ τῷδε τῷ θεάτρῳ δόξομεν τὰ προσήκοντα μετρίως ἀποτετελεκέναι. τοῦτ' οὖν αὐτὸ ἤδη * δραστέον, καὶ μελλητέον οὐδὲν ἔτι. E

Πάντων δὴ πρῶτον μνησθῶμεν ὅτι τὸ κεφάλαιον ἦν ἐνάκις ἔτη χίλια ἀφ' οὗ γεγονὼς ἐμηνύθη πόλεμος τοῖς θ' ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦσι καὶ τοῖς ἐντὸς πᾶσιν· ὃν δεῖ νῦν διαπεραίνειν. τῶν μὲν οὖν ἥδε ἡ πόλις ἄρχουσα*) καὶ πάντα τὸν πόλεμον διαπολεμήσασα ἐλέγετο, τῶν δ' οἱ τῆς Ἀτλαντίδος νήσου βασιλῆς, ἣν δὴ Λιβύης καὶ Ἀσίας μείζω νῆσον οὖσαν ἔφαμεν εἶναί ποτε, νῦν δὲ ὑπὸ σεισμῶν δῦσαν ἄπορον **) πηλὸν τοῖς ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν ***) πέλαγος, * ὥστε μηκέτι πορεύεσθαι, κωλυτὴν 109
παρασχεῖν. τὰ μὲν δὴ πολλὰ ἔθνη βάρβαρα, καὶ ὅσα Ἑλλήνων ἦν τότε γένη, καθ' ἕκαστα ἡ τοῦ λόγου διέξοδος οἷον ἀνειλουμένη †) τὸ προστυχὸν ἑκασταχοῦ δηλώσει· τὸ δὲ Ἀθηναίων τε τῶν τότε καὶ τῶν ἐναντίων, οἷς ††) διεπολέμησαν, ἀνάγκη κατ' ἀρχὰς διελθεῖν πρῶτα, τήν τε δύναμιν ἑκατέρων καὶ τὰς πολιτείας. αὐτῶν δὲ τούτων τὰ τῆδε ἔμπροσθεν προτιμητέον εἰπεῖν.

Θεοὶ γὰρ ἅπασαν γῆν ποτε κατὰ * τοὺς τόπους διελάγχανον, οὐ κατ' ἔριν (οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ' αὖ γιγνώσκοντας τὸ μᾶλλον ἄλλοις προσῆκον τοῦτο ἑτέρους αὐτοῖς δι' ἐρίδων ἐπιχειρεῖν κτᾶσθαι), δίκης δὲ †††) κλήροις τὸ φίλον (*) λαγχάνοντες κατῴκιζον τὰς χώρας, καὶ κατοικίσαντες, οἷον νομῆς ποίμνια, κτήματα (**) καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον, πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθάπερ ποιμένες κτήνη B

*) ἄλλ. ἄρξασα. **) γρ. δυσανάπορον.
***) ἴσ. πέραν. †) ἴσ. ἀνιλλομένη.
††) γρ. ὡς. †††) ἄλλ. δή.
(*) γρ. τὰ φίλων.
(**) γρ. κτήματα καὶ ποίμνια.

candi, praesertim Mnemosyne. ferme enim maxima orationum nostrarum in hac dea omnia nituntur; recordantes enim satis et renunciantes a sacerdotibus aliquando relata et huc a Solone adducta, scio fere etiam huic theatro nos visuros esse convenientia recte absolvere. et hoc ipsum iam faciendum nec amplius cunctandum.

Omnium igitur primum commemoremus summam fuisse novem millium annorum, ex quo tempore bellum gessisse traduntur qui ultra et qui citra Herculis columnas habitaverint omnes; quod nunc narrandum. et his quidem haec civitas praefecta fuisse totumque bellum transegisse dicebatur, illis vero Atlantidis insulae reges, quam quidem Libya et Asia maiorem aliquando insulam fuisse narravimus, nunc autem propter terrae motus submersam coenum innavigabile hinc in mare ulterius enavigaturis obiicere impedimentum quominus ultra progredi possent. ac plurimas quidem nationes barbaras et quot Graecorum tunc fuerint gentes, singulas orationis expositio tamquam revoluta ubi cuiusque mentio incidet declarabit; Atheniensium vero illorum et adversariorum quibuscum pugnarunt necesse est ab initio primum exponere potestatem et civitates. his ipsis autem nostra anteponenda priusque enarranda sunt.

Dii videlicet universam terram aliquando secundum locos inter se sortiti sunt, non per litem (neque enim consentaneum esset dicere deos ignorare quid cuique ipsorum conveniret, vel scientes quod ad alios magis pertineret id alios litigando conari vindicare), sed iuris sortibus gratum sibi nacti regiones domicilio sibi delegerunt, hisque delectis, sicut pastores greges, nos mancipia et alumnos suos nutriverunt, nisi quod non corporibus corpora coëgerunt, quemadmodum pastores

πληγῇ νέμοντες, * ἀλλ' ᾗ μάλιστα * * * διάνοιαν *), οὕτως C
ἄγοντες τὸ θνητὸν ἅπαν ἐκυβέρνων. ἄλλοι μὲν οὖν κατ'**) ἄλ-
λους τόπους κληρουχήσαντες θεῶν ἐκεῖνα ἐκόσμουν, Ἥφαι-
στος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν ἔχοντες, ἅμα μὲν ἀδελφὴν
ἐκ ταὐτοῦ πατρός, ἅμα δὲ φιλοσοφίᾳ φιλοτεχνίᾳ τε ἐπὶ τὰ αὐ-
τὰ ἐλθόντες, οὕτω μίαν ἄμφω λῆξιν τήνδε τὴν χώραν εἰλήχα-
τον ὡς οἰκείαν καὶ πρόσφορον ἀρετῇ καὶ φρονήσει πεφυ-
κυῖαν, ἄνδρας δὲ ἀγαθοὺς ἐμποιήσαντες * αὐτόχθονας ἐπὶ D
νοῦν ἔθεσαν τὴν τῆς πολιτείας τάξιν· ὧν τὰ μὲν ὀνόματα
σέσωσται, τὰ δὲ ἔργα διὰ τὰς τῶν παραλαμβανόντων φθο-
ρὰς καὶ τὰ μήκη ***) τῶν χρόνων ἠφανίσθη. τὸ γὰρ περι-
λειπόμενον ἀεὶ γένος, ὥςπερ καὶ πρόσθεν ἐῤῥήθη, κατελεί-
πετο ὄρειον καὶ ἀγράμματον, τῶν ἐν τῇ χώρᾳ δυναστῶν τὰ
ὀνόματα ἀκηκοὸς μόνον καὶ βραχέα πρὸς αὐτοῖς τῶν ἔργων.
τὰ μὲν οὖν ὀνόματα τοῖς ἐκγόνοις ἐτίθεντο ἀγαπῶντες, τὰς
* δὲ ἀρετὰς καὶ τοὺς νόμους τῶν ἔμπροσθεν οὐκ εἰδότες, E
εἰ μὴ σκοτεινὰς περὶ ἑκάστων τινὰς ἀκοάς, ἐν ἀπορίᾳ δὲ
τῶν ἀναγκαίων ἐπὶ πολλὰς γενεὰς ὄντες καὶ αὐτοὶ καὶ παῖ-
δες, πρὸς οἷς ἠπόρουν τὸν νοῦν ἔχοντες, τούτων * πέρι 110
καὶ τοὺς λόγους ποιούμενοι, τῶν ἐν τοῖς πρόσθεν καὶ πά-
λαι ποτὲ γεγονότων ἠμέλουν· μυθολογία γὰρ ἀναζήτησίς τε
τῶν παλαιῶν μετὰ σχολῆς ἅμ' ἐπὶ τὰς πόλεις ἔρχεσθον, ὅταν
ἴδητόν τισιν ἤδη τοῦ βίου τἀναγκαῖα κατεσκευασμένα, πρὶν
δὲ οὔ. ταύτῃ δὴ τὰ τῶν παλαιῶν ὀνόματα ἄνευ τῶν ἔργων
διασέσωσται. λέγω δὲ αὐτὰ τεκμαιρόμενος ὅτι Κέκροπός τε
καὶ Ἐρεχθέως καὶ Ἐριχθονίου καὶ Ἐρυσίχθονος τῶν τε
ἄλλων τὰ πλεῖστα, ὅσαπερ * καὶ Θησέως τῶν ἄνω περὶ B
τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους
τὰ πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε
διηγεῖσθαι πόλεμον, καὶ τὰ †) τῶν γυναικῶν κατὰ ταὐτά ††).

---

*) ἄλλ. ἀλλ' ᾗ μάλιστα εὔστροφον ζῶον, ἐκ πρύμνης ἀπευθύνοντες οἷον οἴακι πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν.
) ἴσ. μὲν οὖν δή. *) γρ. τῷ μήκει.
†) ἄλλ. κᾆτα. ††) γρ. καὶ ταῦτα.

qui pecora verberibus compellunt, ſed maxime * * * ad mentem ſuam *) ducentes mortale totum genus rexerunt. et alii quidem deorum alios locos ſorte duxerunt eosque exornarunt, Vulcanus vero et Minerva communem habentes naturam ſimulque cognatam, quippe ab eodem patre orti, et philoſophiae artiumque ſtudio eodem ducti, unam ambo ſortem acceperunt hancce terram quippe natura propriam et accommodatam virtuti ac prudentiae, virosque quum bonos ingeneraſſent indigenas, rei publicae ordinem eorum mentibus iniecerunt; quorum nomina ſervata ſunt, opera vero eorum qui acceperunt interitu temporisque longinquitate oblitterata ſunt. genus enim quodque ſuperſtes, quemadmodum iam ſupra memoratum eſt, relinquebatur montanum litterarumque expers, quod nomina tantum terrae dominatorum audiverat et ad haec paullulum de rebus geſtis. nomina igitur poſteris ſuis imponere ſatis habentes, virtutes autem legesque ſuperiorum ignorantes, obſcura quadam ſingulorum fama excepta, et rerum neceſſariarum inopia affecti multa per ſaecula et ipſi et liberi, ad ea quibus indigebant animum attendentes et de his etiam ſermones inter ſe conferentes, res apud ſuperiores et pridem aliquando geſtas negligebant; narratio enim rerumque veterum inveſtigatio ſimul cum otio in urbes ingrediuntur, quum aliquibus res ad vitam neceſſarias iam paratas viderint, ante vero nequaquam. hac igitur ratione veterum nomina ſine rebus geſtis conſervata ſunt. dico autem hoc inde colligens quod Cecropis et Erechthei et Erichthonii et Eryſichthonis reliquorumque plurimis nominibus quaecumque ante Theſeum cuiusque memorantur, illos maximam partem afficientes ſacerdotes Solon narravit bellum tum geſtum expoſuiſſe, et mulierum nominibus

*) *Ficin. at vero tanquam docile et obediens animal, quasi ex puppe ratem agilem dirigentes, persuasione pro gubernaculis utebantur eaque animam attingebant et ad mentem ipsorum ita ducentes* cet.

καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότ'
ἦν τὰ ἐπιτηδεύματα ταῖς τε γυναιξὶ καὶ τοῖς ἀνδράσι τὰ περὶ
τὸν πόλεμον, οὕτω κατ' ἐκεῖνον τὸν χρόνον *) ὡπλισμένην
τὴν θεὸν ἀνάθημα εἶναι τοῖς τότε, ἔνδειγμα ὅτι πάνθ' ὅσα
ξύννομα * ζῶα θήλεα καὶ ὅσα ἄῤῥενα, τὴν προςήκουσαν C
ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυ-
κεν. Ὤικει δὲ δὴ τότ' ἐν τῇδε τῇ χώρᾳ τὰ μὲν ἄλλα ἔθνη
τῶν πολιτῶν περὶ τὰς δημιουργίας ὄντα καὶ τὴν ἐκ τῆς γῆς
τροφήν, τὸ δὲ μάχιμον ὑπ' ἀνδρῶν θείων κατ' ἀρχὰς ἀφο-
ρισθὲν ᾤκει χωρίς, πάντα εἰς τροφὴν καὶ παίδευσιν τὰ προς-
ήκοντα ἔχον, ἴδιον μὲν αὐτῶν οὐδεὶς οὐδὲν κεκτημένος, ἅπαν-
τά δὲ πάντων κοινὰ νομίζοντες * αὐτῶν, πέρα δὲ ἱκανῆς D
τροφῆς οὐδὲν ἀξιοῦντες παρὰ τῶν ἄλλων δέχεσθαι πολιτῶν,
καὶ πάντα δὴ τὰ χθὲς λεχθέντα ἐπιτηδεύματα ἐπιτηδεύοντες,
ὅσα περὶ τῶν ὑποτεθέντων ἐῤῥήθη φυλάκων. Καὶ δὴ καὶ
τὸ περὶ τῆς χώρας ἡμῶν πιθανὸν καὶ ἀληθὲς ἐλέγετο, πρῶ-
τον μὲν τοὺς ὅρους αὐτὴν ἐν τῷ τότε ἔχειν ἀφωρισμένους
πρὸς τὸν Ἰσθμὸν καὶ τὸ κατὰ τὴν ἄλλην ἤπειρον μέχρι τοῦ
Κιθαιρῶνος καὶ Πάρνηθος τῶν ἄκρων, καταβαίνειν * δὲ τοὺς E
ὅρους ἐν δεξιᾷ τὴν Ὠρωπίαν ἔχοντας, ἐν ἀριστερᾷ δὲ πρὸς
θαλάττῃ **) ἀφορίζοντας τὸν Ἀσωπόν, ἀρετῇ δὲ πᾶσαν γῆν
ὑπὸ ***) τῆς ἐνθάδε ὑπερβάλλεσθαι· διὸ καὶ δυνατὴν εἶναι
τότε τρέφειν τὴν χώραν στρατόπεδον πολὺ τὸ τῶν περιοί-
κων †). μέγα δὲ τεκμήριον ἀρετῆς· τὸ γὰρ νῦν αὐτῆς λεί-
ψανον ἐνάμιλλόν ἐστι πρὸς ἡντινοῦν τῷ πάμφορον εὔκαρ-
πόν τε εἶναι καὶ τοῖς ζώοις * πᾶσιν εὔβοτον. τότε δὲ πρὸς 111
τῷ κάλλει καὶ παμπλήθη ††) ταῦτα ἔφερε. πῶς οὖν δὴ τοῦ-
το πιστόν, καὶ κατὰ τί λείψανον τῆς τότε γῆς ὀρθῶς ἂν
λέγοιτο; πᾶσα ἀπὸ τῆς ἄλλης ἠπείρου μακρὰ προτείνουσα εἰς
τὸ πέλαγος οἷον ἄκρα κεῖται· τὸ δὴ τῆς θαλάττης ἀγγεῖον
περὶ αὐτὴν τυγχάνει πᾶν ἀγχιβαθὲς ὄν. πολλῶν οὖν γεγονό-

*) γρ. πόνον. ἄλλ. νέμον.
) ἄλλ. θαλάττης. *) γρ. ὑπέρ.
†) ἄλλ. πολὺ τῶν περὶ τὴν γῆν ἀργὸν ἔργων.
††) γρ. παμπληθεῖ.

similiter. atque etiam de figura et imagine deae, ut communia tum fuerint mulieribus et viris belli studia, ita deae armatae simulacrum ab illius aetatis hominibus dedicatum fuisse; quod quidem argumento est, quaecumque contubernalia animalia sint muliebria et virilia, eorum quodque naturâ communiter posse virtutem cuique generi convenientem colere. Habitaverunt autem tum in hacce terra reliquae quidem civium gentes in operibus faciundis et alimento e terra capiendo versantes, bellicosa vero a viris divinis principio separata habitavit seorsum, omnia ad victum et institutionem accommodata habens, proprium autem nihil quisquam possidens, sed omnia omnium censentes sibi communia esse, nec ultra victum necessarium aequum iudicantes quicquam a reliquis accipere civibus, omniaque heri memorata studia exercentes quae dicta sunt ratione custodum quos sumpsimus. Atque etiam quod de terra nostra dicebatur probabile est et verum, primum fines eam tum habuisse distinctos Isthmum versus, et quod reliquam ad continentem attinet, usque ad Cithaeronis et Parnethis vertices, descendisse vero fines a dextra Oropiam habentes et a sinistra ad mare distinguentes Asopum; deinde bonitate universam terram ab hac esse superatam; quocirca etiam valuisse tum regionem ad exercitum alendum magnum accolarum. magnum autem bonitatis argumentum hoc est, quod nunc eius reliquiae cum quavis certant omnium rerum fertilitate, fructuum copia et pascuorum ubertate omnibus animalibus victum suppeditantium. tunc vero praeter pulchritudinem haec quoque tulit admodum copiosa. quomodo igitur hoc probabile et quatenus reliquiae illius terrae recte hae dicentur? omnis a reliqua continente longe protensa ad mare tamquam promontorium iacet; quam maris vas circumfluit profundum. multae igitur

των καὶ μεγάλων κατακλυσμῶν ἐν τοῖς ἐνακισχιλίοις ἔτεσι
(τοσαῦτα γὰρ πρὸς τὸν *) νῦν ἀπ᾽ ἐκείνου τοῦ χρόνου
γέγονεν * ἔτη) τὸ τῆς γῆς ἐν τούτοις τοῖς χρόνοις καὶ πά- B
θεσιν ἐκ τῶν ὑψηλῶν ἀποῤῥέον οὔτε χῶμα, ὡς ἐν ἄλλοις
τόποις, προχοῖ λόγου ἄξιον ἀεί τε κύκλῳ περιῤῥέον εἰς βά-
θος ἀφανίζεται· λέλειπται δή, καθάπερ ἐν ταῖς σμικραῖς νή-
σοις **), πρὸς τὰ τότε τὰ νῦν οἷον νοσήσαντος σώματος
ὀστᾶ, περιεῤῥυηκυίας τῆς γῆς ὅση πίειρα καὶ μαλακή, τοῦ
λεπτοῦ σώματος τῆς χώρας μόνου λειφθέντος. τότε δὲ ἀκέ-
ραιος οὖσα τά τε ὄρη γηλόφους ***) ὑψηλοὺς εἶχε, καὶ * τὰ C
Φελλέως νῦν ὀνομασθέντα πεδία πλήρη γῆς πιείρας ἐκέκτη-
το, καὶ πολλὴν ἐν τοῖς ὄρεσιν ὕλην εἶχεν, ἧς καὶ νῦν ἔτι
φανερὰ τεκμήρια· τῶν γὰρ ὀρῶν ἔστιν ἃ νῦν μὲν ἔχει με-
λίτταις μόναις τροφήν, χρόνος δ᾽ οὐ πάμπολυς ὅτε δένδρων
αὐτόθεν εἰς οἰκοδομήσεις τὰς †) μεγίστας ἐρεψίμων τμη-
θέντων στεγάσματ᾽ ἐστὶν ἔτι σᾶ ††). πολλὰ δ᾽ ἦν ἄλλ᾽ ἥμερα
ὑψηλὰ δένδρα, νομὴν δὲ βοσκήμασιν ἀμήχανον ἔφερε. καὶ
δὴ καὶ τὸ κατ᾽ ἐνιαυτὸν ὕδωρ ἐκαρποῦτο * ἐκ Διός, οὐχ D
ὡς νῦν ἀπολλῦσα †††) ἀπὸ ψιλῆς τῆς γῆς εἰς θάλατταν, ἀλ-
λὰ πολλὴν ἔχουσα καὶ εἰς αὐτὴν καταδεχομένη, τῇ κεραμίδι
στεγούσῃ διαταμιευομένη (*) καὶ τὸ καταποθὲν ἐκ τῶν ὑψηλῶν
ὕδωρ εἰς τὰ κοῖλα ἀφιεῖσα, κατὰ πάντας τοὺς τόπους παρείχετο
ἄφθονα κρηνῶν καὶ ποταμῶν νάματα, ὧν καὶ νῦν ἔτι ἐπὶ ταῖς
πηγαῖς ταῖς πρότερον οὔσαις ἱερὰ λελειμμένα ἐστὶ σημεῖα ὅτι περὶ
αὐτῆς (**) ἀληθῆ λέγεται τὰ νῦν. Τὰ μὲν * οὖν τῆς ἄλλης E
χώρας φύσει τε οὕτως εἶχε, καὶ διεκεκόσμητο, ὡς εἰκός, ὑπὸ
γεωργῶν μὲν ἀληθινῶν καὶ πραττόντων αὐτὸ τοῦτο, φιλοκά-
λων δὲ καὶ εὐφυῶν, γῆν δὲ ἀρίστην καὶ ὕδωρ ἀφθονώτατον
ἐχόντων καὶ ὑπὲρ τῆς γῆς ὥρας μετριώτατα (***) κεκραμένας·
τὸ δ᾽ ἄστυ κατῳκισμένον ὧδ᾽ ἦν ἐν τῷ τότε χρόνῳ. πρῶ-
τον μὲν τὸ τῆς ἀκροπόλεως εἶχε τότε οὐχ, ὡς τὰ νῦν ἔχει·

---

*) γρ. τό. **) ἄλλ. μακραῖς νόσοις. ***) ἴσ. γηλόφους τε. †) γρ. εἰς οἰκοδομὴν εἰς τάς. ††) γρ. σῶα. †††) ἄλλ. ἀπολλῦσα ῥέον. (*) γρ. καὶ διαταμιευομένη. ἄλλ. γῇ διαταμιευομένη.
(**) γρ. ταύτης. (***) γρ. μετριώτατον.

quum fuerint magnaeque eluviones annorum novem millium ſpatio (tot enim ab illo tempore ad praesens intercesserunt anni) terra his temporibus et caſibus ab altis locis defluens neque aggerem, ut aliis in locis, congerit memorabilem et circumcirca ſemper circumfluens in profundum abit; relicta igitur ſunt, quemadmodum in morbis diuturnis, quaſi corporis iam aegrotantis oſſa, quippe terra circumfluente, quaecumque pinguis et mollis, et tenui tantum regionis corpore relicto. tum vero quum integra erat montes habebat collesque excelſos et campos poſſidebat, qui nunc Phellei dicuntur, terra pingui refertos, et multas in montibus habebat ſylvas, quarum etiam adhuc manifeſta ſunt indicia; ſunt enim montes qui nunc quidem apibus ſolis alimentum praebent, in quibus vero non ita multo ante arbores caedebantur ad maximorum aedificiorum exſtructiones idoneae, quorum tecta ſunt adhuc ſalva. multae autem erant aliae ſativae arbores excelſae, et pabulum pecudibus immenſum proferebat. quin etiam quotannis aqua caeleſti fruebatur, non, ut nunc, eam amittens quippe fluentem a terra ſterili in mare, ſed multam habens et in ſemet ipſam ſuscipiens, argilla continente eam conſervans et abſorptam aquam ex alto in cava demittens, omnibus in locis praebebat largos fontium et fluminum latices, quorum etiam nunc adhuc in fontibus priſtinis ſacra relicta ſunt documenta veritatis eorum quae nunc de illa expoſuimus. Ac reliqua quidem regio natura ſe ſic habebat, et adornabatur, ut conſentaneum eſt, ab agricolis veris idque ipſum agentibus, pulchri et honeſti amantibus bonaque indole praeditis, terram porro optimam et aquam largiſſimam habentibus ſupraque terram caelum temperatiſſimum; urbs vero ſic inſtituta erat illo tempore. primum arx tunc non ita habebat ut nunc habet; nunc enim una

νῦν μὲν γὰρ μία γενομένη * νὺξ ὑγρὰ διαφερόντως γῆς *) 112
αὐτὴν ψιλὴν περιτήξασα πεποίηκε, σεισμῶν ἅμα καὶ πρὸ
τῆς ἐπὶ Δευκαλίωνος φθορᾶς τρίτου πρότερον ὕδατος ἐξαι-
σίου γενομένου **). τὸ δὲ πρὶν ἐν ἑτέρῳ χρόνῳ μέγεθος μὲν
ἦν πρὸς τὸν Ἠριδανὸν καὶ τὸν Ἰλισσὸν ἀποβεβηκυῖα καὶ πε-
ριειληφυῖα ἐντὸς τὴν Πνύκα καὶ τὸν Λυκαβητὸν ὄρον ***)
ἐκ τοῦ καταντικρὺ τῆς Πνυκὸς ἔχουσα, γεώδης δ' ἦν πᾶ-
σα καὶ πλὴν ὀλίγων ἐπίπεδος ἄνωθεν. ᾤκεῖτο †) δὲ τὰ
μὲν ἔξωθεν, ὑπ' * αὐτὰ τὰ πλάγια αὐτῆς, ὑπὸ τῶν δη- B
μιουργῶν καὶ τῶν γεωργῶν ὅσοι πλησίον ἐγεώργουν· τὰ δ'
ἐπάνω τὸ μάχιμον αὐτὸ καθ' αὑτὸ μόνον γένος περὶ τὸ τῆς
Ἀθηνᾶς Ἡφαίστου τε ἱερὸν κατῳκήκει, οἷον μιᾶς οἰκίας κῆ-
πον ἑνὶ περιβόλῳ προςπεριβεβλημένοι ††). τὰ γὰρ πρὸς βοῤ-
ῥᾶν αὐτῆς ᾤκουν οἰκίας κοινὰς καὶ ξυσσίτια χειμερινὰ κα-
τεσκευασμένοι καὶ πάντα ὅσα πρέποντα ἦν τῇ κοινῇ πολιτείᾳ
δι' οἰκοδομῆς ὧν χρεὼν †††) ὑπάρχειν αὐτῶν καὶ * τῶν ἱε- C
ρῶν, ἄνευ χρυσοῦ καὶ ἀργύρου· τούτοις γὰρ οὐδὲν οὐδα-
μόσε προςεχρῶντο, ἀλλὰ τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθε-
ρίας μεταδιώκοντες (*) κοσμίας ᾠκοδομοῦντο οἰκήσεις, ἐν
αἷς αὐτοί τε καὶ ἐκγόνων ἔκγονοι καταγηρῶντες ἄλλοις
ὁμοίοις τὰς αὐτὰς ἀεὶ παρεδίδοσαν· τὰ δὲ πρὸς νότου κή-
πους καὶ γυμνάσια ξυσσίτιά τε ἀνέντες οἷα θέρους κατεχρῶν-
το ἐπὶ ταῦτα αὐτοῖς. κρήνη δ' ἦν μία κατὰ τὸν τῆς νῦν
ἀκροπόλεως τόπον, ἧς ἀποσβεσθείσης * ὑπὸ τῶν σεισμῶν D
τὰ νῦν νάματα (**) σμικρὰ κύκλῳ καταλέλειπται, τοῖς δὲ τότε
πᾶσι παρεῖχεν ἄφθονον ῥεῦμα, εὐκρὰς (***) οὖσα πρὸς χειμῶ-
νά τε καὶ θέρος. τούτῳ δὴ κατῴκουν τῷ σχήματι, τῶν μὲν
αὑτῶν πολιτῶν φύλακες, τῶν δὲ ἄλλων Ἑλλήνων ἡγεμόνες
ἑκόντων, πλῆθος δὲ διαφυλάττοντες ὅτι μάλιστα ταὐτὸν ἑαυ-
τῶν εἶναι πρὸς τὸν ἀεὶ χρόνον ἀνδρῶν καὶ γυναικῶν, τὸ
δυνατὸν πολεμεῖν ἤδη καὶ τὸ ἔτι (†), περὶ δύο μάλιστα
ὄντες μυριάδας.

---

*) γρ. γῆν. **) γρ. σεισμὸν — ἐξαισίου. τὸ δὲ κτλ.
***) ἴσ. ὄρος. †) γρ. ᾤκητο. ††) ἴσ. προσ-
περιβεβλημένον. †††) ἄλλ. οἰκοδομήσεων.
(*) γρ. διώκοντες. (**) γρ. ἃ μετά. ἄλλ. ὕδατα.
(***) γρ. εὐκραής. (†) ἄλλ. κατὰ τὰ ἔτη.

nox inſignite pluvia liquefecit eam vacuamque a terra reddidit, terrae motibus ſimul exortis et aqua ante eluvionem quae Deucalionis tempore fuerat tertio ad immenſum aucta. priore altero tempore magnitudine erat ad Eridanum et Iliſſum extenſa, continebat in ſe Pnycem et Lycabetum montem e regione Pnycis habebat. terrena porro erat tota et paucis exceptis plana ſuperne. incolebantur autem exteriora loca, ad ipſas obliquas eius partes, ab opificibus et agricolis quicumque in propinquo agrum colebant; ſupera bellicoſum genus per ſe ſolum circa Minervae et Vulcani templum incolebat tamquam unius domi hortum uno ſepto cinctum. loca enim eius ad aquilonem converſa incolebant, domos communes et hibernacula aedificantes omniaque apparantes, quae communem decebat civitatem habere illorum templorumque aedificandorum cauſa, praeter aurum et argentum; his enim nusquam utebantur, ſed id quod medium eſt inter ſuperbiam et illiberalitatem conſectantes modeſtas ſibi exſtruebant habitationes, in quibus et ipſi et poſterorum poſteri conſeneſcentes aliis ſimilibus easdem ſemper tradebant; auſtralibus vero locis, hortis et gymnaſiis et contuberniis relictis quippe aeſtate, utebantur hunc ad finem. fons erat unus ubi nunc arx ſita eſt, quo exſtincto a terrae motibus rivi qui nunc exſtant exigui circumcirca relicti ſunt; ſed illis qui tunc vixerunt omnibus largum praebuit flumen, bene temperatus ad hiemem et aeſtatem. hac igitur ratione vivebant, civium quidem ſuorum cuſtodes, reliquorum vero Graecorum duces volentium, idque ſpectantes ut quam maxime eadem ſemper multitudo eſſet virorum et mulierum, ad bellum gerendum nunc adhuc idonea, viginti millium numerum excedens.

* Οὗτοι μὲν οὖν δὴ τοιοῦτοί τε ὄντες αὐτοὶ καί τινα E
τοιοῦτον ἀεὶ τρόπον τήν τε ἑαυτῶν καὶ τὴν Ἑλλάδα δίκῃ
διοικοῦντες, ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν κατά τε σωμά-
των κάλλη καὶ κατὰ τὴν τῶν ψυχῶν παντοίαν ἀρετὴν ἐλλό-
γιμοί τε ἦσαν καὶ ὀνομαστότατοι πάντων τῶν τότε· τὰ δὲ*)
δὴ τῶν ἀντιπολεμησάντων αὐτοῖς οἷα αὖ ἦν ὥς τε ἀπ' ἀρ-
χῆς ἐγένετο, μνήμης ἂν μὴ στερηθῶμεν ὧν ἔτι παῖδες ὄντες
ἠκούσαμεν, εἰς τὸ μέσον αὐτὰ νῦν ἀποδώσομεν ὑμῖν τοῖς
φίλοις εἶναι κοινά.

Τὸ δ' ἔτι βραχὺ πρὸ τοῦ λόγου δεῖ δηλῶσαι, μὴ πολ-
λάκις ἀκούοντες * Ἑλληνικὰ βαρβάρων ἀνδρῶν ὀνόματα θαυ- 115
μάζητε· τὸ γὰρ αἴτιον αὐτῶν πεύσεσθε. Σόλων **) ἐπινοῶν
εἰς τὴν αὐτοῦ ποίησιν καταχρήσασθαι τῷ λόγῳ, διαπυνθα-
νόμενος τὴν τῶν ὀνομάτων δύναμιν, εὗρε τούς τε Αἰγυπτίους
τοὺς πρώτους ἐκείνους αὐτὰ γραψαμένους εἰς τὴν αὐτῶν
φωνὴν μετενηνοχότας, αὐτός τε αὖ πάλιν ἑκάστου τὴν διά-
νοιαν ὀνόματος ἀναλαμβάνων εἰς τὴν ἡμετέραν ἄγων * φω- B
νὴν ἀπεγράφετο. καὶ ταῦτά γε δὴ τὰ γράμματα παρὰ τῷ
πάππῳ τ' ἦν καὶ ἔτ' ἐστὶ παρ' ἐμοὶ νῦν διαμεμελέτηταί τε
ὑπ' ἐμοῦ παιδὸς ὄντος. ἂν οὖν ἀκούητε τοιαῦτα οἷα καὶ
τῇδε ὀνόματα, μηδὲν ὑμῖν ἔστω θαῦμα· τὸ γὰρ αἴτιον αὐ-
τῶν ἔχετε. μακροῦ δὲ δὴ λόγου ἡ ἀρχὴ τότε ***).

Καθάπερ ἐν τοῖς πρόσθεν ἐλέχθη περὶ τῆς τῶν θεῶν
λήξεως, ὅτι κατενείμαντο γῆν πᾶσαν ἔνθα μὲν μείζους λή-
ξεις, ἔνθα δὲ καὶ ἐλάττους, ἱερὰ θυσίας τε αὐτοῖς * κατα- C
σκευάζοντες, οὕτω δὴ καὶ τὴν νῆσον Ποσειδῶν τὴν Ἀτλαν-
τίδα λαχὼν ἐκγόνους ἑαυτοῦ κατῴκισεν ἐκ θνητῆς γυναικὸς
γεννήσας ἔν τινι τόπῳ τοιῷδε τῆς νήσου· πρὸς θαλάττῃ †)
μέν, κατὰ δὲ μέσον πάσης πεδίον ἦν, ὃ δὴ πάντων πε-
δίων ††) κάλλιστον ἀρετῇ τε ἱκανὸν γενέσθαι λέγεται· πρὸς
τῷ πεδίῳ δ' αὖ κατὰ μέσον σταδίους ὡς πεντήκοντα ἀφε-
στὸς ἦν ὄρος βραχὺ πάντῃ. τούτῳ δ' ἦν ἔνοικος τῶν ἐκεῖ
κατὰ ἀρχὰς ἐκ γῆς ἀνδρῶν γεγονότων Εὐήνωρ μὲν τοὔνο-

*) γρ. τάγε. **) ἄλλ. Σόλων ἅτ'.
***) ἄλλ. τοιάδε τις ἦν ἀρχὴ τότε.
†) ἄλλ. θαλάττης. ††) γρ. πεδίον.

Hi igitur quia tales fuerunt ipsi et hac fere ratione et suam civitatem et Graeciam iuste administrarunt, eo per universam Europam et Asiam propter corporis pulchritudinem multasque animi virtutes spectati fuerunt atque clarissimi omnium qui tum vixerunt. adversariorum autem res quomodo se habuerint et ab initio constitutae fuerint, quantum memoriam conservavimus eorum quae pueri audivimus, in medium nunc proferemus vobiscum amicis ea communicantes.

Hoc adhuc exiguum ante narrationem nos indicare oportet, ne forte graeca barbarorum virorum nomina audientes miremini; causam enim eorum percipietis. Solon videlicet quum in animo haberet ad poësin suam adhibere narrationem, sciscitans de nominum vi comperit Aegyptios illos primos ea consignasse in suam linguam translata, ipse rursus cuiusque significationem nominis accepit et in nostram traducens linguam perscripsit. et haec quidem scripta apud avum meum erant et adhuc sunt apud me nunc et puer quum essem me in illis exercui. quodsi igitur audietis talia nomina qualia hic quoque usurpantur, ne id vobis admirationem iniiciat; causam enim eius rei tenetis. longae autem narrationis hoc tum fuit exordium.

Quemadmodum supra exposuimus de sortitione deorum, terram eos universam distribuisse hic in maiores, illic in minores portiones, templa et sacrificia sibi apparantes, ita etiam insulam Neptunus Atlantidem sortitus liberos suos quos e mortali muliere susceperat in tali fere insulae loco collocavit; ad mare videlicet media in insula universa campus erat, qui omnium camporum pulcherrimus eximiaque dicitur fuisse bonitate; ad campum rursus in medio stadiis fere quinquaginta distans erat mons brevis usquequaque. in hoc habitabat eorum aliquis qui ibi a principio e terra orti erant, nomine

μα, γυναικὶ * δὲ ξυνοικῶν Λευκίππῃ· Κλειτὼ δὲ μονο- D
γενῆ θυγατέρα ἐγεννησάσθην. ἤδη δ᾽ εἰς ἀνδρὸς ὥραν
ἡκούσης τῆς κόρης ἥ τε μήτηρ τελευτᾷ καὶ ὁ πατήρ, αὐ-
τῆς δὲ εἰς ἐπιθυμίαν Ποσειδῶν ἐλθὼν ξυμμίγνυται, καὶ τὸν
γήλοφον, ἐν ᾧ κατῴκιστο *), ποιῶν εὐερκῆ περιῤῥήγνυσι κύ-
κλῳ, θαλάττης γῆς τε ἐναλλὰξ ἐλάττους μείζους τε περὶ ἀλ-
λήλους ποιῶν τροχούς, δύο μὲν γῆς, θαλάττης δὲ τρεῖς οἷον
τορνεύων ἐκ μέσης τῆς νήσου, πάντῃ ἴσον ἀφεστῶτας, ὥςτε
ἄβατον * ἀνθρώποις εἶναι· πλοῖα γὰρ καὶ τὸ πλεῖν οὔπω E
τότ᾽ ἦν. αὐτὸς δὲ τήν τε ἐν μέσῳ νῆσον οἷα δὴ θεὸς εὐ-
μαρῶς διεκόσμησεν, ὕδατα μὲν διττὰ ὑπὸ γῆς ἄνω πηγαῖα
κομίσας, τὸ μὲν θερμόν, ψυχρὸν δὲ ἐκ κρήνης ἀποῤῥέον ἕτε-
ρον, τροφὴν δὲ παντοίαν καὶ ἱκανὴν ἐκ τῆς γῆς ἀναδιδούς.
παίδων δὲ ἀῤῥένων πέντε γενέσεις **) διδύμους γεννησάμε-
νος ἐθρέψατο, καὶ τὴν νῆσον τὴν Ἀτλαντίδα πᾶσαν δέκα
μέρη κατανείμας τῶν μὲν πρεσβυτάτων ***) τῷ προτέρῳ γε-
νομένῳ * τήν τε μητρῴαν οἴκησιν καὶ τὴν κύκλῳ λῆξιν, 124
πλείστην καὶ ἀρίστην οὖσαν, ἀπένειμε, βασιλέα τε τῶν ἄλ-
λων †) κατέστησε, τοὺς δὲ ἄλλους ἄρχοντας, ἑκάστῳ δὲ ἀρ-
χὴν πολλῶν ἀνθρώπων καὶ τόπον πολλῆς ††) χώρας ἔδω-
κεν. ὀνόματα δὲ πᾶσιν ἔθετο, τῷ μὲν πρεσβυτάτῳ καὶ βασι-
λεῖ τοῦτο †††) οὗ δὴ καὶ πᾶσα ἡ νῆσος τό τε πέλαγος ἔσχεν
ἐπωνυμίαν, Ἀλαντικὸν λεχθὲν ὅτι τοὔνομ᾽ ἦν τῷ πρώτῳ βα-
σιλεύσαντι τότε Ἄτλας· τῷ δὲ διδύμῳ * μετ᾽ ἐκεῖνόν τε (*) B
γενομένῳ, λῆξιν δὲ ἄκρας τῆς νήσου πρὸς Ἡρακλείων στη-
λῶν εἰληχότι ἐπὶ τὸ τῆς Γαδειρικῆς νῦν χώρας κατ᾽ ἐκεῖνον
τὸν τόπον ὀνομαζομένης (**), Ἑλληνιστὶ μὲν Εὔμηλον, τὸ
δ᾽ ἐπιχώριον Γάδειρον· ὅπερ ἂν τὴν ἐπίκλησιν ταύτην ὄνο-
μα παράσχοι (***). τοῖν δὲ δευτέροιν γενομένοιν τὸν μὲν Ἀμ-
φήρη, τὸν δὲ Εὐδαίμονα (†) ἐκάλεσε· τρίτοις (††) δέ, Μνησέα
μὲν τῷ προτέρῳ γενομένῳ, τῷ δὲ μετ᾽ αὐτὸν Αὐτόχθονα·

*) γρ. κατῴκισται. **) γρ. πέντε δὲ ἀῤῥένων πέντε γεννήσεις. ***) γρ. τῷ μὲν πρεσβυτάτῳ. ἴσ. τῷ μὲν προτέρῳ. †) γρ. ὅλων. ††) γρ. καὶ πολλῆς. †††) γρ. τούτῳ. (*) γρ. τότε. (**) ἴσ. ἐπὶ τὸν τόπον τ. Γ. ν. χ. κατ᾽ ἐκεῖνον ὀνομ. (***) ἄλλ. ὅ πέρ τ᾽ ἦν ἐπίκλην, ταύτῃ ὄνομα παρέσχοι.
(†) ἄλλ. Εὐαίμονα. (††) γρ. τριττοῖς.

Euenor, qui uxorem habebat Leucippen; Clitonem unicam filiam genuerant. quae quum iam in aetatem venisset viro maturam, mortui sunt pater et mater, Neptunus vero amore captus cum ea concubat collemque in quo habitabat bene communit et circumcirca abrumpit, maris et terrae alternis minores et maiores inter se efficiens orbes, duos quidem terrae, maris vero tres quasi tornans e media insula, plane aequaliter distantes, ita ut adiri ab hominibus non possit; navigia enim et navigatio nondum tunc erant. ipse vero insulam in medio sitam quippe deus nullo negotio disposuit, duplicem aquam e terra sursum fontanam ducens, calidam unam, alteram frigidam e fonte manantem, alimentum variam et quod satis erat e terra proferens. liberorum autem masculorum quinque partus geminos genuit et educavit, et insulam Atlantidem universam decem in partes quum divisisset, maiori natu maternam habitationem sortemque quae circum erat, maximam illam quidem et optimam, tribuit et regem hunc ceterorum constituit ceterosque praefectos, cuique vero imperium in multos homines multumque terrae dedit. nomina quoque omnibus imposuit, et maximo quidem natu ac regi hoc, e quo tota insula et mare nominata sunt, Atlantica dicta propterea quod nomen erat primo tum regnanti Atlas; et gemino post illum nato qui sortem extremae insulae ad columnas Herculis adeptus erat in regione quae nunc ex illo Gaditana nominata est, graecum nomen Eumelo dedit, et vernaculum Gadiro; quod quidem nomen appellationem illi praebuit. secundo partu editorum unum Ampherem, alterum Eudaemonem vocavit; tertio partu editorum maiorem natu Mnesеum nominavit, minorem Autochthonem; quartorum

τῶν δὲ τετάρτων * Ἐλάσιππον μὲν τὸν πρότερον, Μήστορα C δὲ τὸν ὕστερον· ἐπὶ δὲ τοῖς πέμπτοις *) τῷ μὲν ἔμπροσθεν Ἀζάης ὄνομα ἐτέθη, τῷ δ' ὑστέρῳ Διαπρεπής. οὗτοι δὴ πάντες αὐτοί τε καὶ ἔκγονοι τούτων ἐπὶ γενεὰς παμπόλλας ᾤκουν ἄρχοντες μὲν πολλῶν ἄλλων κατὰ τὸ πέλαγος νήσων, ἔτι δέ, ὥσπερ καὶ πρότερον ἐῤῥήθη, μέχρι τε Αἰγύπτου καὶ Τυῤῥηνίας τῶν ἐντὸς δεῦρο ἐπάρχοντες. Ἄτλαντος δὴ πολὺ μὲν ἄλλο καὶ τίμιον γίγνεται γένος, * βασιλεὺς δὲ ὁ πρεσβύτα- D τος ἀεὶ τῷ πρεσβυτάτῳ τῶν ἐκγόνων παραδιδοὺς ἐπὶ γενεὰς πολλὰς τὴν βασιλείαν διέσωζον, πλοῦτον μὲν κεκτημένοι πλήθει τοσοῦτον ὅσος οὔτε πω πρόσθεν ἐν δυναστείαις τισὶ βασιλέων γέγονεν οὔτε ποτὲ ὕστερον γενέσθαι ῥάδιος· κατεσκευασμένα δὲ πάντα ἦν αὐτοῖς ὅσα ἐν πόλει καὶ ὅσα κατὰ τὴν ἄλλην **) *** αὐτοῖς προσήει ἔξωθεν, πλεῖστα δὲ ἡ νῆσος * αὐτὴ παρείχετο εἰς τὰς τοῦ βίου κατασκευάς, πρῶτον μὲν E ὅσα ὑπὸ μεταλλείας ὀρυττόμενα στερεὰ καὶ ὅσα τηκτὰ γέγονε· καὶ τὸ νῦν ὀνομαζόμενον μόνον ***), τότε δὲ πλέον ὀνόματος †) ἦν τὸ γένος ἐκ γῆς ὀρυττόμενον ὀρειχάλκου ††) κατὰ τόπους πολλοὺς τῆς νήσου, πλὴν χρυσοῦ τιμιώτατον ἐν τοῖς τότε ὄν· καὶ ὅσα ὕλη πρὸς τὰ τῶν τεκτόνων διαπονήματα παρέχεται, πάντα φέρουσα ἄφθονα, τά τε αὖ περὶ τὰ †††) ζῶα ἱκανῶς ἥμερα καὶ ἄγρια τρέφουσα. καὶ δὴ καὶ ἐλεφάντων ἦν ἐν αὐτῇ γένος πλεῖστον· νομὴ γὰρ τοῖς τε ἄλλοις ζώοις, ὅσα καθ' ἕλη καὶ λίμνας καὶ ποταμοὺς ὅσα τ' αὖ κατ' ὄρη * καὶ ὅσα ἐν τοῖς πεδίοις νέμεται, ξύμπασι 115 παρῆν ἄδην, καὶ τούτῳ (*) κατὰ ταὐτὰ τῷ ζώῳ, μεγίστῳ πεφυκότι καὶ πολυβορωτάτῳ. πρὸς δὴ τούτοις, ὅσα εὐώδη τρέφει που γῆ τὰ νῦν, ῥιζῶν ἢ χλόης ἢ ξύλων ἢ χυλῶν στακτῶν (**) εἴτε ἀνθῶν εἴτε καρπῶν, ἔφερέ τε ταῦτα καὶ ἔφερβεν εὖ. ἔτι δὲ τὸν ἥμερον καρπόν, τόν τε ξηρὸν ὃς ἡμῖν τροφῆς ἕνεκα (***), καὶ ὅσοις χάριν τοῦ σίτου προσχρώ-

*) γρ. τῆς πέμπτης. **) ἀλλ. ἄλλην χώραν τῶν πρὸς χρῆσιν ζητουμένων ἐστί. καὶ πολλὰ μὲν διὰ τὴν ἀρχὴν αὐτοῖς κτλ. ἄλλην χώραν ἦν ἔργον κατασκευάσασθαι. πολλὰ μὲν γὰρ διὰ τὴν ἀρχὴν αὐτοῖς. ***) γρ. ὀνομαζόμενον, τότε. †) γρ. ὀνομαστόν. ††) γρ. ὀρείχαλκον. †††) γρ. περιττά. (*) γρ. παρῆν. ἀλλ' ἦν καὶ τοῦτο. (**) γρ. ἢ στακτῶν. (***) ἀλλ. ἕνεκά ἐστι.

geminorum priorem Elasippum, posteriorem Mestorem; et quintorum geminorum superiori Azai nomen inditum, inferiori Diaprepi. hi igitur omnes et ipsi et liberi eorum permulta secula habitaverunt ibi imperantes quum multis aliis in mari sitis insulis, tum, quemadmodum supra dictum est, usque ad Aegyptum et Tyrrheniam in eos qui intra ad nos versus habitabant imperium habentes. et Atlantis quidem genus omnino copiosum et honoratum exstitit, et quum natu maximus semper maximo filiorum regnum traderet, in multa secula id conservarunt, divitias possidentes tantas quantae numquam ante in regum dominationibus fuerant neque umquam post facile poterunt comparari; parata autem omnia eis erant quaecumque in urbe et quaecumque in reliqua terra usus poscebat; et multa quidem eis propter imperium foris accedebant, plurima vero insula ipsa suppeditabat ad vitam adornandam necessaria, primum quae e terra fossa solida sunt et quae liquefieri possunt; et quod nunc nominatur tantum, tunc vero plus erat quam nomen, aurichalci genus e terra fodiebatur multis in locis insulae, auro excepto pretiosissimum eorum quae tunc erant; et quaecumque silva ad fabrorum opera suppeditat, ea omnia proferebat larga; et animantia abunde mansueta et immania alebat. atque etiam elephantorum in ea genus erat plurimum; pabulum enim quum ceteris animantibus, quaecumque in paludibus et stagnis et fluviis, quaecumque in montibus et quaecumque in campis pascuntur, omnibus aderat abunde, tum etiam huic bestiae, maximae et voracissimae. praeterea quaecumque bene olentia nutrit nunc uspiam terra, radices vel gramina vel ligna vel succos liquidos sive florum sive fructuum, ea proferebat beneque alebat. ad haec sativum fructum siccumque qui nobis alimento est omnesque quibus pro

μεθα (καλοῦμεν δὲ αὐτοῦ τὰ μέρη ξύμπαντα ὄσπρια) * καὶ B
τὸν ὅσος ξύλινος, πώματα καὶ βρώματα καὶ ἀλείμματα φέρων, παιδιᾶς τε ὃς ἕνεκα καὶ ἡδονῆς γέγονε δυςθησαύριστος ἀκροδρύων καρπός, ὅσα τε παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμνοντι τίθεμεν, ἅπαντα (†) ταῦτα ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερὰ καλά τε καὶ θαυμαστὰ καὶ πλήθεσιν ἄπειρα ἔφερε. ταῦτα οὖν λαμβάνοντες πάντα παρὰ τῆς γῆς κατεσκευάζοντο τά τε ἱερὰ καὶ τὰς βασιλικὰς οἰκήσεις * καὶ τοὺς λιμένας καὶ τὰ νεώρια καὶ ξύμπασαν C
τὴν ἄλλην χώραν, τοιᾷδε ἐν τάξει διακοσμοῦντες.

Τοὺς τῆς θαλάττης τροχούς, οἳ περὶ τὴν ἀρχαίαν ἦσαν μητρόπολιν, πρῶτον μὲν ἐγεφύρωσαν, ὁδὸν ἔξω καὶ ἐπὶ τὰ βασίλεια ποιούμενοι· τὰ δὲ βασίλεια ἐν ταύτῃ τῇ τοῦ θεοῦ καὶ τῶν προγόνων κατοικήσει κατ' ἀρχὰς ἐποιήσαντο εὐθύς, ἕτερος δὲ παρ' ἑτέρου δεχόμενος, κεκοσμημένα κοσμῶν, ὑπερεβάλλετο εἰς δύναμιν * ἀεὶ τὸν ἔμπροσθεν, ἕως εἰς ἔκπλη- D
ξιν μεγέθεσι κάλλεσί τε ἔργων ἰδεῖν τὴν οἴκησιν ἀπειργάσαντο. διώρυχα μὲν γὰρ ἐκ τῆς θαλάττης ἀρχόμενοι τρίπλεθρον τὸ πλάτος, ἑκατὸν δὲ ποδῶν βάθος, μῆκος δὲ πεντήκοντα σταδίων, ἐπὶ τὸν ἐξωτάτω τροχὸν ξυνέτρησαν, καὶ τὸν ἀνάπλουν ἐκ τῆς θαλάττης ταύτῃ *) πρὸς ἐκεῖνον ὡς εἰς λιμένα ἐποιήσαντο, διελόντες στόμα ναυσὶ ταῖς μεγίσταις ἱκανὸν εἰςπλεῖν. καὶ δὴ καὶ τοὺς τῆς γῆς τροχούς, οἳ τοὺς * τῆς θα- E
λάττης διεῖργον, κατὰ τὰς γεφύρας διεῖλον ὅσον μιᾷ τριήρει διέκπλουν εἰς ἀλλήλους, καὶ κατεστέγασαν ἄνωθεν, ὥςτε τὸν ὑπόπλουν κάτωθεν εἶναι· τὰ γὰρ τῶν τῆς γῆς τροχῶν χείλη βάθος εἶχεν ἱκανὸν ὑπερέχοντα **) τῆς θαλάττης. ἦν δὲ ὁ μὲν μέγιστος τῶν τροχῶν, εἰς ὃν ἡ θάλασσα ξυνετέτρητο, τριστάδιος τὸ πλάτος, ὁ δ' ἑξῆς τῆς γῆς ἴσος ἐκείνῳ· τοῖν δὲ δευτέροιν ὁ μὲν ὑγρὸς δυοῖν σταδίοιν πλάτος, ὁ δὲ ξηρὸς ἴσος αὖ πάλιν τῷ πρόσθεν ὑγρῷ· σταδίου δὲ ὁ περὶ αὐτὴν
τὴν ***) ἐν μέσῳ νῆσον περιθέων. ἡ δὲ νῆσος * ἐν ᾗ τὰ 116
βασίλεια ἦν, πέντε σταδίων τὴν διάμετρον εἶχε. ταύτην δὴ

(†) γρ. τιθέμενα, πάντα.
*) γρ. ταύτης.
**) ἄλλ. ὑπερέχον.
***) γρ. τὴν αὐτήν.

cibo utimur (vocamus autem omnes eius partes legumina) et eum qui ligneus est, potulenta et esculenta et unguenta ferens, porro qui ludi et oblectationis causa exstitit arborum fructus asservatu difficilis, et quae satietatis levamina bellaria languenti accepta apponimus, omnia haec insula quae tum sub sole erat sacra pulchra et admirabilia et ad numerum infinita proferebat. et haec quidem accipientes omnia a terra exstruxerunt templa, regias habitationes, portus, navalia universamque reliquam terram, hoc ordine omnia constituentes.

Maris orbes, qui pristinam urbem primariam circumdabant, primum ponte iunxerunt, viam extra et ad regiam munientes; et regiam in hoc dei et maiorum domicilio initio exstruxerant statim, alter vero ab altero accipiens ornata ornando superabat pro viribus proxime quemque antecedentem, donec propter magnitudinem et pulchritudinem operum admirabile visu effecerunt aedificium. fossam enim tria iugera latam, centum pedes altam et quinquaginta stadia longam a mari ad extimum orbem foderunt, et recursum e mari ad hunc tamquam in portum fecerunt, os diducentes ut maximae naves invehi possent. atque etiam terrae orbes, qui maris orbes intersepiebant, pontibus diviserunt ita ut una tantum triremis ab uno ad alterum pervehi posset, et intexerunt superne, ut subtus fieret navigatio; terrae enim orbium labra altitudinem satis magnam habebant ut supra mare eminerent. erat autem maximus orbium is in quem mare perforatum erat, tria stadia latus, proximus terrae aequalis illi; duorum sequentium fluidus duo stadia latus, siccus vero aequalis rursus fluido priori, et stadium is latus erat qui ipsam in medio sitam insulam ambibat. insula vero, in qua regia erat, quinque stadiorum lineam mediam habebat. hanc igitur et or-

κύκλῳ καὶ τοὺς τροχοὺς καὶ τὴν γέφυραν πλεθριαίαν τὸ
πλάτος οὖσαν ἔνθεν καὶ ἔνθεν λιθίνῳ περιεβάλλοντο τείχει,
πύργους καὶ πύλας ἐπὶ τῶν γεφυρῶν κατὰ τὰς τῆς θαλάττης
διαβάσεις ἑκασταχόσε ἐπιστήσαντες. τὸν δὲ λίθον ἔτεμνον
ὑπὸ τῆς νήσου κύκλῳ τῆς (†) ἐν μέσῳ καὶ ὑπὸ τῶν τρο-
χῶν ἔξωθεν καὶ ἐντός, τὸν μὲν λευκόν, τὸν δὲ μέλανα,
τὸν δὲ ἐρυθρὸν ὄντα· τέμνοντες * δὲ ἅμα ἀπειργάζοντο B
νεωσοίκους κοίλους διπλοῦς ἐντός, κατηρεφεῖς αὐτῇ τῇ πέ-
τρᾳ. καὶ τῶν οἰκοδομημάτων τὰ μὲν ἁπλᾶ, τὰ δὲ μιγνύντες
τοὺς λίθους ποικίλα ὕφαινον παιδιᾶς χάριν, ἡδονὴν αὐτοῖς
ξύμφυτον ἀπονέμοντες· καὶ τοῦ μὲν περὶ τὸν ἐξωτάτω τρο-
χὸν τείχους χαλκῷ περιελάμβανον πάντα τὸν περίδρομον,
οἷον ἀλοιφῇ προςχρώμενοι, τοῦ δ' ἐντὸς καττιτέρῳ περιέτη-
κον, τὸν δὲ περὶ αὐτὴν τὴν ἀκρόπολιν ὀρειχάλκῳ * μαρμα- C
ρυγὰς ἔχοντι πυρώδεις. Τὰ δὲ δὴ τῆς ἀκροπόλεως ἐντὸς βα-
σίλεια κατεσκευασμένα ὧδ' ἦν. ἐν μέσῳ μὲν ἱερὸν ἅγιον αὐ-
τόθι τῆς τε Κλειτοῦς καὶ τοῦ Ποσειδῶνος ἄβατον ἀφεῖτο,
περιβόλῳ χρυσῷ περιβεβλημένον, τοῦτ' ἐν ᾧ κατ' ἀρχὰς ἐφί-
τυσαν καὶ ἐγέννησαν *) τὸ τῶν δέκα βασιλειδῶν γένος· ἔνθα
καὶ κατ' ἐνιαυτὸν ἐκ πασῶν τῶν δέκα λήξεων ὡραῖα αὐτό-
σε ἀπετέλουν ἱερὰ ἐκείνων ἑκάστῳ. τοῦ δὲ Ποσειδῶνος αὐ-
τοῦ νεὼς ἦν, σταδίου μὲν μῆκος, * εὖρος δὲ τρισὶ πλέ- D
θροις **), ὕψος δὲ ἐπὶ τούτοις ξύμμετρον ἰδεῖν, εἶδος δέ τι
βαρβαρικὸν ἔχοντος. πάντα δὲ ἔξωθεν περιήλειψαν τὸν νεὼν
ἀργύρῳ, πλὴν τῶν ἀκρωτηρίων, τὰ δὲ ἀκρωτήρια χρυσῷ. τὰ δὲ
ἐντός, τὴν μὲν ὀροφὴν ἐλεφαντίνην ἰδεῖν πᾶσαν χρυσῷ καὶ ἀρ-
γύρῳ καὶ ὀρειχάλκῳ πεποικιλμένην, τὰ δὲ ἄλλα πάντα τῶν
τοίχων τε καὶ κιόνων καὶ ἐδάφους ὀρειχάλκῳ περιέλαβον.
χρυσᾶ δὲ ἀγάλματα ἐνέστησαν, τὸν μὲν θεὸν ἐφ' ἅρματος
ἑστῶτα ἓξ ὑποπτέρων ἵππων * ἡνίοχον, αὐτόν τε ὑπὸ μεγέ- E
θους τῇ κορυφῇ τῆς ὀροφῆς ἐφαπτόμενον, Νηρῇδας δὲ ἐπὶ
δελφίνων ἑκατὸν κύκλῳ· τοσαύτας γὰρ ἐνόμιζον αὐτὰς οἱ τότε
εἶναι. πολλὰ δ' ἐντὸς ἄλλα ἀγάλματα ἰδιωτῶν ἀναθήματα ἐνῆν.

(†) γρ. τοῖς.
*) γρ. ἐφικτὸν ἐγεννήσαντο.
**) ἴσ. τρίπλεθρος.

bes pontemque unum fere iugerum latum circumcirca hinc illincque lapideo cinxerunt muro, turres portasque pontibus in maris traiectionibus quoquoverſus imponentes. lapidem vero excidebant ſub inſula circumcirca in medio ſita et ſub orbibus extra et intus, unum album, alterum nigrum, tertium rubrum; excidentes autem ſimul fecerunt navalia cava duplicia intus, tecta ipſo ſaxo. atque aedificia alia ſimplicia, alia lapides miſcentes varia conſtruxerunt per ludum et iocum oblectationem eis naturalem tribuentes; ac muri quidem orbem extimum cingentis aere complexi ſunt totum circuitum, quaſi illinentes eum, interioris ambitum ſtanno obduxerunt, eum vero qui ipſam arcem circumdabat aurichalco fulgorem habente igneum. Regia intra arcem ita erat exſtructa. in medio templum erat Clitoni et Neptuno conſecratum inacceſſum, ſeptis aureis cinctum, illud in quo initio ortum et procreatum erat decem regis filiorum genus, ubi etiam quotannis ex omnibus decem partibus confluentes ſolemnia faciebant ſacra illorum cuique. Neptuni ipſius templum ſtadium erat longum, tria fere iugera latum et altitudinem habebat cum his congruentem ad adſpectum, ſpeciem autem quandam barbaricam ipſe exhibebat. totum vero templum extrinſecus argento obduxerant praeter faſtigia, quae auro ornata erant. et quod ad interiores partes attinet, lacunar eburneum totum auro et argento et aurichalco diſtinctum erat, reliqua vero omnia, parietes et columnas et pavimentum, aurichalco circumcluſerant. aureas quoque ſtatuas in eo collocaverant, et deum quidem in curru ſtantem ſex alatorum equorum rectorem, ipſum vero ob magnitudinem vertice lacunar contingentem, et Nereides delphinis inſidentes centum circumcirca; tot enim putabant eas memoriae illius homines eſſe. multa intus alia ſimulacra

περὶ δὲ τὸν νεὼν ἔξωθεν εἰκόνες ἁπάντων ἕστασαν ἐκ χρυ-
σοῦ, τῶν γυναικῶν καὶ αὐτῶν ὅσοι τῶν δέκα ἐγεγόνεσαν βα-
σιλέων, καὶ πολλὰ ἕτερα ἀναθήματα μεγάλα τῶν τε βασιλέων
καὶ ἰδιωτῶν ἐξ αὐτῆς τε τῆς πόλεως καὶ τῶν ἔξωθεν ὅσων
ἐπῆρχον. βωμός τε δὴ ξυνεπόμενος ἦν τὸ μέγεθος καὶ * τὸ 117
τῆς ἐργασίας ταύτῃ τῇ κατασκευῇ, καὶ τὰ βασίλεια κατὰ
ταὐτὰ πρέποντα μὲν τῷ τῆς ἀρχῆς μεγέθει, πρέποντα δὲ τῷ
περὶ τὰ ἱερὰ κόσμῳ. ταῖς δὲ δὴ κρήναις, τῇ τοῦ ψυχροῦ καὶ
τῇ τοῦ θερμοῦ νάματος, πλῆθος μὲν ἄφθονον ἐχούσαις, ἡδο-
νῇ δὲ καὶ ἀρετῇ τῶν ὑδάτων πρὸς ἑκατέρου *) τὴν χρῆσιν
θαυμαστοῦ πεφυκότος, ἐχρῶντο περιστήσαντες οἰκοδομήσεις
καὶ δένδρων φυτεύσεις πρεπούσας ὕδασι, δεξαμενάς τε αὖ
τὰς **) μὲν ὑπαιθρίους, * τὰς δὲ χειμερινὰς τοῖς θερμοῖς B
λουτροῖς ὑποστέγους περιτιθέντες, χωρὶς μὲν βασιλικάς, χω-
ρὶς δὲ ἰδιωτικάς, ἔτι δὲ γυναιξὶν ἄλλας καὶ ἑτέρας ἵπποις
καὶ τοῖς ἄλλοις ὑποζυγίοις, τὸ πρόσφορον τῆς κοσμήσεως
ἑκάστοις ἀπονέμοντες. τὸ δὲ ἀποῤῥέον ἦγον ἐπὶ τὸ τοῦ Πο-
σειδῶνος ἄλσος, δένδρα ***) παντοδαπὰ κάλλος ὕψος τε δαι-
μόνιον ὑπὸ ἀρετῆς τῆς γῆς ἔχοντα, καὶ ἐπὶ τοὺς ἔξω κύ-
κλους δι' ὀχετῶν κατὰ τὰς γεφύρας ἐπωχέτευον. * οὗ δὴ C
πολλὰ μὲν ἱερὰ καὶ πολλῶν θεῶν, πολλοὶ δὲ κῆποι καὶ γυ-
μνάσια ἐκεχειρούργητο, τὰ μὲν ἀνδρῶν, τὰ δὲ ἵππων χωρὶς ἐν
ἑκατέρᾳ τῇ τῶν τροχῶν νήσῳ, τά τε ἄλλα καὶ κατὰ μέσην
τὴν μείζω τῶν νήσων ἐξῃρημένος ἱππόδρομος ἦν αὐτοῖς,
σταδίου τὸ πλάτος ἔχων, τὸ δὲ μῆκος περὶ τὸν κύκλον ὅλον
ἀφεῖτο εἰς ἅμιλλαν τοῖς ἵπποις. δορυφορικαὶ δὲ περὶ αὐτὸν
ἔνθεν τε καὶ ἔνθεν οἰκήσεις ἦσαν τῷ πλήθει τῶν δορυφό-
ρων· τοῖς δὲ * πιστοτέροις ἐν τῷ σμικροτέρῳ τροχῷ καὶ D
πρὸς †) τῆς ἀκροπόλεως μᾶλλον ὄντι διετέτακτο ἡ φρουρά,
τοῖς δὲ πάντων διαφέρουσι πρὸς πίστιν ἐντὸς τῆς ἀκροπό-
λεως περὶ τοὺς βασιλέας αὐτοὺς ἦσαν οἰκήσεις δεδομέναι. τὰ
δὲ νεώρια τριήρων μεστὰ ἦν καὶ σκευῶν ὅσα τριήρεσι προς-

---

*) ἴσ. ἑκατέρου πρός.
**) γρ. αὐτάς. ἄλλ. θερμάς.
***) γρ. δένδρα δέ. ἴσ. ἐν ᾧ δένδρα παντ.
†) γρ. πρό.

a privatis dedicata inerant. circa templum foris imagines omnium ſtabant aureae, mulierum ipſorumque qui a decem illis regibus orti erant, et multa alia donaria magna regum et privatorum tam ex ipſa urbe quam externis regionibus quibus imperabant. ara magnitudine et confectione huic apparatui reſpondebat, itemque regia conveniens erat tam imperii magnitudini quam templi ornatui. fontibus porro utebantur, uno frigidae, altero calidae aquae, copioſiſſime fluentibus, quorum utraque aqua admirabilem ad uſum amoenitatem et bonitatem habebat. circum hos poſuerant aedificia arboresque conſeverant aquis convenientes, et receptacula quoque alia ſubdialia, alia hiberna calidis lavationibus ſervientia eaque tecta circumcirca fecerant, ſeorſum regia, ſeorſum privata, praeterea mulieribus alia itemque alia equis reliquisque iumentis, accommodatum cuique ornatum tribuentes. aquam vero effluentem derivabant in Neptuni lucum, in quo arbores variae pulchritudinem et altitudinem mirificam propter terrae bonitatem habentes, et in orbes exteriores per canales iuxta pontes deducebant. ubi multa templa multorum deorum, multi quoque horti et gymnaſia exſtructa erant, alia virorum, alia equorum ſeorſum in utraque orbium inſula, praecipue vero in media inſula maiore eximium eis erat equorum curriculum, ſtadii latitudinem habens, longitudinem vero circa orbem totum ad certamen equeſtre demiſſam. ſatellitum circa illud hinc illincque habitationes erant pro ipſorum numero; et fidelioribus quidem in minore orbe eoque propiore arcem ſtatio erat diſpoſita, qui vero omnes fide praeſtabant, iis intra arcem circa reges ipſos data erant domicilia. navalia triremibus referta erant omnibusque ad triremes pertinentibus inſtrumentis, quae quidem om-

ἥκει, πάντα δὲ ἐξηρτυμένα †) ἱκανῶς. Καὶ τὰ μὲν δὴ περὶ τὴν τῶν βασιλέων οἴκησιν οὕτω κατεσκεύαστο· διαβάντι δὲ τοὺς λιμένας ἔξω τρεῖς ὄντας ἀρξάμενον ἀπὸ * τῆς θα- E
λάττης ἦν ††) ἐν κύκλῳ τεῖχος, πεντήκοντα σταδίους τοῦ μεγίστου τροχοῦ τε καὶ λιμένος ἀπέχον πανταχῇ, καὶ ξυνέκλειεν εἰς ταὐτὸ πρὸς τὸ (*) τῆς διώρυχος στόμα τὸ πρὸς θαλάττης (**). τοῦτο δὴ πᾶν ξυνῳκεῖτο μὲν ὑπὸ πολλῶν καὶ πυκνῶν οἰκήσεων, ὁ δὲ ἀνάπλους καὶ ὁ μέγιστος λιμὴν ἔγεμε πλοίων καὶ ἐμπόρων ἀφικνουμένων πάντοθεν, φωνὴν καὶ θόρυβον παντοδαπὸν κτύπον τε μεθ' ἡμέραν καὶ διὰ νυκτὸς ὑπὸ πλήθους παρεχομένων.

Τὸ μὲν οὖν ἄστυ καὶ τὸ περὶ τὴν ἀρχαίαν οἴκησιν σχεδόν, ὡς τότ' ἐλέχθη, νῦν διεμνημόνευται· τῆς δ' ἄλλης χώρας ὡς ἡ φύσις εἶχε καὶ τὸ * τῆς διακοσμήσεως εἶδος ἀπο- 118
μνημονεῦσαι πειρατέον. πρῶτον μὲν οὖν ὁ τόπος ἅπας ἐλέγετο σφόδρα τε ὑψηλὸς καὶ ἀπότομος ἐκ θαλάττης, τὸ δὲ περὶ τὴν πόλιν πᾶν πεδίον, ἐκείνην μὲν περιέχον, αὐτὸ δὲ κύκλῳ περιεχόμενον ὄρεσι μέχρι πρὸς τὴν θάλατταν καθειμένοις *), λεῖον καὶ ὁμαλές, πρόμηκες δὲ πᾶν, ἐπὶ μὲν θάτερα τρισχιλίων σταδίων, κατὰ δὲ μέσον ἀπὸ θαλάττης ἄνω δισχιλίων. ὁ δὲ τόπος οὗτος ὅλης τῆς νήσου πρὸς * νότον ἐτέ- B
τραπτο, ἀπὸ τῶν ἄρκτων **) κατάβοῤῥος. τὰ δὲ περὶ αὐτὸν ὄρη τότε ὑμνεῖτο πλῆθος καὶ μέγεθος καὶ κάλλος παρὰ πάντα τὰ νῦν ὄντα γεγονέναι, πολλὰς μὲν κώμας καὶ πλουσίας περιοίκων ἐν ἑαυτοῖς ἔχοντα, ποταμοὺς δὲ καὶ λίμνας καὶ λειμῶνας τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν, ὕλην δὲ καὶ πλήθει καὶ γένεσι ποικίλην ξύμπασί τε τοῖς ἔργοις καὶ πρὸς ἕκαστα ἄφθονον. ὧδε οὖν τὸ πεδίον φύσει καὶ ὑπὸ βασιλέων * πολλῶν ἐν πολλῷ χρόνῳ διε- C
πεπόνητο. τετράγωνον μὲν αὐτὸ ὑπῆρχε τὰ πλεῖστ' ὀρθὸν καὶ πρόμηκες· ὅ τι δ' ἐνελείπετο, κατεύθυντο ***) τάφρου κύκλῳ περιορυχθείσης. τὸ δὲ βάθος καὶ πλάτος τό τε μῆκος

†) γρ. ἐξηρτημένα. ††) ἄλλ. ᾔειν.
(*) ἴσ. εἰς ταὐτὸ τό. (**) γρ. πρὸς τὸ θαλάττης.
*) γρ. καθημένοις. **) γρ. ἄκρων.
***) γρ. κατ' εὐθὺ τῷ.

nia rite erant apparata. Ac regum quidem domicilium ita erat instructum; portus vero tres exteriores transgressum murus excipiebat a usque mari omnia cingens, qui quinquaginta stadia a maximo orbe et portu aberat omni ex parte, et concludebat fossae ostium ad mare versus. et hanc quidem totam regionem multae densaeque habitationes occupabant, sinus vero maximusque portus abundabat navigiis et mercatoribus undique confluentibus, qui vociferationem, tumultum omnis generis et strepitum dies noctesque propter multitudinem edebant.

De urbe et antiqua habitatione fere, ut tunc tradebatur, nunc expositum est; reliquae iam regionis quomodo natura se habuerit et constitutionis species qualis fuerit commemorare conandum est. ac primum quidem locus totus dicebatur admodum editus et praeruptus per mare esse, regio autem circa urbem universa campestris, illam quidem cingens, ipsa vero circumcirca cincta montibus usque ad mare demissis, levis et plana, oblonga vero tota, ex altera parte stadia ter mille, in medio a mari sursum bis mille. locus autem hic totius insulae ad austri partes conversus erat, ad septentrionem ab aquilone protectus. montes vero qui tunc eum cingebant copia et magnitudine et pulchritudine praedicabantur omnibus qui nunc sunt praestitisse, multos quidem vicos et divites accolarum in se habentes, fluvios porro et stagna et prata omnibus et mansuetis et feris animantibus satis alimenti praebentia, sylvamque et ad copiam et ad genera variam omniaque ad opera et ad singula largam. ita igitur campus natura et a regibus multis multos per annos excultus erat. quadratus autem erat ex maxima parte rectus et oblongus, et quod a recta linea aberat, id dirigebatur fossa circumcirca ducta; cuius altitudo, latitudo et longitudo incredibiles quidem

αὐτῆς ἄπιστον μὲν λεχθέν, ὡς χειροποίητον ἔργον, πρὸς τοῖς
ἄλλοις διαπονήμασι τοσοῦτον εἶναι, ῥητέον δὲ ὅ γε ἠκούσα-
μεν· πλέθρου μὲν γὰρ βάθος ὀρώρυκτο, τὸ δὲ πλάτος ἁπάν-
των †) σταδίου, περὶ δὲ πᾶν τὸ πεδίον ὀρυχθεῖσα ††) ξυν-
έβαινεν * εἶναι τὸ μῆκος σταδίων μυρίων. τὰ δ' ἐκ τῶν D
ὀρῶν καταβαίνοντα ὑποδεχομένη ῥεύματα καὶ περὶ τὸ πεδίον
κυκλωθεῖσα, πρὸς τὴν πόλιν ἔνθεν τε καὶ ἔνθεν ἀφικομένη, ταύ-
τῃ πρὸς * * * τὸ †††) πλάτος μάλιστα ἑκατὸν ποδῶν διώρυχες
εὐθεῖαι τετμημέναι κατὰ τὸ πεδίον πάλιν εἰς τὴν τάφρον
τὴν πρὸς θαλάττης ἀφεῖντο, ἑτέρα δὲ ἀφ' ἑτέρας αὐτῶν στα-
δίους ἑκατὸν ἀπεῖχεν. ᾗ δὴ *) τήν τ' ἐκ τῶν ὀρῶν ὕλην κατῆ-
γον εἰς τὸ ἄστυ καὶ τἄλλα * δὲ ὡραῖα πλοίοις κατεκομίζον- E
το, διάπλους **) ἐκ τῶν διωρύχων εἰς ἀλλήλας τε πλαγίας καὶ
πρὸς τὴν πόλιν τεμόντες ***). καὶ δὶς δὴ τοῦ ἐνιαυτοῦ τὴν
γῆν ἐκαρποῦντο, χειμῶνος μὲν τοῖς Διὸς ὕδασι χρώμενοι,
θέρους δὲ ὅσα γῆ φέρει, τὰ ἐκ τῶν διωρύχων ἐπάγοντες νά-
ματα. Πλῆθος δὲ τῶν μὲν ἐν τῷ πεδίῳ χρησίμων πρὸς
πόλεμον ἀνδρῶν ἐτέτακτο τὸν κλῆρον ἕκαστον παρέχειν ἄν-
δρα ἡγεμόνα, τὸ * δὲ τοῦ κλήρου μέγεθος εἰς δέκα δεκά- 119
κις ἦν στάδια, μυριάδες δὲ ξυμπάντων τῶν κλήρων ἦσαν
ἕξ· τῶν δὲ ἐκ τῶν ὀρῶν καὶ τῆς ἄλλης χώρας ἀπέραντος μὲν
ἀριθμὸς ἀνθρώπων ἐλέγετο, κατὰ δὲ τόπους καὶ κώμας εἰς
τούτους τοὺς κλήρους πρὸς τοὺς ἡγεμόνας ἅπαντες (†) διε-
νενέμηντο. τὸν οὖν ἡγεμόνα ἦν τεταγμένον εἰς τὸν πόλεμον
παρέχειν ἕκτον μὲν ἁρμάτων πολεμιστηρίων (††) μόριον εἰς
μύρια ἅρματα, ἵππους δὲ δύο καὶ ἀναβάτας, * ἔτι δὲ ξυνω- B
ρίδα χωρὶς δίφρου καταβάτην τε σμικρασπίδα (†††) καὶ τὸν ἀμ-
φοῖν μετ' ἐπιβάτην τοῖν ἵπποιν ἡνίοχον ἔχουσαν, ὁπλίτας
δὲ δύο καὶ τοξότας σφενδονήτας τε ἑκατέρους δύο, γυμνῆ-
τας δὲ λιθοβόλους καὶ ἀκοντιστὰς τρεῖς ἑκατέρους, ναύτας δὲ
τέτταρας εἰς πλήρωμα διακοσίων καὶ χιλίων νεῶν. τὰ μὲν

†) ἄλλ. ἁπάντῃ. ††) γρ. ὀρυχθεῖσαν.
†††) ἄλλ. ταύτῃ πρὸς θάλατταν μεθεῖτο ἐχρεῖν. ἄνωθεν δὲ ἀπ' αὐτῆς τὸ πλάτος. κτλ.
*) γρ. ἤδη τήν τ. **) γρ. κατεκομίζοντο διπλοῖς.
***) γρ. τέμνοντες. (†) γρ. ἅπαντας.
(††) ἄλλ. ἅρματος πολεμιστηρίου.
(†††) γρ. καταβάτας τ' ἐς μικρασπίδα.

ſunt dictu, quippe opus manu factum praeter ceteras ſtructuras et moſimina tantum exſtitiſſe; dicendum tamen quod audivimus; iugerum enim altà effoſſa erat, ſtadium in univerſum lata, circa totum vero campum quum duceretur, factum eſt ut decem millia ſtadiorum longa evaderet. montibus autem defluentia recipiens flumina et circa campum in orbem deducta, hinc illincque ad urbem accedens, hac parte * * * *) canales directi plus quam centum pedes lati per campum ducti rurſus in foſſam ad mare verſus porrigebantur, alter vero ab altero ſtadia centum aberat; per quos e montibus lignum deducebant in urbem et reliqua ſuo quaeque tempore matureſcentia navigiis deportabant, quum traiectus e canalibus obliquos et inter ſe et urbem verſus feciſſent. et his quidem terrae fruges colligebant, hieme aqua caeleſti utentes, et aeſtate ea quam terra profert, rivos e canalibus inducentes. Multitudo autem virorum qui in campo habitabant ad bellum utiles, ita ordinata erat, ut quaeque portio praeberet ducem, portionis vero magnitudo circiter decies decem ſtadiorum, et univerſarum portionum ſexaginta millia erant; montis vero reliquaeque regionis incolarum infinitus dicebatur numerus, et ſecundum locos vicosque in has portiones pro ducibus cuncti distributi erant. ſtatutum autem erat ut dux ad bellum praeſtaret ſextam curruum bellicorum partem, circiter decem millia curruum, equos duo et equites, praeterea bigas praeter ſedem bellatorem habentes deſcendentem parvo clypeo armatum et cum propugnatore amborum equorum rectorem, gravis armaturae milites duos et ſagittarios funditoresque itidem duos, levisque armaturae milites lapides iacientes et iaculatores tres utrosque, et nautas quattuor ad ducentas mille naves complendas. ac res qui-

*) *Ficin.* hac tandem erumpebat in mare. deſuper autem ab ipſa cet.

οὖν πολεμιστήρια οὕτω διετέτακτο τῆς βασιλικῆς πόλεως,
τῶν δὲ ἐννέα ἄλλα ἄλλως, ἃ μακρὸς ἂν χρόνος εἴη λέγειν.
* Τὰ δὲ τῶν ἀρχῶν καὶ τιμῶν *) ὧδ' εἶχεν ἐξ ἀρχῆς δια- C
κοσμηθέντα. τῶν δέκα βασιλέων εἷς ἕκαστος ἐν μὲν τῷ καθ'
αὑτὸν μέρει κατὰ τὴν αὑτοῦ πόλιν τῶν ἀνδρῶν καὶ τῶν
πλείστων νόμων ἦρχε, κολάζων καὶ ἀποκτιννὺς ὅντιν' ἐθε-
λήσειεν· ἡ δὲ ἐν ἀλλήλοις ἀρχὴ καὶ κοινωνία κατὰ ἐπιστολὰς
ἦν τὰς τοῦ Ποσειδῶνος, ὡς ὁ νόμος αὐτοῖς παρέδωκε, καὶ
γράμματα ὑπὸ τῶν πρώτων ἐν στήλῃ γεγραμμένα ὀρειχαλκί-
νῃ, ἣ κατὰ μέσην τὴν νῆσον ἔκειτο ἐν ἱερῷ * Ποσειδῶνος, D
οἳ δὴ **) δι' ἐνιαυτοῦ πέμπτου, τοτὲ δὲ ***) ἐναλλὰξ ἕκ-
του, ξυνελέγοντο, τῷ τε ἀρτίῳ καὶ τῷ περιττῷ μέρος ἴσον
ἀπονέμοντες, ξυλλεγόμενοι δὲ περί τε τῶν κοινῶν ἐβουλεύοντο
καὶ ἐξήταζον εἴ τίς τι παραβαίνοι καὶ ἐδίκαζον. ὅτε δὲ δι-
κάζειν μέλλοιεν, πίστεις ἀλλήλοις τοιάσδε ἐδίδοσαν πρότερον.
ἀφέτων ὄντων ταύρων ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ μόνοι
γιγνόμενοι δέκα ὄντες, ἐπευξάμενοι τῷ θεῷ τὸ κεχαρισμένον
αὐτῷ θῦμα ἑλεῖν, * ἄνευ σιδήρου ξύλοις καὶ βρόχοις ἐθή- E
ρευον, ὃν δὲ ἕλοιεν τῶν ταύρων, πρὸς τὴν στήλην προσα-
γαγόντες κατὰ κορυφὴν αὐτῆς ἔσφαττον κατὰ τῶν γραμμά-
των. ἐν δὲ τῇ στήλῃ πρὸς τοῖς νόμοις ὅρκος ἦν μεγάλας
ἀρὰς ἐπευχόμενος τοῖς ἀπειθοῦσιν. ὅτ' οὖν κατὰ τοὺς αὑ-
τῶν νόμους θύσαντες καθαγίζοιεν πάντα τοῦ * ταύρου τὰ 120
μέλη, κρατῆρα κεράσαντες ὑπὲρ ἑκάστου θρόμβον ἐνέβαλλον
αἵματος, τὰ δ' ἄλλ' εἰς τὸ πῦρ ἔφερον, περικαθήραντες τὴν
στήλην· μετὰ δὲ τοῦτο χρυσαῖς φιάλαις ἐκ τοῦ κρατῆρος ἀρυ-
τόμενοι, κατὰ τοῦ πυρὸς σπένδοντες ἐπώμνυσαν δικάσειν τε
κατὰ τοὺς ἐν τῇ στήλῃ νόμους καὶ κολάσειν εἴ τίς τι πρό-
τερον παραβεβηκὼς εἴη, τό τε αὖ μετὰ τοῦτο μηδὲν τῶν
γραμμάτων ἑκόντες παραβήσεσθαι, μηδὲ ἄρξειν μηδὲ ἄρχοντι
πείσεσθαι * πλὴν κατὰ τοὺς τοῦ πατρὸς ἐπιτάττοντι νόμους. B
ταῦτα ἐπευξάμενος ἕκαστος αὐτῶν αὑτῷ καὶ τῷ ἀφ' αὑτοῦ
γένει, πιὼν καὶ ἀναθεὶς τὴν φιάλην εἰς τὸ ἱερὸν τοῦ θεοῦ,

---

*) γρ. ἀρχῶν τιμῶν.
**) γρ. οἱ δέ.
***) γρ. τὸ δέ.

dem bellica regiae civitatis ita erat constituta, novem vero reliquarum alia aliter, de qua longum est dicere. Magistratus autem et honores sic erant ab initio constituti. decem regum unusquisque pro virili parte in civitate sua viris plurimisque legibus moderabatur, castigans et interficiens quem vellet; mutuum vero inter ipsos imperium et communitas secundum Neptuni mandata erant constituta, quae lex eis et litterae tradebant a primis columnae exstructae ex aurichalco insculptae, quae media in insula posita erat in Neptuni templo, quo quidem alternis modo quinto modo sexto anno conveniebant, pari et impari numero idem tribuentes, et convenientes de rebus communibus consultabant, inquirebant si quis quid migraverat et iudicabant. iudicium autem exercituri fidem inter se hanc prius dabant. liberi quum pascerentur tauri in Neptuni templo, decem illi soli hic versantes vovebant deo gratam victimam se capturos esse, et sine ferro lignis et laqueis venabantur, taurum vero quem ceperant ad columnam trahebant et in eius vertice mactabant in litteris ibi incisis. in columna praeter leges iusiurandum erat dira exsecrans in eos qui non parituri essent. quum secundum leges suas sacrificio facto consecraturi erant omnia tauri membra, cratera statuebant et pro quoque guttam iniiciebant sanguinis, reliqua in ignem inferebant, lustrantes columnam; deinde aureis poculis e cratere haurientes et in ignem libantes iurabant iudicaturos se esse secundum leges columnae incisas et castigaturos si quis quid ante migrasset, et in posterum quoque nihil scriptorum sua sponte migraturos, neque imperaturos neque imperanti parituros esse nisi secundum patris leges mandaturus esset. quae quum vovisset quisque eorum pro se suoque genere, bibebat et poculo in dei templo

περὶ τὸ δεῖπνον καὶ τἀναγκαῖα διέτριψεν. ἐπεὶ δὲ γίγνοιτο *)
σκότος καὶ τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα εἴη, πάν-
τες οὕτως ἐνδύντες ὅτι καλλίστην κυανῆν στολήν, ἐπὶ τὰ τῶν
ὁρκωμοσιῶν **) καύματα χαμαὶ καθίζοντες, νύκτωρ, πᾶν
τὸ περὶ τὸ ἱερὸν ἀποσβεννύντες πῦρ, ἐδικάζοντό * τε καὶ ἐδί- C
καζον, εἴ τίς τι παραβαίνειν αὐτῶν αἰτιῷτό τινα· δικάσαν-
τες δὲ τὰ δικασθέντα, ἐπειδὴ φῶς γένοιτο, ἐν χρυσῷ πίνακι
γράψαντες μετὰ τῶν στολῶν μνημεῖα ἀνετίθεσαν. νόμοι δὲ
πολλοὶ μὲν ἄλλοι περὶ τὰ γέρα ***) τῶν βασιλέων ἑκάστων
ἦσαν ἴδιοι, τὰ δὲ μέγιστα, μήτε ποτὲ ὅπλα ἐπ' ἀλλήλους οἴ-
σειν βοηθήσειν τε πάντας, ἄν πού τις αὐτῶν ἔν τινι πόλει
τὸ βασιλικὸν καταλύειν ἐπιχειρῇ γένος, κοινῇ δέ, καθάπερ
οἱ πρόσθεν, * βουλευόμενοι τὰ δόξαντα περὶ πολέμου καὶ D
τῶν ἄλλων πράξεων, ἡγεμονίαν ἀποδιδόντες τῷ Ἀτλαντικῷ
γένει· θανάτου δὲ τὸν βασιλέα τῶν ξυγγενῶν μηδενὸς εἶναι
κύριον, ἂν †) μὴ τῶν δέκα τοῖς ὑπὲρ ἥμισυ δοκῇ.

Ταύτην δὴ τοσαύτην καὶ τοιαύτην δύναμιν ἐν ἐκείνοις
τότε οὖσαν τοῖς τόποις ὁ θεὸς ἐπὶ τούσδε αὖ τοὺς ††) τό-
πους ξυντάξας ἐκόμισεν ἔκ τινος τοιᾶσδε, ὡς λόγος, προφά-
σεως. ἐπὶ πολλὰς μὲν γενεάς, μέχριπερ ἡ τοῦ θεοῦ φύσις
* αὐτοῖς ἐξήρκει, κατήκοοί τε ἦσαν τῶν νόμων καὶ πρὸς τὸ E
ξυγγενὲς θεῖον φιλοφρόνως εἶχον· τὰ γὰρ φρονήματα ἀλη-
θινὰ καὶ πάντῃ μεγάλα ἐκέκτηντο, πρᾳότητι μετὰ φρονή-
σεως πρός τε τὰς ἀεὶ ξυμβαινούσας τύχας καὶ πρὸς ἀλλή-
λους χρώμενοι· διὸ πλὴν ἀρετῆς πάντα ὑπερορῶντες σμι-
κρὰ ἡγοῦντο τὰ παρόντα, καὶ ῥᾳδίως ἔφερον οἷον ἄχθος
* τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον, ἀλλ' 121
οὐ μεθύοντες ὑπὸ τρυφῆς οὐδ' ὑπὸ τοῦ ἀκράτου ἀμβλυώτ-
τοντες †††) ἐσφάλλοντο, νήφοντες δὲ ὀξὺ καθεώρων ὅτι καὶ
ταῦτα πάντα ἐκ φιλίας τῆς κοινῆς μετὰ ἀρετῆς αὐξάνεται,
τῇ δὲ τούτων σπουδῇ καὶ τιμῇ φθίνει ταῦτά τε αὐτὰ κἀκεί-
νη ξυναπόλλυται τούτοις. ἐκ δὴ λογισμοῦ τε τοιούτου καὶ φύ-

---

*) γρ. ἐγίγνετο. ἄλλ. διατρίψας, ἐπειδὴ γίγνοιτο.
) ἴσ. ὁρκωμοσίων. *) γρ. ἱερά. †) ἄλλ. ὃν ἂν μή. ††) γρ. αὐτούς. †††) ἄλλ. ὑπὸ τρυφῆς διὰ πλοῦτον ἀκράτορες αὑτῶν ὄντες.

ſacrato epulis rebusque neceſſariis vacabat. tenebris vero obortis igneque victimarum fere exſtincto omnes ſtola quam pulcherrima caerulea induti in victimarum calore humi conſidebant noctuque, omni circa templum igne exſtincto, in iudicium vocabantur et vocabant, ſi quis quid migrantem eorum aliquem accuſaſſet. quum vero exſequuti eſſent iudicia diesque illuxiſſet, in aurea tabula inſculpentes cum ſtolis monumenta dedicarunt. ac leges quidem multae aliae de regum dignitate ſingulorum erant propriae, maximum vero hoc erat lege ſancitum, ne umquam arma inter ſe inferrent, ſed omnes auxiliarentur, ſicubi aliquis in civitate quapiam regium eorum exſtirpare aggrederetur genus, communiter vero, quemadmodum ſuperiores, quum in conſilium iviſſent, ea quae de bello aliisque rebus gerendis ipſis viſa erant exſequebantur, principatum et imperium Atlantico generi tribuentes; necis autem ut poteſtatem rexin nullum cognatorum haberet, niſi plus dimidio decem illorum videretur.

Hanc igitur tantam et talem potentiam quae illis in locis tum erat deus in hosce locos compoſitam adduxit hanc fere, ut traditur, ob cauſam. multa quidem per ſaecula, quamdiu dei natura eis ſuppetebat, legibus obtemperabant comesque erant erga divinum cognatum; animum enim habebant verum planeque magnum, clementiam quandam prudentem et in caſibus quibusque incidentibus et inter ſe exercentes; quocirca praeter virtutem omnia deſpicientes parvi faciebant ea quae poſſidebant, et facile ferebant tamquam onus auri ceterarumque facultatum molem, non ebrii propter luxuriam nec mero hebetati labebantur, ſed ſobrii acute perſpiciebant haec omnia amicitia communi et virtute augeſcere, illorum vero ſtudio et honore tum haec ipſa perire tum illas cum his exſtingui. ex hac igitur reputatione et natura divina permanente omnia ip-

σεως θείας παραμενούσης, πάντ' αὐτοῖς ηὐξήθη ἃ πρὶν διήλθομεν. ἐπεὶ δ' ἡ τοῦ θεοῦ μὲν μοῖρα ἐξίτηλος ἐγίγνετο ἐν αὐτοῖς πολλῷ τῷ θνητῷ καὶ πολλάκις ἀνακεραννυμένη, τὸ δὲ ἀνθρώπινον ἦθος ἐπεκράτει, * τότε ἤδη τὰ παρόντα φέ- B ρειν ἀδυνατοῦντες *) ἠσχημόνουν, καὶ τῷ δυναμένῳ μὲν ὁρᾷν αἰσχροὶ κατεφαίνοντο, τὰ κάλλιστα ἀπὸ τῶν τιμιωτάτων ἀπολλύντες, τοῖς δὲ ἀδυνατοῦσιν ἀληθινὸν πρὸς εὐδαιμονίαν βίον ὁρᾷν τότε δὴ μάλιστα πάγκαλοι μακάριοί τε ἐδοξάζοντο εἶναι, πλεονεξίας ἀδίκου καὶ δυνάμεως ἐμπιπλάμενοι. θεὸς δὲ ὁ θεῶν Ζεὺς ἐν νόμοις βασιλεύων, ἅτε δυνάμενος καθορᾷν τὰ τοιαῦτα, ἐννοήσας γένος ἐπιεικὲς ἀθλίως διατιθέμενον, δίκην αὐτοῖς ἐπιθεῖναι βουληθείς, ἵνα γένοιντο ἐμμελέστεροι σωφρονισθέντες, * ξυνήγειρε θεοὺς πάντας C εἰς τὴν τιμιωτάτην αὐτῶν οἴκησιν, ἣ δὴ κατὰ μέσον παντὸς τοῦ κόσμου βεβηκυῖα καθορᾷ πάντα ὅσα γενέσεως μετείληφε, καὶ ξυναγείρας εἶπεν * * * * *

*) γρ. ἀδυναμοῦντες.

ſis incrementa ceperunt quae enumeravimus. quum vero dei ſors in iis evanuiſſet cum multo mortali multisque modis commixta, humana autem indoles ſuperaſſet, tum demum bona quae habebant ferre non potuerunt pravosque ſe praebuerunt, et ei qui videre poterat turpes videbantur, pulcherrima e pretioſiſſimis perdentes, ab iis vero qui veram ad felicitatem vitam videre non poterant, tum ſcilicet oppido pulchri et beati exiſtimabantur, aviditate iniuſta et potentia impleti. deus vero deorum Iuppiter iuſte imperans, quippe ad haec cernenda valens, quum intellexiſſet genus probum miſere affectum eſſe, poena eos afficere cogitans, ut modeſtiores evaderent caſtigati, convocavit deos omnes in auguſtiſſimam eorum ſedem, quae quidem locum medium univerſi mundi obtinet omniaque conſpicit quae orta ſunt, et apud convocatos verba fecit * * * * *

LIPSIAE
IMPRESSIT BENEDICT. GOTTHILF TEUBNER.








WIDENER LIBRARY
HX JFCB L



PLATONIS
QUAE EXSTANT
OPERA.

ACCEDUNT
PLATONIS QUAE FERUNTUR
SCRIPTA.

AD
OPTIMORUM LIBRORUM FIDEM
RECENSUIT
IN LINGUAM LATINAM CONVERTIT
ANNOTATIONIBUS EXPLANAVIT INDICESQUE
RERUM AC VERBORUM ACCURATISSIMOS
ADIECIT

FRIDERICUS ASTIUS.

TOMUS SEXTUS

LEGUM LIB. I—VI. CONTINENS

LIPSIAE MDCCCXXIII.
IN LIBRARIA WEIDMANNIA
G. REIMER.

N O M O I.

L E G E S.

ΑΘΗΝΑΙΟΣ ΞΕΝΟΣ, ΚΛΕΙΝΙΑΣ ΚΡΗΣ,
ΜΕΓΙΛΛΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΣ.

ATHENIENSIS HOSPES, CLINIAS CRETENSIS,
MEGILLUS LACEDAEMONIUS.

LIBER PRIMUS.

Atheniensis hospes, Clinias Cretensis et Megillus Lacedaemonius ad Iovis antrum et templum in Creta insula, antiquissimo illo legum domicilio, proficiscentes, ut itineris molestiam sermone levent, de civitate legibusque disserere statuunt. Clinias interrogatur, quis sit conviviorum, gymnasiorum armorumque tractationis finis; qui quum dixerit, naturâ esse aeternum omnium adversus omnes bellum, eamque ob causam recte Creticarum legum auctorem ad bellum omnia retulisse, Atheniensis contra monet, bello vincere et omnino superare et in civitatibus et in singulis hominibus soli virtuti convenire; nam quod optimum sit, id praestantius quoque atque superius esse oportere. Civitatis igitur praestantiam non in bello partiumve conflictione, sed in virtute civiumque concordia niti: ut pacis finis non bellum sit, sed bellum pacis causa geratur; itaque perspici, non bellum esse summum civitatis finem, sed virtutem et concordiam, eamque legis latori prae reliquis omnibus esse respiciendam (657). — Iam Tyrtaeum poëtam Theognidis versibus refellit, in quibus iustitia, ut perfecta virtus soli fortitudini anteponitur, itidemque Minoem et Lycurgum contendit in legibus ferendis non ad singularem aliquam virtutis speciem, sed ad universam virtutem spectasse. Virtus enim, cuius species quattuor sunt: sapientia, temperantia, iustitia et fortitudo, quemadmodum summum et divinum bonum est, ex quo reliqua omnia (bona humana) suspensa sunt, ita etiam legis latori summum esse debet, quod in omnibus vitae rationibus (ut in matrimoniis contrahendis, in liberorum educatione, in commercio, aliis) maxime respiciat, ut, quid honestum et iustum sit, inde definiat honoresque ac poenas statuat. Legibus vero constitutis custodes oportet praefici, qui, unam solam temperantiam et iustitiam

ſequentes, virtute et ſapientia omnia quaſi vinciant. Etſi igitur negari nequit, plura eſſe Cretibus et Lacedaemoniis inſtituta ad fortitudinem ſpectantia, ut convivia, ut gymnaſia, ut venationem, alia, tamen inde colligi non debet, divinos illos legum auctores mancam quandam ſtatuiſſe fortitudinem (perfecta enim fortitudo non ſolum in timore doloreque expugnandis, verum etiam in cupiditate voluptateque moderandis conſiſtit); quamquam hoc, quod nullam fere fortitudinis illius perfectae rationem habuerint, vitio ipſis verti poſſit; hac vero de re, quum iuvenes Cretici et Lacedaemonii de legum ſuarum bonitate quaerere vetentur, exteris tantum licet disputare. Quibus Athenienſis viam ſibi munit ad iudicium ſuum de legibus Creticis et Spartanis interponendum (636). Ac primum quidem hoc notat, quod educatio ad doloris tantum ac timoris, non ſimul ad cupiditatis voluptatisque moderationem ſpectet; has enim coërcere quum pueri non adſueſcant, ſi quando eas guſtaverint, quomodo reſiſtant? Iam ſi temperantiam ſpectas, tantum abeſt ut leges ad eam adiuvandam accommodatae in civitatibus iſtis reperiantur, ut praecipua illa inſtituta, quibus propoſita fortitudo eſt, convivia et gymnaſia, et ſeditionis periculum iniiciant et amorem a natura averſum excitent (638). — Tum Megillus, Lycurgi ſui patrocinium ſuscipiens, poſtquam legum Spartanarum ſeveritatem laudibus extulit, Athenienſis ita ad hoc disputat, ut nimium rigorem probet non minus reprehendendum eſſe quam nimiam licentiam, et amorem, vinum aliasque voluptates, ſi moderate eas percipiamus ſine cauſa reiici; in univerſum veram de legibus inſtitutisque iudicandi rationem eſſe hanc, quae rem per ſe ſpectet, non ex vulgari eoque pravo uſu aeſtimet; quod quidem compotationis exemplo illuſtrat (641). Iam Clinia quaeſtionem interponente, quid utilitatis compotatio afferat, Athenienſis eam docet ad inſtitutionem, quae res ſit maximi momenti, pertinere, et ſine

recta musicae ratione non magis posse constitui, quam musicam sine universa educatione; Megillo deinde Cliniaque adhortantibus de institutione exponere incipit. Primaria eius pars est recta educatio, quae puerum iis assuefacit eorumque amore incendit, quibus aliquando excellat. Institutio vero propria et liberalis, cui virtus proposita est, a vulgari illa quae ad opes aliasque res a sapientia alienas spectat, discernatur necesse est (644). In quod ut accuratius inquirat, hominis naturam variasque eius partes perscrutatur. Duo sunt in homine inter se contraria, voluptas et dolor, duo, quae ad futura spectant, timor et confidentia; unum denique, quod haec omnia regit, ratio, quae, si commune civitatis decretum est, lex vocatur. Homo igitur miraculo s. imagini comparari potest quod diversis nervis trahitur; quodsi rationis tractum sectatur, virtuti studet, sin a cupiditate se rapi patitur, pravitati se dedit. In hoc autem recta et legum et institutionis et universae vitae ratio nititur (647). Iam vero duo timoris genera sunt, quorum alterum est hoc, quo mala, velut dolores reformidamus, alterum hoc, quo inhonesti quid facere veremur; ille est metus, hic pudor. Pudor vero sic tantummodo et excitari et comparari potest, ut cupiditates et quicquid honestati repugnat vincere assuescamus; in hoc igitur exerceamur oportet. Praeterea, quemadmodum confidentiam nisi in rebus formidolosis experiri non possumus, sic etiam pudor ille, qui inhonesti quid vel facere vel dicere reformidat, nisi iis, quae confidentes nos et amentes quodammodo efficiunt, non potest explorari; in iis vero, quae audaciae et dementiae cuiusdam animum implent, nihil reperitur, quod propter facilem innocentemque usum huic rei accommodatius sit quam vinum. Quocirca compotatio rite instituta merito ac iure optimum habetur ad turpitudinis verecundiam et excitandam et tentandam remedium.

Α.

Θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, εἴληφε τὴν αἰτίαν 624
τῆς τῶν νόμων διαθέσεως;

ΚΛ. Θεός, ὦ ξένε, θεός, ὥς γε τὸ δικαιότατον εἰπεῖν· παρὰ μὲν ἡμῖν Ζεύς, παρὰ δὲ Λακεδαιμονίοις, ὅθεν ὅδ' ἐστίν, οἶμαι φάναι τούτους Ἀπόλλωνα· ἦ γάρ;

ΜΕ. Ναί.

ΑΘ. Μῶν οὖν καθ' Ὅμηρον λέγεις, ὡς τοῦ Μίνω
φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε * ξυνουσίαν δι' B
ἐνάτου ἔτους καὶ κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλε-
σιν ὑμῖν θέντος τοὺς νόμους;

ΚΛ. Λέγεται γὰρ οὕτω παρ' ἡμῖν· καὶ δὴ καὶ τὸν
ἀδελφόν γε αὐτοῦ Ῥαδάμανθυν (ἀκούετε γὰρ τὸ ὄνομα) δι-
καιότατον γεγονέναι. τοῦτον * οὖν φαῖμεν ἂν ἡμεῖς γε οἱ 625
Κρῆτες ἐκ τοῦ τότε διανέμειν τὰ περὶ τὰς δίκας ὀρθῶς
τοῦτον τὸν ἔπαινον αὐτὸν εἰληφέναι.

ΑΘ. Καὶ καλόν γε τὸ κλέος υἱεῖ τε Διὸς μάλα πρέπον.
ἐπειδὴ δὲ ἐν τοιούτοις ἤθεσι τέθραφθε νομικοῖς σύ τε καὶ
ὅδε, προσδοκῶ οὐκ ἂν ἀηδῶς ἡμᾶς περί τε πολιτείας τὰ
νῦν καὶ νόμων τὴν διατριβὴν λέγοντάς τε καὶ ἀκούοντας
ἅμα κατὰ τὴν πορείαν ποιήσεσθαι. πάντως δ' ἥ γε ἐκ Κνω-
σοῦ * ὁδὸς εἰς τὸ τοῦ Διὸς ἄντρον καὶ ἱερόν, ὡς ἀκούο- B
μεν, ἱκανή, καὶ ἀνάπαυλαι κατὰ τὴν ὁδόν, ὡς εἰκός, πνί-
γους ὄντος τὰ νῦν, ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραί,
καὶ ταῖς ἡλικίαις πρέπον ἂν ἡμῶν εἴη τὸ διαναπαύεσθαι

I.

Deusne an hominum aliquis vobis, o hoſpites, legum auctor perhibetur?

Cl. Deus, o hoſpes, deus, ut dicere iuſtiſſimum eſt; apud nos quidem Iuppiter, apud Lacedaemonios vero, unde hic eſt, puto hos dicere Apollinem; nonne?

Me. Etiam.

Ath. Num igitur cum Homero dicis, Minoëm ventitaſſe ad patris congreſſum nono quoque anno et ſecundum reſponſa ab ipſo lata civitatibus veſtris conſtituiſſe leges?

Cl. Dicitur quidem ita apud nos; et ſane etiam frater eius Rhadamanthus (notum enim habetis nomen) iuſtiſſimus fuiſſe. hunc igitur dixerimus nos Cretes eo quod ex illo tempore quae ad iuſtitiam pertinent recte diſtribuerit hanc conſequutum eſſe laudem.

Ath. Et pulchra ſane gloria haec eſt Iovisque filio admodum decora. quoniam vero in huiusmodi moribus educati estis lege ſancitis tu et hic, arbitror haud iniucundos nos de civitate nunc et legibus ſermones inter viam collaturos eſſe ſimul dicentes et audientes. accedit quod profectio a Cnoſo ad Iovis antrum et templum, ut ſcimus, ſatis longa eſt, et loci ſunt in via ad quietem capiendam idonei, ut convenit nunc in aeſtu, iique ad altas arbores umbroſi, et aetatem noſtram de-

πυκνὰ ἐν αὐταῖς λόγοις τε ἀλλήλους παραμυθουμένους τὴν
ὁδὸν ἅπασαν οὕτω μετὰ ῥαστώνης διαπερᾶναι.

ΚΛ. Καὶ μὴν ἔστι γε, ὦ ξένε, προϊόντι κυπαρίττων
τε ἐν τοῖς ἄλσεσιν ὕψη καὶ κάλλη θαυμάσια, * καὶ λειμῶ- C
νες ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν.

ΑΘ. Ὀρθῶς λέγεις, πάνυ μὲν οὖν· ἰδόντες δὲ μᾶλλον
φήσομεν. ἀλλ' ἴωμεν ἀγαθῇ τύχῃ.

ΚΛ. Ταῦτ' εἴη. *)

ΑΘ. Καί μοι λέγε, κατὰ τί τὰ ξυσσίτιά τε ὑμῖν ξυν-
τέταχεν ὁ νόμος καὶ τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων ἕξιν;

ΚΛ. Οἶμαι μέν, ὦ ξένε, καὶ παντὶ ῥάδιον ὑπολαβεῖν
εἶναι τά γε ἡμέτερα. τὴν γὰρ τῆς χώρας πάσης Κρήτης φύ-
σιν * ὁρᾶτε, ὡς οὐκ ἔστι, καθάπερ ἡ τῶν Θετταλῶν, πε- D
διάς· διὸ δὴ καὶ τοῖς μὲν ἵπποις ἐκεῖνοι χρῶνται μᾶλλον,
δρόμοισι δὲ ἡμεῖς· ἥδε γὰρ ἀνώμαλος αὖ καὶ πρὸς τὴν τῶν
πεζῇ δρόμων ἄσκησιν μᾶλλον ξύμμετρος· ἐλαφρὰ δὴ τὰ
ὅπλα ἀναγκαῖον ἐν τῷ τοιούτῳ κεκτῆσθαι καὶ μὴ βάρος
ἔχοντα θεῖν· τῶν δὴ τόξων καὶ τοξευμάτων ἡ κουφότης ἁρ-
μόττειν δοκεῖ. ταῦτ' οὖν πρὸς τὸν πόλεμον ἡμῖν ἅπαντα
ἐξήρτυται, καὶ πάνθ' ὁ νομοθέτης, * ὥς γ' ἐμοὶ φαίνεται, E
πρὸς τοῦτο βλέπων ξυνετάττετο· ἐπεὶ καὶ τὰ ξυσσίτια κιν-
δυνεύει ξυναγαγεῖν ὁρῶν ὡς πάντες, ὁπόταν στρατεύωνται,
τόθ' ὑπ' αὐτοῦ τοῦ πράγματος ἀναγκάζονται φυλακῆς αὑ-
τῶν ἕνεκα ξυσσιτεῖν τοῦτον τὸν χρόνον. ἄνοιαν **) δή μοι
δοκεῖ καταγνῶναι τῶν πολλῶν ὡς οὐ μανθανόντων ὅτι πό-
λεμος ἀεὶ πᾶσι διὰ βίου ξυνεχής ἐστι πρὸς ἁπάσας τὰς πό-
λεις· εἰ δὲ ***) πολέμου γε ὄντος φυλακῆς ἕνεκα δεῖ ξυσσι-
τεῖν καί τινας ἄρχοντας καὶ ἀρχομένους διακεκοσμημένους
* εἶναι φύλακας αὐτῶν, τοῦτο καὶ ἐν εἰρήνῃ δραστέον· ἣν 626
γὰρ καλοῦσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰρήνην, τοῦτ' εἶ-
ναι μόνον ὄνομα, τῷ δ' ἔργῳ πάσαις πρὸς πάσας τὰς πό-
λεις ἀεὶ πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν
ἀνευρήσεις οὕτω σκοπῶν τὸν Κρητῶν νομοθέτην, ὡς εἰς

---

*) γρ. ΚΛ. Πάνυ μὲν οὖν — τύχῃ. ΑΘ. Ταῦτ' εἴη. καί μοι. κτλ. **) ἴσ. ἄγνοιαν. ***) γρ. δή.

cebit crebro in illis requiefcere et fermonibus nos oblectantes iter totum fic commode conficere.

Cl. Ac fane quidem, o hofpes, progredientem excipiunt cupreflorum in nemoribus proceritates et pulchritudines admirabiles, et prata in quibus requiefcere et commorari poterimus.

Ath. Vera dicis profecto; et confpicati magis id dicemus. itaque, quod bonum fauftumque fit, progrediamur.

Cl. Hoc fiat.

Ath. Iam mihi dic; cur convivia publica vobis conftituit lex exercitationes et armorum tractationem?

Cl. Arbitror equidem, o hofpes, cuilibet faciles effe intellectu res noftras. universae enim regionis Cretae naturam videtis non effe campeftrem, ficut Theffalorum terram; quocirca equis hi magis utuntur, nos autem curfibus; haec enim contra inaequalis et ad curfus pedeftris exercitationem magis apta; levia igitur arma neceffe tum poffidere nec pondus habentia ad currendum; quare arcuum et fagittarum levitas videtur convenire. haec igitur ad bellum nobis omnia apparata funt, omniaque legis lator, ut mihi quidem videtur, hoc fpectans inftituit; nam convivia quoque publica videtur commififfe intelligens omnes quum militarent tum re ipfa cogi cuftodiae fuae caufa una coenare hoc tempore. ignorantiam igitur mihi videtur accufaffe multitudinis quippe non intelligentis bellum effe omnibus per totam vitam continuum cum omnibus civitatibus; iam fi in bello cuftodiae caufa oporteret communiter coenare milites, et quosdam praefectos fubditosque difpofitos illorum cuftodes effe, hoc etiam in pace faciendum effe; etenim quam plerique homines pacem vocarent, hoc effe tantummodo nomen, re ipfa vero omnibus adverfus omnes civitates femper bellum effe natura implacabile. quod fi ita confideraveris, Cretum legis latorem

τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῖν ἀποβλέπων ξυνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς * τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος B ὄν, οὔτε κτημάτων οὔτ' ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις· πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων γίγνεσθαι.

ΑΘ. Καλῶς γε, ὦ ξένε, φαίνει μοι γεγυμνάσθαι πρὸς τὸ διειδέναι τὰ Κρητῶν νόμιμα· τόδε δέ μοι φράζε ἔτι σαφέστερον· ὃν γὰρ ὅρον ἔθου τῆς εὖ πολιτευομένης πόλεως, δοκεῖς μοι λέγειν οὕτω κεκοσμημένην οἰκεῖν * δεῖν ὥςτε πο- C λέμῳ νικᾶν τὰς ἄλλας πόλεις· ἦ γάρ;

ΚΛ. Πάνυ μὲν οὖν· οἶμαι δὲ καὶ τῷδε οὕτω ξυνδοκεῖν.

ΜΕ. Πῶς γὰρ ἂν ἄλλως ἀποκρίναιτο, ὦ θεῖε, Λακεδαιμονίων γε ὁςτισοῦν;

ΑΘ. Πότερ' οὖν δὴ πόλεσι μὲν πρὸς πόλεις ὀρθὸν τοῦτ' ἐστί, κώμῃ δὲ πρὸς κώμην ἕτερον;

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Ἀλλὰ ταὐτόν;

ΚΛ. Ναί.

ΑΘ. Τί δέ; πρὸς οἰκίαν οἰκίᾳ τῶν ἐν τῇ κώμῃ καὶ πρὸς ἄνδρα ἀνδρὶ ἑνὶ πρὸς ἕνα ταὐτόν ἐστι *);

ΚΛ. Ταὐτόν.

* ΑΘ. Αὐτῷ δὲ πρὸς αὐτόν, πότερον ὡς πολεμίῳ D πρὸς πολέμιον διανοητέον; ἢ πῶς ἔτι λέγομεν;

ΚΛ. Ὦ ξένε Ἀθηναῖε· οὐ γάρ σε Ἀττικὸν ἐθέλοιμ' ἂν προςαγορεύειν· δοκεῖς γάρ μοι τῆς θεοῦ ἐπωνυμίας ἄξιος εἶναι μᾶλλον ἐπονομάζεσθαι· τὸν γὰρ λόγον ἐπ' ἀρχὴν ὀρθῶς ἀναγαγὼν σαφέστερον ἐποίησας, ὥςτε ῥᾷον ἀνευρήσεις ὅτι νῦν δὴ ὑφ' ἡμῶν ὀρθῶς ἐῤῥήθη τὸ πολεμίους εἶναι πάντας πᾶσι δημοσίᾳ τε καὶ ἰδίᾳ καὶ **) ἑκάστους αὐτοὺς σφίσιν αὐτοῖς.

* ΑΘ. Πῶς εἴρηκας, ὦ θαυμάσιε; E

ΚΛ. Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν αὐτὸν πα-

---

*) γρ. ταὐτὸν ἔτι. **) γρ. ἰδίᾳ ἑκάστους.

fere inveneris ad bellum omnes et publicas et privatas leges retulisse et hanc ob causam servandas leges tradidisse, quia aliarum rerum nullius ulla utilitas esset, neque opum neque studiorum, nisi quis bello esset superior; omnia enim devictorum bona in vincentium potestatem cedere.

Ath. Praeclare quidem, hospes, videris mihi exercitatus esse ad perspiciendas Cretum leges; hoc vero mihi dic etiam clarius; ex eo enim quem proposuisti civitatis bene constitutae fine videris mihi dicere ita eam debere instructam esse ut bello vincat reliquas civitates; nonne?

Cl. Sane quidem; arbitror etiam huic ita videri.

Me. Quomodo enim aliter responderit, o divine, quivis unus e Lacedaemoniis?

Ath. Utrum igitur civitatibus quidem adversus civitates rectum hoc est, vico autem adversus vicum non item?

Cl. Nequaquam.

Ath. Sed idem?

Cl. Etiam.

Ath. Quid vero? domo adversus domum ex eis quae in vico sunt, et viro adversus virum uni adversus unum idemne est?

Cl. Idem vero.

Ath. Quisque autem adversus se ipsum utrum ut hostis adversus hostem affectus esse cogitandus, an quomodo iam dicemus?

Cl. O hospes Atheniensis; neque enim te Atticum velim appellare: nam videris mihi deae cognomine, quam Athenam vocatis, magis dignus esse; sermonem enim ad principium recte reducendo clariorem effecisti; quare facilius comperies modo a nobis recte dictum esse omnes omnibus esse hostes tam publice quam privatim et quosque sibimet ipsis.

Ath. Quomodo dixisti, o bone?

Cl. Etiam hic, hospes, vincere semet ipsum om-

σῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον· ταῦτα γὰρ ὡς πολέμου ἐν ἑκάστοις ἡμῶν ὄντος πρὸς ἡμᾶς αὐτοὺς σημαίνει.

ΑΘ. Πάλιν τοίνυν τὸν λόγον ἀναστρέψωμεν. ἐπειδὴ γὰρ εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ, ὁ δὲ ἥττων ἐστί, * πότερα φῶμεν οἰκίαν τε καὶ κώμην καὶ πόλιν ἔχειν 627 ταὐτὸν τοῦτο ἐν αὐταῖς, ἢ μὴ φῶμεν;

ΚΛ. Τὸ κρείττω δὲ *) αὑτῆς εἶναι λέγεις τινά, τὴν δ' ἥττω;

ΑΘ. Ναί.

ΚΛ. Καὶ τοῦτο ὀρθῶς ἤρου· πάνυ γάρ ἐστι καὶ σφόδρα τὸ τοιοῦτον, οὐχ ἥκιστα, ἐν ταῖς πόλεσιν· ἐν ὁπόσαις μὲν γὰρ οἱ ἀμείνονες νικῶσι τὸ πλῆθος καὶ τοὺς χείρους, ὀρθῶς ἂν αὕτη κρείττων τε αὑτῆς λέγοιθ' ἡ πόλις ἐπαινοῖτό τε ἂν δικαιότατα τῇ τοιαύτῃ νίκῃ· τοὐναντίον δέ, ὅπου τἀναντία.

* ΑΘ. Τὸ μὲν τοίνυν, εἴ ποτ' ἔστι που τὸ χεῖρον B κρεῖττον τοῦ ἀμείνονος, ἐάσωμεν (μακροτέρου γὰρ λόγου), τὸ δὲ ὑπὸ σοῦ λεγόμενον μανθάνω νῦν, ὥς ποτε πολῖται ξυγγενεῖς καὶ τῆς αὐτῆς πόλεως γεγονότες ἄδικοι καὶ πολλοὶ ξυνελθόντες δικαίους ἐλάττους ὄντας βιάσονται δουλούμενοι, καὶ ὅταν μὲν κρατήσωσιν, ἥττων ἡ πόλις αὑτῆς ὀρθῶς αὕτη λέγοιτ' ἂν ἅμα καὶ κακή, ὅπου δ' ἂν ἡττῶνται, κρείττων τε καὶ ἀγαθή.

ΚΛ. Καὶ μάλα ἄτοπον, * ὦ ξένε, τὸ νῦν λεγόμενον· C ὅμως δ' ὁμολογεῖν οὕτως ἀναγκαιότατον.

ΑΘ. Ἔχε δή, καὶ τόδε πάλιν ἐπισκεψώμεθα· πολλοὶ ἀδελφοί που γένοιντ' ἂν ἑνός ἀνδρός τε καὶ μιᾶς υἱεῖς, καὶ δὴ καὶ θαυμαστὸν οὐδὲν τοὺς πλείους μὲν ἀδίκους αὐτῶν γίγνεσθαι, τοὺς δὲ ἐλάττους δικαίους.

ΚΛ. Οὐ γὰρ οὖν.

ΑΘ. Καὶ οὐκ ἂν εἴη γε πρέπον ἐμοί τε καὶ ὑμῖν τοῦτο θηρεύειν, ὅτι νικώντων μὲν τῶν πονηρῶν ἥ τε οἰκία καὶ

*) ἄλλ. τε.

nium victoriarum prima et optima, vinci autem a ſemet ipſo omnium turpiſſimum ſimul atque peſſimum; haec enim bellum in quoque noſtrum ineſſe adverſus ſemet ipſum ſignificant.

Ath. Rurſus igitur ſermonem convertamus: quandoquidem enim quisque noſtrum partim ſuperior ſeipſo, partim inferior, utrum dicamus domum et vicum et civitatem idem hoc in ſe habere, an non dicamus?

Cl. Semet ipſa unam eſſe dicis ſuperiorem, alteram inferiorem?

Ath. Etiam.

Cl. Hoc quoque recte rogaſti; ſane enim et quidem magno opere hoc, non minime, in civitatibus uſu venit; nam in quacumque meliores ſuperant plebem et deteriores, recte haec ſemet ipſa ſuperior dicetur civitas et laudabitur iuſtiſſime hanc ob victoriam; contra vero, ubi contra fit.

Ath. Hoc quidem, umquamne deterius fit ſuperius meliore, miſſum faciamus (longam enim id deſiderat orationem), iſtud vero quod a te dictum eſt intelligo nunc fieri poſſe quandoque ut cives cognati eiusdem civitatis iniuſti multique congreſſi iuſtis qui pauciores ſint vim afferant et ſervitute eos opprimant, et ſi ſuperiores evaſerint, inferiorem civitatem ſemet ipſa recte hanc dici ſimulque pravam, ubi vero ſuperentur, ſuperiorem et bonam.

Cl. Admodum quidem admirabile, o hoſpes, quod nunc dictum eſt; tamen id confiteri maxime neceſſarium.

Ath. Age dum, etiam hoc iterum conſideremus: multi fratres eſſe poſſunt unius viri et mulieris filii, et nihil ſane mirandum ſi plures eorum iniuſti, pauciores vero iuſti ſint.

Cl. Nihil vero.

Ath. Nec deceat me et vos hoc captare, vincentibus improbis domum et cognationem hanc totam ſemet

ἡ ξυγγένεια αὕτη πᾶσα ἥττων αὑτῆς λέγοιτ᾽ ἄν, κρείττων δὲ ἡττωμένων· * οὐ γὰρ εὐσχημοσύνης τε καὶ ἀσχημοσύνης D ῥημάτων ἕνεκα τὰ νῦν σκοπούμεθα πρὸς τὸν τῶν πολλῶν λόγον, ἀλλ᾽ ὀρθότητός τε καὶ ἁμαρτίας πέρι νόμων, ἥτις ποτ᾽ ἐστὶ φύσει.

ΚΛ. Ἀληθέστατα, ὦ ξένε, λέγεις.

ΜΕ. Καλῶς μὲν οὖν, ὥς γε *) καὶ ἐμοὶ ξυνδοκεῖν τό γε τοσοῦτον **) τὰ νῦν.

ΑΘ. Ἴδωμεν δὴ καὶ τόδε· τούτοις τοῖς ἄρτι λεγομένοις ἀδελφοῖς γένοιτ᾽ ἄν πού τις δικαστής.

ΚΛ. Πάνυ γε.

ΑΘ. Πότερος οὖν ἀμείνων; ὅςτις τοὺς μὲν ἀπολέσειεν αὐτῶν ὅσοι κακοί, * τοὺς δὲ βελτίους ἄρχειν αὐτοὺς αὑτῶν E προςτάξειεν, ἢ ὅδε, ὃς ἂν τοὺς μὲν χρηστοὺς ἄρχειν, τοὺς χείρους δ᾽ ἐάσας ζῆν ἄρχεσθαι ἑκόντας ποιήσειε; τρίτον δέ που δικαστὴν πρὸς ἀρετὴν εἴπωμεν, εἴ τις εἴη τοιοῦτος, ὅςτις παραλαβὼν ξυγγένειαν μίαν διαφερομένην μήτε **) ἀπολέσειε μηδένα, * διαλλάξας δὲ εἰς τὸν ἐπίλοιπον χρόνον νό- 628 μους αὐτοῖς θεὶς πρὸς ἀλλήλους παραφυλάττειν δύναιτο ὥςτε εἶναι φίλους.

ΚΛ. Μακρῷ ἀμείνων γίγνοιτ᾽ ἂν ὁ τοιοῦτος δικαστής τε καὶ νομοθέτης.

ΑΘ. Καὶ μὴν τοὐναντίον γε ἢ πρὸς πόλεμον ἂν βλέπων αὐτοῖς τοὺς νόμους διανομοθετοῖ.

ΚΛ. Τοῦτο μὲν ἀληθές.

ΑΘ. Τί δ᾽ ὁ τὴν πόλιν ξυναρμόττων; πρὸς πόλεμον αὐτῆς ἂν τὸν ἔξωθεν βλέπων τὸν βίον κοσμοῖ μᾶλλον, ἢ πρὸς * πόλεμον τὸν ἐν αὐτῇ γιγνόμενον ἑκάστοτε, ὃ δὴ κα- B λεῖται στάσις; ὃν μάλιστα μὲν ἅπας ἂν βούλοιτο μήτε ****) γενέσθαι ποτὲ ἐν ἑαυτοῦ πόλει, γενόμενόν τε †) ὡς τάχιστα ἀπαλλάττεσθαι.

ΚΛ. Δῆλον ὅτι πρὸς τοῦτον.

ΑΘ. Πότερα δ᾽ ἀπολομένων αὖ τῶν ἑτέρων εἰρήνην

---

*) ἴσ. ὥςτε. **) ἴσ. τό γε τοιοῦτον.
) ἴσ. μηδὲ. *) ἴσ. μηδὲ. †) ἴσ. δὲ.

ipsa inferiorem dictum iri, superiorem vero illis divictis; non enim de vocabulorum decoro et indecoro usu nunc quaerimus multitudinis sermonem respicientes, sed hoc exploramus quaenam sit legum recta et falsa ratio per se.

Cl. Verissime, o hospes, dicis.

Me. Praeclare vero, ut mihi quoque nunc ita hoc videatur.

Ath. Consideremus igitur hoc quoque: his modo dictis fratribus erit sane iudex aliquis.

Cl. Sane quidem.

Ath. Uter igitur melior? is qui improbos perdet, meliores vero sibimet ipsis imperare iubebit, an is, qui probos imperantes et deteriores vita concessa sponte obedientes efficiet? tertium vero iudicem ad virtutem proferamus, si quis fuerit eiusmodi qui cognationem unam accipiens dissidentem ne ullum quidem perdat, sed reconcilians eos in posterum tempus legibus scribendis prospicere possit, ut amici inter se sint.

Cl. Longe melior erit huiusmodi iudex et legis lator.

Ath. Contrarium autem ac bellum spectans leges eis constituet.

Cl. Hoc quidem verum.

Ath. Quid vero is qui civitatem conciliat? bellumne eius externum spectans vitam componet potius, an bellum quodque in ea exoriens, quae seditio appellatur? quod maxime quidem quilibet cupiverit omnino numquam in civitate sua exortum, sin autem exortum fuerit, quam celerrime exstinctum.

Cl. Patet eum hoc spectare.

Ath. Utrum vero una parte perdita, altera vero

τῆς στάσεως *) γενέσθαι, νικησάντων δὲ τῶν ἑτέρων **), δέξαιτ' ἄν τις μᾶλλον, ἢ φιλίας τε καὶ εἰρήνης ὑπὸ διαλλαγῶν γενομένης οὕτω τοῖς ἔξωθεν πολεμίοις προσέχειν ἀνάγκην εἶναι * τὸν νοῦν; C

ΚΛ. Οὕτω πᾶς ἂν ἐθέλοι πρότερον ἢ κείνως περὶ τὴν αὑτοῦ γίγνεσθαι πόλιν.

ΑΘ. Οὐκοῦν καὶ νομοθέτης ὡσαύτως;

ΚΛ. Τί μήν;

ΑΘ. Ἆρ' οὖν οὐ τοῦ ἀρίστου ἕνεκα πάντα ἂν τὰ νόμιμα τιθείη πᾶς;

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Τό γε μὴν ἄριστον οὔτε ὁ πόλεμος οὔτε ἡ στάσις, ἀπευκτὸν δὲ τὸ δεηθῆναι τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη. καὶ δὴ καὶ τὸ νικᾶν, ὡς ἔοικεν, αὐτὴν αὑτὴν πόλιν οὐκ ἦν τῶν ἀρίστων, ἀλλὰ * τῶν ἀναγκαίων· ὅμοιον ὡς εἰ κάμνον σῶμα ἰατρικῆς καθάρσεως τυχὸν ἡγοῖτό τις ἄριστα πράττειν τότε, τῷ δὲ μηδὲ τὸ παράπαν δεηθέντι σώματι μηδὲ προσέχοι τὸν νοῦν, ὡσαύτως δὲ καὶ πρὸς πόλεως εὐδαιμονίαν ἢ καὶ ἰδιώτου διανοούμενος οὕτω τις οὔτ' ἄν ποτε πολιτικὸς γένοιτο ὀρθῶς ***), πρὸς τὰ ἔξωθεν πολεμικὰ ἀποβλέπων μόνον καὶ πρῶτον, οὔτ' ἂν νομοθέτης ἀκριβής, εἰ μὴ χάριν εἰρήνης τὰ πολέμου νομοθετοῖ μᾶλλον, ἢ * τῶν πολεμικῶν ἕνεκα τὰ τῆς εἰρήνης. E

(D stands in the right margin beside the line "αὐτὴν αὑτὴν πόλιν οὐκ ἦν τῶν ἀρίστων, ἀλλὰ * τῶν ἀναγ-".)

ΚΛ. Φαίνεται μέν πως ὁ λόγος οὗτος, ὦ ξένε, ὀρθῶς εἰρῆσθαι, θαυμάζω γε μὴν εἰ τά τε παρ' ἡμῖν νόμιμα καὶ ἔτι τὰ περὶ Λακεδαίμονα μὴ πᾶσαν τὴν σπουδὴν τούτων ἕνεκα πεποίηται.

* ΑΘ. Τάχ' ἂν ἴσως· δεῖ δ' οὐδὲν σκληρῶς ἡμᾶς αὐτοὺς †) διαμάχεσθαι τὰ νῦν, ἀλλ' ἠρέμα ἀνερωτᾶν, ὡς μάλιστα περὶ ταῦτα ἡμῶν τε καὶ ἐκείνων σπουδαζόντων. καί μοι τῷ λόγῳ ξυνακολουθήσατε. προστησώμεθα γοῦν Τύρταιον, τὸ φύσει μὲν Ἀθηναῖον, τῶνδε δὲ πολίτην γενόμενον, ὃς δὴ μάλιστα ἀνθρώπων περὶ ταῦτα ἐσπούδακεν εἰπὼν ὅτι 629

*) ἴσ. ἐκ τῆς στάσεως. **) ἄλλ. δὲ ποτέρων.
***) ἴσ. ὀρθός. †) ἄλλ. αὐτοῖς.

victoriam adepta pacem e ſeditione oriri maluerit quisquam, an amicitiam et pacem reconciliatione componi, ut, quod neceſſe eſt, cives ad externos hoſtes animum intendant?

Cl. Hoc quilibet voluerit potius quam illud in civitate ſua fieri.

Ath. Nonne etiam legis lator idem?

Cl. Quidni?

Ath. Iam vero nonne optimi cauſa omnes quis conſtituet leges?

Cl. Cur non conſtituet?

Ath. At optimum neque bellum eſt neque ſeditio (abominandum enim iis indigere), ſed pax mutua ſimulque benivolentia. atque etiam, ſi civitas ſe ipſa vincit, id, ut liquet, non optimorum eſt, ſed neceſſariorum; ſimiliter enim ſi quis corpus aegrotans et medicam purgationem nactum exiſtimet optime tum ſe habere, ad corpus contra ea ne indigens quidem omnino animum non attendat, ita etiam ſi quis de urbis vel privati felicitate ſentiat numquam vere civilis exſiſtat, ad externas res militares tantum et primum ſpectans, neque legis lator exactus, niſi pacis cauſa res militares legibus conſtituat potius, quam rerum militarium cauſa res ad pacem pertinentes.

Cl. Videtur quidem hoc, o hoſpes, recte dictum eſſe, mirum tamen ni leges noſtrae et praeterea Spartanae omne ſtudium ad illud contulerunt.

Ath. Fortaſſe vero; debemus autem nunc non acerbe illos oppugnare, ſed leniter interrogare, quum maxime his rebus et nos et illi ſtudeamus. itaque ſermonem meum ſequimini. proponamus enim Tyrtaeum, oriundum ab Athenis, horum autem civem factum, qui omnium maxime his ſtuduit dicens: *neque commemo-*

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
* οὐδ' εἴ τις πλουσιώτατος ἀνθρώπων εἴη, φησίν, οὐδ' *) B
εἰ πολλὰ ἀγαθὰ κεκτημένος, εἰπὼν σχεδὸν ἅπαντα, ὃς μὴ περὶ τὸν πόλεμον ἄριστος γίγνοιτ' ἀεί. ταῦτα γὰρ ἀκήκοάς που καὶ σὺ τὰ ποιήματα· ὅδε μὲν γάρ, οἶμαι, διακορὴς αὐτῶν ἐστίν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΚΛ. Καὶ μὴν καὶ παρ' ἡμᾶς ἐλήλυθε κομισθέντα ἐκ Λακεδαίμονος.

ΑΘ. Ἴθι δὴ νῦν **) ἀνερώμεθα κοινῇ τουτονὶ τὸν ποιητὴν οὑτωσί πως, Ὦ Τύρταιε, ποιητὰ θειότατε· δοκεῖς γὰρ δὴ σοφὸς ἡμῖν * εἶναι καὶ ἀγαθός, ὅτι τοὺς μὲν ἐν τῷ C
πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας· ἤδη οὖν τυγχάνομεν ἐγώ τε καὶ ὅδε καὶ Κλεινίας ὁ Κνώσιος οὑτοσὶ ξυμφερόμενοί σοι περὶ τούτου σφόδρα, ὡς δοκοῦμεν· εἰ δὲ περὶ τῶν αὐτῶν λέγομεν ἀνδρῶν ἢ μή, βουλόμεθα σαφῶς εἰδέναι. λέγε οὖν ἡμῖν, ἆρα εἴδη δύο πολέμου, καθάπερ ἡμεῖς, ἡγεῖ καὶ σὺ σαφῶς; ἢ πῶς; Πρὸς ταῦτα, οἶμαι, κἂν πολὺ φαυλότερος εἴποι Τυρταίου τις τἀληθές, ὅτι δύο, τὸ * μὲν D
ὃ καλοῦμεν ἅπαντες στάσιν, ὃς δὴ πάντων πολέμων χαλεπώτατος, ὡς ἔφαμεν ἡμεῖς νῦν δή, τὸ δ' ἄλλο πολέμου θήσομεν, οἶμαι, γένος ἅπαντες ᾧ πρὸς τοὺς ἐκτός τε καὶ ἀλλοφύλους χρώμεθα διαφερόμενοι, πολὺ πρᾳότερον ἐκείνου.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Φέρε δή, ποτέρους καὶ πρὸς πότερον ἐπαινῶν τὸν πόλεμον οὕτως ὑπερεπῄνεσας, τοὺς δ' ἔψεξας τῶν ἀνδρῶν; ἔοικας μὲν γὰρ πρὸς τοὺς ἐκτός· ***) εἴρηκας γοῦν ὧδε ἐν τοῖς ποιήμασιν, * ὡς οὐδαμῶς τοὺς τοιούτους ἀνε- E
χόμενος, Οἳ μὴ τολμήσωσι μὲν

ὁρᾶν φόνον αἱματόεντα,
Καὶ δηΐων ὀρέγοιντ' ἐγγύθεν ἱστάμενοι.

Οὐκοῦν τὰ μετὰ ταῦτα εἴποιμεν ἂν ἡμεῖς ὅτι Σὺ μὲν ἐπαινεῖς, ὡς ἔοικας, ὦ Τύρταιε, μάλιστα τοὺς πρὸς τὸν ὀθνεῖόν

*) γρ. οὔτ' — οὔτ'. **) γρ. νῦν δή.
***) ἴσ. τοὺς πρὸς τὸν ἐκτός.

rem virum neque quicquam ei tribuam, etiam ſi ditiſſimus hominum ſit, inquit, etiam ſi multa bona poſſideat (enumerans fere omnia), niſi bello praeſtantiſſimum ſe ſemper praebeat. haec enim tu quoque ſine dubio audiviſti poëmata; nam hicce, opinor, eis ſatiatus eſt.

Me. Sane quidem.

Cl. Atque etiam ad nos pervenerunt allata Lacedaemone.

Ath. Agedum interrogemus nunc communiter huncce poëtam ſic fere: O Tyrtaee, poeta diviniſſime; videris enim ſapiens nobis eſſe atque bonus, quia viros ad bellum inſignes inſigniter celebraſti; iam ego et hic et Clinias Cnoſius admodum tibi hoc asſentimur, ut putamus; num vero de îsdem loquamur viris necne, volumus plane ſcire. dic igitur nobis: duasne belli ſpecies, quemadmodum nos, ſumis tu quoque plane? an quî? Ad haec, opinor, etiam longe vilior Tyrtaeo reſponderit id quod verum eſt, duas, et unam quidem eam quam nominamus omnes ſeditionem, quod quidem omnium bellorum graviſſimum, ut modo dicebamus, alterum vero belli ſpeciem ponemus, ut arbitror, omnes id genus quo adverſus exteros et alienos utimur disſidentes, longe illo quidem leniore iſto.

Cl. Quidni?

Ath. Age dum, utros et utrum belli genus reſpiciens tam miris laudibus ornaſti, alteros vero viros vituperaſti? videris enim laudaſſe ad externum bellum inſignes; dixiſti certe in carminibus te nullo modo tales laturum eſſe *Qui non ſuſtinerent caedem videre cruentam nec hoſtes adorirentur prope ſtantes.* Nonne deinde dicemus nos Tu quidem laudas, ut patet, Tyr-

τε καὶ ἔξωθεν πόλεμον γιγνομένους *) ἐπιφανεῖς. Φαίη ταῦτ' ἄν που καὶ ὁμολογοῖ;

ΚΛ. Τί μήν;

ΑΘ. Ἡμεῖς δέ γε ἀγαθῶν ὄντων τούτων ἔτι φαμὲν * ἀμείνους εἶναι καὶ πολὺ τοὺς ἐν τῷ μεγίστῳ πολέμῳ γι- 630
γνομένους ἀρίστους διαφανῶς. ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρα ἔχομεν, Θέογνιν, πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων, ὅς φησι

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
Ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

τοῦτον δή φαμεν ἐν πολέμῳ χαλεπωτέρῳ ἀμείνονα ἐκείνου πάμπολυ γίγνεσθαι, σχεδὸν ὅσον ἀμείνων δικαιοσύνη καὶ σωφροσύνη * καὶ φρόνησις εἰς ταὐτὸν ἐλθοῦσαι μετ' ἀν- B
δρείας **). πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς· διαβάντες δ' εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, φράζει Τυρταῖος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι, ὧν οἱ πλεῖστοι γίγνονται θρασεῖς καὶ ἄδικοι καὶ ὑβρισταὶ καὶ ἀφρονέστατοι σχεδὸν ἁπάντων, ἐκτὸς δή τινων μάλα ὀλίγων. ποῖ δὴ τε-
λευτᾷ νῦν ἡμῖν οὗτος ὁ λόγος, καὶ τί φανερόν ποτε * ποιῆ- C
σαι βουληθεὶς λέγει ταῦτα; δῆλον ὅτι τόδε, ὡς παντὸς μᾶλλον καὶ ὁ τῇδε παρὰ Διὸς νομοθέτης, πᾶς τε οὗ καὶ σμικρὸν ὄφελος, οὐκ ἄλλο ἢ πρὸς τὴν μεγίστην ἀρετὴν μάλιστα βλέπων ἀεὶ θήσει τοὺς νόμους· ἔστι δέ, ὥς φησι Θέογνις, αὕτη πιστότης ἐν τοῖς δεινοῖς, ἥν τις δικαιοσύνην ἂν τελέαν ὀνομάσειεν· ἣν δ' αὖ Τυρταῖος ἐπήνεσε μάλιστα, καλὴ μὲν καὶ κατὰ καιρὸν κεκοσμημένη τῷ ποιητῇ, τετάρτη δὲ †)
ὅμως ἀριθμῷ τε καὶ δυνάμει * τοῦ τιμία εἶναι λέγοιτ' ἂν D
ὀρθότατα.

ΚΛ. Ὦ ξένε, τὸν νομοθέτην ἡμῶν ἀποβάλλομεν εἰς τοὺς πόῤῥω νομοθέτας.

ΑΘ. Οὐχ ἡμεῖς γε, ὦ ἄριστε, ἀλλ' ἡμᾶς αὐτούς, ὅταν οἰώμεθα πάντα τά τ' ἐν Λακεδαίμονι καὶ τὰ τῇδε πρὸς τὸν

---

*) γρ. γιγνόμενον πόλεμον.
**) ἴσ. μετ' ἀνδρείας αὐτῆς μόνης τῆς ἀνδρείας.
†) ἄλλ. μέντοι.

taee, maxime eos qui in alieno et externo bello excellunt. Affirmabit fere hoc et consentiet?

Cl. Quidni?

Ath. Nos vero his qui boni sint etiam meliores dicimus esse et longe quidem eos qui maxime in bello insigniter optimi reperiantur. poëtam autem nos quoque testem habemus, Theognin, civem in Sicilia Megareum, qui dicit

Cyrne, tibi argento fuerit redimendus et auro,
Cui manet in tristi seditione fides.

hunc igitur dicimus in bello graviore longe multumque illo meliorem se praebere, fere quanto melior iustitia et temperantia et prudentia cum fortitudine coniunctae sola fortitudine. fidus enim et probus in seditionibus numquam fuerit sine universa virtute; pedibus contra divaricatis qui firme stent et pugnantes ultro mortem oppetant in bello, dicit Tyrtaeus, permulti sunt e mercenariis, quorum plurimi reperiuntur audaces et iniusti et protervi et insipientissimi fere omnium, perpaucis quibusdam exceptis. quorsum igitur spectat nunc nobis haec oratio, et quid tandem patefacere volens haec explicat? nimirum hoc, omnino tam legis latorem vestrum a Iove profectum quam quemvis alium etiam parum praestantem nihil aliud nisi virtutem summam prae ceteris spectantem semper laturum esse leges, est vero haec, ut Theognis ait, fides in casibus gravibus, quam iustitiam quispiam perfectam appellaverit; quam Tyrtaeus contra laudavit maxime, ea pulchra quidem est et opportune a poëta laudibus ornata, sed tamen quartum et numerum et honoris gradum tenere rectissime dicetur.

Cl. O hospes, legis latorem nostrum reiicimus in postremos legis latores.

Ath. Non nos quidem illos, optime, sed nos ipsos, si putamus omnes quae Lacedaemone et hic conditae

πόλεμον μάλιστα βλέποντας Λυκοῦργόν τε καὶ Μίνω τίθεσθαι τὰ νόμιμα.

ΚΛ. Τὸ δὲ πῶς χρῆν ἡμᾶς λέγειν;

ΑΘ. Ὥςπερ τό τε ἀληθές, οἶμαι, καὶ τὸ δίκαιον ὑπέρ γε θείας διαλεγομένους λέγειν, οὐχ ὡς * πρὸς ἀρετῆς τι E
μόριον, καὶ ταῦτα τὸ φαυλότατον, ἐτίθει βλέπων, ἀλλὰ πρὸς πᾶσαν ἀρετήν, καὶ κατ' εἴδη ζητεῖν αὐτῶν *) τοὺς νόμους, οὐδ' ἅπερ οἱ τῶν νῦν εἴδη προτιθέμενοι ζητοῦσιν· οὗ γὰρ ἂν ἕκαστος ἐν χρείᾳ γίγνηται, τοῦτο ζητεῖ νῦν παραθέμενος, ὁ μὲν τὰ τῶν **) κλήρων καὶ ἐπικλήρων, ὁ δὲ τῆς αἰκίας πέρι, ἄλλοι δὲ ἄλλα ἄττα μυρία τοιαῦτα. ἡμεῖς δέ φαμεν εἶναι τὸ περὶ νόμους ζήτημα * τῶν εὖ ζητούντων, ὥς- 631
περ νῦν ἡμεῖς ἠρξάμεθα. καί σου τὴν μὲν ἐπιχείρησιν τῆς ἐξηγήσεως περὶ τοὺς νόμους παντάπασιν ἄγαμαι (τὸ γὰρ ἀπ' ἀρετῆς ἄρχεσθαι, λέγοντα ὡς ἐτίθει ταύτης ἕνεκα τοὺς νόμους, ὀρθόν), ὅτι δὲ πάντα εἰς μόριον ἀρετῆς, καὶ ταῦτα τὸ σμικρότατον, ἐπαναφέροντα ἔφησθα αὐτὸν νομοθετεῖν, οὔτε ὀρθῶς ἔτι μοι κατεφάνης λέγων τόν τε ὕστερον νῦν λόγον τοῦτον πάντα εἴρηκα διὰ ταῦτα. πῇ δὴ οὖν σε ἔτ' ἂν ἐβουλόμην διελόμενον * λέγειν αὐτός τε ἀκούειν, βούλει σοι B
φράζω;

ΚΛ. Πάνυ μὲν οὖν, ὦ ξένε.

ΑΘ. Ἐχρῆν †) εἰπεῖν, οἱ Κρητῶν νόμοι οὐκ εἰσὶ μάτην διαφερόντως ἐν πᾶσιν εὐδόκιμοι τοῖς Ἕλλησιν· ἔχουσι γὰρ ὀρθῶς τοὺς αὐτοῖς χρωμένους εὐδαίμονας ἀποτελοῦντες· ἅπαντα γὰρ τὰ ἀγαθὰ πορίζουσι. διπλᾶ δὲ ἀγαθά ἐστι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα· ἤρτηταί δ' ἐκ τῶν θείων θάτερα· καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις, κτᾶται καὶ τὰ ἐλάττονα, * εἰ δὲ μή, στέρεται ἀμφοῖν. ἔστι δὲ τὰ μὲν C
ἐλάττονα ὧν ἡγεῖται μὲν ὑγίεια, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι, τέταρτον δὲ δὴ πλοῦτος, οὐ τυφλός, ἀλλ' ὀξὺ βλέπων, ἄνπερ ἅμ' ἕπηται φρονήσει· ὃ δὴ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστὶν ἀγαθῶν, ἡ φρόνησις, δεύτερον

---

*) ἴσ. αὐτόν. **) ἄλλ. περὶ τῶν.
†) γρ. οὖν. ΑΘ. Ὦ ξένε, ἐχρῆν κτλ.

ſunt leges Lycurgum et Minoem bellum maxime ſpectantes dediſſe.

Cl. At quomodo oportebat nos dicere?

Ath. Ita ut verum, arbitror, et iuſtum eſt dicere de divina civitate ſi disſeritur, non virtutis partem aliquam, eamque viliſſimam, eum ſpectantem leges dediſſe ſed univerſam virtutem, et ſecundum ſpecies excogitaſſe leges, non eas quas qui nunc ſunt legis latores proponunt et excogitant; quo enim quisque indiget, id quaerit nunc proponens, unus hereditates resque ad heredes ex aſſe ſpectantes, alter iniuriam, alii alia innumera eiusdem generis. nos autem dicimus quaeſtionem quae de legibus habeatur eſſe bene quaerentium, quemadmodum nunc nos incepimus. et tuam quidem legum explicandarum inceptionem prorſus probo (nam a virtute ordiri ita ut dicas huius cauſa eum leges dediſſe, rectum), quod vero omnia eum dixiſti ad partem virtutis eamque minimam referentem leges ſcripſiſſe hoc neque recte iam mihi viſus es ponere et poſteriorem nunc orationem hanc omnem protuli hanc ipſam ob cauſam. quomodo igitur a te porro hanc rem expoſitam velim ipſeque audire cupiam, an vis tibi dicam?

Cl. Sane quidem, o hoſpes.

Ath. Oportebat dici: Cretum leges non ſine cauſa maximam apud omnes Graecos celebritatem conſequutae ſunt; recte enim habent eos qui ipſis utuntur felices efficientes; omnia enim bona ſuppeditant. etenim duo bonorum genera ſunt, humanorum unum, alterum divinorum; pendent autem e divinis altera; et ſi quae civitas maiora accipit, poſſidet etiam minora, ſin minus, caret utrisque. ſunt autem minora ea in quibus principatum tenet ſanitas, pulchritudo ſecundum locum obtinet, tertium robur ad curſum reliquasque omnes corporis motiones obeundas, et quartum divitiae, non caecae, ſed acriter videntes, ſiquidem cum prudentia coniunctae ſunt; quae quidem in bonis divinis principa-

δὲ μετὰ νοῦν σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων μετ' ἀν-
δρείας κραθέντων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρτον δὲ
* ἀνδρεία. ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύ- D
σει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον οὕτω. μετὰ δὲ ταῦτα
τὰς ἄλλας προστάξεις τοῖς πολίταις εἰς ταῦτα βλεπούσας αὐ-
τοῖς εἶναι διακελευστέον, τούτων δὲ τὰ μὲν ἀνθρώπινα εἰς
τὰ θεῖα, τὰ δὲ θεῖα εἰς τὸν ἡγεμόνα νοῦν ξύμπαντα βλέ-
πειν. περί τε γάμους ἀλλήλοις ἐπικοινωνουμένους *), μετά
τε **)ταῦτα ἐν ταῖς τῶν παίδων γεννήσεσι καὶ τροφαῖς, ὅσοι
τε ἄῤῥενες καὶ ὅσαι θήλειαι, νέων * τε ὄντων καὶ ἐπὶ τὸ E
πρεσβύτερον ἰόντων μέχρι γήρως, τιμῶντα ὀρθῶς ἐπιμελεῖ-
σθαι δεῖ καὶ ἀτιμάζοντα· ἐν πάσαις ταῖς τούτων ὁμιλίαις
τάς τε λύπας αὐτῶν καὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας ξυμ-
πάντων τε ἐρώτων τὰς * σπουδὰς ἐπεσκεμμένον καὶ παρα- 632a
πεφυλαχότα, ψέγειν τε ὀρθῶς καὶ ἐπαινεῖν δι' αὐτῶν τῶν
νόμων· ἐν ὀργαῖς τε αὖ καὶ ἐν φόβοις, ὅσαι τε διὰ δυς-
τυχίαν ταραχαὶ ταῖς ψυχαῖς γίγνονται καὶ ὅσαι ἐν εὐτυχίαις
τῶν τοιούτων ἀποφυγαί, ὅσα τε κατὰ νόσους ἢ κατὰ πολέ-
μους ἢ πενίας ἢ τὰ τούτοις ἐναντία γιγνόμενα προςπίπτει
τοῖς ἀνθρώποις παθήματα, ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκά-
στων διαθέσεως διδακτέον καὶ ὁριστέον τό τε καλὸν καὶ μή.
* μετὰ δὲ ταῦτα ἀνάγκη τὸν νομοθέτην τὰς κτήσεις τῶν B
πολιτῶν καὶ τὰ ἀναλώματα φυλάττειν, ὅντινα ἂν γίγνηται
τρόπον, καὶ τὰς πρὸς ἀλλήλους πᾶσι ***) τούτοις κοινωνίας
καὶ διαλύσεις ἑκοῦσί τε καὶ ἄκουσι, καθ' †) ὁποῖον ἂν
ἕκαστον πράττωσι τῶν τοιούτων πρὸς ἀλλήλους, ἐπισκοπεῖν
τό τε δίκαιον καὶ μή, ἐν οἷς ἔστι τε καὶ ἐν οἷς ἐλλείπει,
καὶ τοῖς μὲν εὐπειθέσι τῶν νόμων ††) τιμὰς ἀπονέμειν,
τοῖς δὲ δυςπειθέσι δίκας τακτὰς ἐπιτιθέναι, μέχριπερ * ἂν C
πρὸς τέλος ἁπάσης πολιτείας ἐπεξελθὼν ἴδῃ τῶν τελευτη-
σάντων τίνα δεῖ τρόπον ἑκάστοις γίγνεσθαί τὰς ταφὰς καὶ
τιμὰς ἅςτινας αὐτοῖς ἀπονέμειν δεῖ. κατιδὼν δὲ ὁ θεὶς τοὺς
νόμους ἅπασι τούτοις φύλακας ἐπιστήσει, τοὺς μὲν διὰ φρο-

*) ἄλλ. ἐπικοινουμένους. **) γρ. δὲ.
***) ἴσ. ἐν πᾶσι. †) ἴσ. καὶ.
††) ἴσ. εὐπειθέσι τῷ νόμῳ. ἢ· εὐπειθέσι τιμάς. κτλ.

tum tenet, prudentia, et secundum post mentem locum temperatus animi habitus; ex his cum fortitudine coniunctis exsistit quae tertium locum obtinet iustitia et quae quartum, fortitudo. haec vero omnia illis naturâ praeposita sunt, atque etiam legis latori hic servandus est ordo. deinde monendum ei est reliqua civibus horum causa praescripta esse, et ex his humana ad divina, divina vero ad universam mentem quae principatum teneat spectare. et quod ad nuptias attinet inter se conciliatas, deinde ad liberorum procreationes et educationes, tam masculorum quam femineorum, sive iuvenes sunt sive aetate provecti usque ad senectutem, curare debet ut recte honore afficiat et ignominia; in omnibus horum communitatibus aegritudines eorum et voluptates et cupiditates omniumque amorum contentiones explorare et observare debet, ut recte eas vituperet et laudet ipsis legibus; in iracundiis porro et timoribus omnibusque quae in fortuna adversa perturbationes in animo oriuntur et quae in fortuna secunda earundem liberationes, et [in iis affectionibus quas morbi vel bella vel egestates hominibus afferunt earumque contrariis: igitur in omnibus his quid in cuiusque affectionis statu pulchri vel turpe insit, docere et definire eum oportet. deinde legis latori variae quas cives sequuntur acquirendi et consumendi rationes observandae sunt, mutuae in his omnibus coniunctiones et disiunctiones tam volentium quam invitorum, et in singulis huiusmodi actionibus quas inter se suscipiunt iustum et iniustum animadvertet in quibusnam insit et a quibusnam absit, et legi obedientibus honores tribuet, non obedientes vero poenis statutis afficiet, dum ad finem universae rei publicae progressus videat quomodo sepultura, singulos mortuos affici et quosnam honores eis tribui oporteat. his vero omnibus perspectis legis lator custodes praeficiet,

νήσεως, τοὺς δὲ δι' ἀληθοῦς δόξης ἰόντας, ὅπως πάντα ταῦτα ξυνδήσας ὁ νοῦς ἑπόμενα σωφροσύνῃ καὶ δικαιοσύνῃ ἀποφήνῃ †), ἀλλὰ μὴ πλούτῳ μηδὲ φιλοτιμίᾳ. οὕτως, ὦ ξένοι, ἔγωγε ἤθελον ἂν ὑμᾶς * καὶ ἔτι νῦν βούλομαι D
διεξελθεῖν, πῶς ἐν τοῖς τοῦ Διὸς λεγομένοις νόμοις τοῖς τε τοῦ Πυθίου Ἀπόλλωνος, οὓς Μίνως τε καὶ Λυκοῦργος ἐθέτην, ἔνεστί τε πάντα ταῦτα, καὶ ὅπῃ τάξιν τινὰ εἰληφότα διάδηλά ἐστι τῷ περὶ νόμων ἐμπείρῳ τέχνῃ εἴτε καί τισιν ἔθεσι, τοῖς δὲ ἄλλοις ἡμῖν οὐδαμῶς ἐστι καταφανῆ.

ΚΛ. Πῶς οὖν, ὦ ξένε, λέγειν χρὴ τὰ μετὰ ταῦτα;

ΑΘ. Ἐξ ἀρχῆς πάλιν ἔμοιγε δοκεῖ χρῆναι διεξελθεῖν, καθάπερ ἠρξάμεθα, * τὰ τῆς ἀνδρείας πρῶτον ἐπιτηδεύμα- E
τα· ἔπειτα ἕτερον καὶ αὖθις ἕτερον εἶδος τῆς ἀρετῆς δίεξιμεν, ἐὰν βούλησθε· ὅπως δ' ἂν τὸ πρῶτον διεξέλθωμεν, πειρασόμεθα αὐτὸ παράδειγμα θέμενοι καὶ τἄλλα οὕτω διαμυθολογοῦντες παραμύθια ποιήσασθαι τῆς ὁδοῦ· ὕστερον δὲ ἀρετῆς πάσης, καὶ ἅ γε νῦν δὴ διήλθομεν, ἐκεῖσε βλέποντα ἀποφανοῦμεν, ἂν θεὸς ἐθέλῃ.

ΜΕ. Καλῶς λέγεις. * καὶ πειρῶ πρῶτον κρίνειν τὸν 633
τοῦ Διὸς ἐπαινέτην τόνδε ἡμῖν.

ΑΘ. Πειράσομαι καὶ σέ τε καὶ ἐμαυτόν· κοινὸς γὰρ ὁ λόγος. λέγετε οὖν· τὰ ξυσσίτιά φαμεν καὶ τὰ γυμνάσια πρὸς τὸν πόλεμον ἐξευρῆσθαι τῷ νομοθέτῃ;

ΜΕ. Ναί.

ΑΘ. Καὶ τρίτον ἢ τέταρτον; ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεών ἐστι, δηλοῦντα μόνον ὃ *) λέγει.

ΜΕ. Τρίτον τοίνυν, ἔγωγε εἴποιμ' ἂν * καὶ Λακεδαι- B
μονίων ὁστισοῦν, τὴν θήραν εὗρε.

ΑΘ. Τέταρτον δὲ ἢ πέμπτον, εἰ δυναίμεθα, λέγειν πειρώμεθα.

ΜΕ. Ἔτι **) τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην

---

†) ἴσ. ἀποφαίνῃ. *) ἄλλ. ἅ.
**) γρ. εὗρε. τέταρτον = πειρώμεθα. ἔτι κτλ.

partim in prudentia, partim in vera opinione verſantes, ut omnia haec connectens ratio temperantiam et iuſtitiam, non divitias nec ambitionem ſequentia efficiat. ita, o hoſpes, equidem voluiſſem et nunc adhuc velim rem a vobis expoſitam, quomodo in Iovis quae dicuntur et Apollinis Pythii legibus, quas Minos et Lycurgus dederunt, inſint haec omnia et quo pacto ordinem quendam conſequutae ſint perſpicuum ei qui legum peritiam adeptus fuerit arte vel uſu quodam, reliquis vero nobis nullo modo manifeſtum.

Cl. Quomodo igitur, o hoſpes, dici oportet deinde?

Ath. Ab initio rurſus mihi videtur exponendum eſſe, quemadmodum incepimus, primum de fortitudinis ſtudiis; deinde aliam rurſusque aliam virtutis ſpeciem perſequemur, ſi volueritis; quemadmodum vero primum explicavimus, ita hoc exemplum ponentes conabimur de reliquis quoque exponere viam ſermone levantes; poſt de univerſa virtute et, quae ſupra propoſuimus, ea hanc ſpectare oſtendemus, ſi deus voluerit.

Me. Praeclare dicis. iam conare primum de hocce nobis Iovis laudatore iudicare.

Ath. Conabor et de te et de me ipſo; communis enim ſermo. dicite igitur: convivia publica et gymnaſia contendimusne belli cauſa inventa eſſe a legislatore?

Me. Etiam.

Ath. Et tertium quid vel quartum? forſitan enim ita enumerandae ſint reliquae virtutis ſive partes ſive quocumque eas affici oportet nomine, ut declares tantummodo quid dicere velis.

Me. Tertio, equidem dixerim et quivis Lacedaemoniorum, venationem invenit.

Ath. Quartum vel quintum, ſi potuerimus, dicere conemur.

Me. Etiam quartum equidem coner dicere, tolera-

ἂν λέγειν, τὸ περὶ τὰς καρτερήσεις τῶν ἀλγηδόνων πολὺ παρ' ἡμῖν γιγνόμενον ἔν τε ταῖς πρὸς ἀλλήλους ταῖς χερσὶ μάχαις καὶ ἐν ἁρπαγαῖς τισὶ διὰ πολλῶν πληγῶν ἑκάστοτε γιγνομένων *). ἔτι δὲ καὶ κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις, χειμώνων τε * ἀνυ- C ποδησίαι καὶ ἀστρωσίαι καὶ ἄνευ θεραπόντων αὐτοῖς ἑαυτῶν **) διακονήσεις, νύκτωρ τε πλανωμένων διὰ πάσης τῆς χώρας καὶ μεθ' ἡμέραν. ἔτι δὲ κἂν ταῖς γυμνοπαιδιαῖς δειναὶ καρτερήσεις παρ' ἡμῖν γίγνονται τῇ τοῦ πνίγους ῥώμῃ διαμαχομένων, καὶ πάμπολλα ἕτερα, σχεδὸν ὅσα οὐκ ἂν παύσαιτό τις ἑκάστοτε διεξιών.

ΑΘ. Εὖ γε, ὦ Λακεδαιμόνιε ξένε, λέγεις· τὴν ἀνδρείαν δέ, φέρε, τί θῶμεν; πότερον ἁπλῶς οὕτως εἶναι πρὸς φόβους καὶ * λύπας διαμάχην μόνον, ἢ καὶ πρὸς πό- D θους τε καὶ ἡδονὰς καί τινας δεινὰς θωπείας κολακικάς, αἳ καὶ τῶν σεμνῶν οἰομένων εἶναι τοὺς θυμοὺς μαλάττουσαι κηρίνους ποιοῦσιν;

ΜΕ. Οἶμαι μὲν οὕτω πρὸς ταῦτα ξύμπαντα †).

ΑΘ. Εἰ γοῦν μεμνήμεθα τοὺς ἔμπροσθεν λόγους, ἥττω τινὰ ὅδε καὶ πόλιν ἔλεγεν αὐτὴν αὑτῆς καὶ ἄνδρα· ἦ γάρ, ὦ ξένε Κνώσιε;

ΚΛ. Καὶ πάνυ γε.

ΑΘ. Νῦν οὖν πότερα λέγομεν τὸν τῶν λυπῶν * ἥττω E κακόν, ἢ καὶ τὸν τῶν ἡδονῶν μᾶλλον;

ΚΛ. Ἔμοιγε δοκεῖ, τὸν τῶν ἡδονῶν· καὶ πάντες που μᾶλλον λέγομεν τὸν ὑπὸ τῶν ἡδονῶν κρατούμενον, τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ, πρότερον ἢ τὸν ὑπὸ τῶν λυπῶν.

ΑΘ. Ὁ Διὸς οὖν δὴ καὶ ὁ Πυθικὸς νομοθέτης * οὐ 634 δήπου χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον, πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν, πρὸς δὲ τὰ δεξιὰ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν; ἢ πρὸς ἀμφότερα;

---

*) ἴσ. γιγνομέναις. **) ἴσ. αὐτοῖς αὑτῶν.
†) γρ. ποιοῦσι πρὸς ταῦτα ξύμπαντα. ΜΕ. Οἶμαι μὲν οὕτω πρὸς ταῦτα ξύμπαντα.

tionem dolorum late apud nos patentem tam in pugnis quas manibus inter nos committimus quam in rapinis quibusdam multis cum plagis semper coniunctis. praeterea occultatio quaedam dicitur mirum in modum laboriosa ad tolerantiam, nudis pedibus hieme incedendi, sine stragulis cubandi, sine servis sibimet ipsis ministrandi et dies noctesque per totam regionem vagandi consuetudo. praeterea quoque in ludis festis in quibus nudi saltamus graves apud nos tolerantiae reperiuntur cum caloris vi pugnantium, et permulta alia, fere tot ut finem quis facere enumerandi non possit.

Ath. Bene vero, o Lacedaemonie hospes, dicis: fortitudinem autem, age, quid sumamus esse? utrum sic simpliciter eam dicamus adversus timores et dolores tantum pugnam esse, an etiam adversus desideria et voluptates et pravas quasdam blanditias et adulationes, quae etiam eorum qui se graves esse putant animos molliunt cereosque efficiunt?

Me. Arbitror equidem ita adversus haec omnia.

Ath. Iam si superiorum recordamur orationum inferiorem quandam hic et civitatem dicebat semet ipsa et virum; nonne, o hospes Cnosie?

Cl. Sane quidem.

Ath. Nunc igitur utrum dicimus doloribus inferiorem pravum, an magis voluptatibus succumbentem?

Cl. Ut mihi quidem videtur, voluptatibus succumbentem; omnes enim magis dicimus eum qui a voluptatibus superetur esse eum cui ut probrum obiiciatur quod semet ipso inferior sit, quam qui doloribus succumbat.

Ath. Iovis igitur et Pythicus legis lator numquid claudam fortitudinem sanxerunt, quae sinistris tantum possit resistere, dextris vero et scitis et blandis nequeat? an quae utrisque?

ΚΛ. Πρὸς ἀμφότερα ἔγωγε ἀξιῶ.

ΑΘ. Λέγωμεν τοίνυν πάλιν, ἐπιτηδεύματα ποῖα ἔσθ' ὑμῖν ἀμφοτέραις ταῖς πόλεσιν, ἃ γεύοντα τῶν ἡδονῶν καὶ οὐ φεύγοντα αὐτάς, καθάπερ τὰς λύπας οὐκ ἔφευγεν, ἀλλ' ἄγοντα εἰς μέσας ἠνάγκαζε καὶ ἔπειθε τιμαῖς ὥςτε κρατεῖν αὐτῶν; * ποῦ δὴ τοῦτ' ἐστὶ ταὐτὸν περὶ τὰς ἡδονὰς ξυν- B τεταγμένον ἐν τοῖς νόμοις; λεγέσθω, τί τοῦτ' ἐστὶν ὃ καὶ ἀπεργάζεται ὑμῖν ὁμοίως πρός τε ἀλγηδόνας καὶ πρὸς ἡδονὰς τοὺς αὐτοὺς ἀνδρείους νικῶντάς τε ἃ δεῖ νικᾶν, καὶ οὐδαμῶς ἥττους πολεμίων τῶν ἐγγύτατα ἑαυτῶν καὶ χαλεπωτάτων.

ΜΕ. Οὕτω μὲν τοίνυν, ὦ ξένε, καθάπερ πρὸς τὰς ἀλγηδόνας εἶχον νόμους ἀντιτεταγμένους πολλοὺς εἰπεῖν, οὐκ ἂν ἴσως εὐποροίην κατὰ μεγάλα μέρη καὶ διαφανῆ * λέ- C γων περὶ τῶν ἡδονῶν· κατὰ δὲ σμικρὰ ἴσως εὐποροίην ἄν.

ΚΛ. Οὐ μὴν οὐδ' ἂν αὐτὸς ἔγωγε ἐν τοῖς κατὰ Κρήτην νόμοις ἔχοιμι ἐμφανὲς ὁμοίως ποιεῖν τὸ τοιοῦτον.

ΑΘ. Ὦ ἄριστοι ξένων, καὶ οὐδέν γε θαυμαστόν· ἀλλ' ἂν ἄρα τις ἡμῶν περὶ τοὺς ἑκάστων οἴκοι νόμους ψέξῃ τι, βουλόμενος ἰδεῖν τό τε ἀληθὲς ἅμα καὶ τὸ βέλτιστον, μὴ χαλεπῶς, ἀλλὰ πράως ἀποδεχώμεθα ἀλλήλων.

ΚΛ. Ὀρθῶς, ὦ ξένε Ἀθηναῖε, εἴρηκας, καὶ πειστέον.

* *ΑΘ.* Οὐ γὰρ ἄν, ὦ Κλεινία, τηλικοῖσδε ἀνδράσι πρέ- D ποι τὸ τοιοῦτον.

ΚΛ. Οὐ γὰρ οὖν.

ΑΘ. Εἰ μὲν τοίνυν ὀρθῶς ἢ μή τις ἐπιτιμᾷ τῇ τε Λακωνικῇ καὶ τῇ Κρητικῇ πολιτείᾳ, λόγος *) ἂν ἕτερος εἴη· τὰ γοῦν **) λεγόμενα πρὸς τῶν πολλῶν ἴσως ἐγὼ μᾶλλον ἔχοιμ' ἂν ὑμῶν ἀμφοτέρων λέγειν. ὑμῖν μὲν γάρ, εἴπερ καὶ μετρίως κατεσκεύασται τὰ τῶν νόμων, εἷς τῶν καλλίστων ἂν εἴη νόμων μὴ ζητεῖν τῶν νέων μηδένα ἐᾶν ποῖα καλῶς αὐ-

---

*) γρ. ὁ λόγος.
**) ἄλλ. δ' οὖν.

Cl. Quae utrisque, equidem censeo.

Ath. Dicamus igitur iterum: instituta qualia in utrisque vestris civitatibus reperiuntur, quae gustare sinant voluptates nec eas fugiant, quemadmodum dolores non fugiunt, sed in medios ducentia cogunt et persuadent honoribus ut eos homines superent? ubinam hoc idem est ratione voluptatum constitutum in legibus? dicatur quid sit hoc quod apud vos aeque adversus dolores et adversus voluptates eosdem reddat fortes et vincentes ea quae vinci oportet, nec ullo modo succumbentes hostibus cuique proximis et gravissimis.

Me. Ita tamen, o hospes, quemadmodum doloribus habebam leges oppositas multas dicere, forsitan non facile possim magnas et conspicuas de voluptatibus afferre; minutiores vero forsitan facile potuerim.

Cl. Nec vero ipse equidem in legibus Creticis hoc aeque potuerim manifesto ostendere.

Ath. O hospites optimi, neque id mirum; at si quis nostrum domesticas cuiusque leges vituperet, ut verum et optimum perspiciat, non acerbe, sed leniter inter nos accipiamus.

Cl. Recte, o hospes Atheniensis, dixisti et obtemperandum.

Ath. Neque enim, o Clinia, viros aetate provectos id deceret.

Cl. Minime vero.

Ath. Utrum vero recte quis an secus Lacedaemoniam et Creticam civitatem reprehendat, alia erit quaestio; ea certe quae a plerisque dicuntur forsitan ego magis possim quam vos utrique dicere. vos enim omnium legum quae recte positae sunt unam hanc habetis pulcherrimam quae iuvenibus non permittit quaerere quaenam ex eis pulchre et quae non pulchre se habeant,

τῶν ἢ μὴ καλῶς * ἔχει, μιᾷ δὲ φωνῇ καὶ ἐξ ἑνὸς στόματος E πάντας ξυμφωνεῖν ὡς πάντα καλῶς κεῖνται *) θέντων θεῶν, καὶ ἐάν τις ἄλλως λέγῃ, μὴ ἀνέχεσθαι τὸ παράπαν ἀκούοντας· γέρων δὲ εἴ τίς τι ξυννοεῖ τῶν παρ' ὑμῖν, πρὸς ἄρχοντά τε καὶ πρὸς ἡλικιώτην μηδενὸς ἐναντίον νέου ποιεῖσθαι τοὺς τοιούτους λόγους.

ΚΛ. Ὀρθότατά γε, ὦ ξένε, λέγεις καί, καθάπερ μάντις, * ἀπὼν τῆς τότε διανοίας τοῦ τιθέντος αὐτὰ νῦν ἐπι- 635 εικῶς μοι δοκεῖς ἐστοχάσθαι καὶ σφόδρα ἀληθῆ λέγειν.

ΑΘ. Οὐκοῦν ἡμῖν τὰ νῦν ἐρημία μὲν νέων, αὐτοὶ δ' ἕνεκα γήρως ἀφείμεθ' ὑπὸ τοῦ νομοθέτου διαλεγόμενοι περὶ αὐτῶν τούτων μόνοι πρὸς μόνους μηδὲν ἂν πλημμελεῖν;

ΚΛ. Ἔστι ταῦτα οὕτως· εἰς ἃ καὶ μηδέν γε ἀνῇς ἐπιτιμῶν τοῖς νόμοις ἡμῶν· οὐ γάρ τό γε γνῶναί τι τῶν μὴ καλῶν ἄτιμον, ἀλλὰ ἴασιν ἐξ αὐτοῦ ξυμβαίνει γίγνεσθαι τῷ * μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένῳ. B

ΑΘ. Καλῶς· οὐ μὴν ἐπιτιμῶν γε ἐρῶ τοῖς νόμοις πω πρὶν βεβαίως εἰς δύναμιν διασκέψασθαι, μᾶλλον δὲ ἀπορῶν. ὑμῖν γὰρ ὁ νομοθέτης μόνοις Ἑλλήνων καὶ βαρβάρων, ὧν ἡμεῖς πυνθανόμεθα, τῶν μεγίστων ἡδονῶν καὶ παιδιῶν ἐπέταξεν ἀπέχεσθαι καὶ μὴ γεύεσθαι, τὸ δὲ τῶν λυπῶν καὶ φόβων, ὅπερ ἄρτι διεληλύθαμεν, ἡγήσατο εἴ τις ἐκ παίδων φευξεῖται διὰ τέλους, ὁπόταν εἰς ἀναγκαίους * ἔλθῃ πόνους C καὶ φόβους καὶ λύπας, φευξεῖσθαι τοὺς ἐν ἐκείνοις γεγυμνασμένους καὶ δουλεύσειν αὐτοῖς. ταὐτὸν δὴ τοῦτ', οἶμαι, καὶ πρὸς τὰς ἡδονὰς ἔδει διανοεῖσθαι τὸν αὐτὸν νομοθέτην, λέγοντα αὐτὸν πρὸς ἑαυτὸν ὡς ἡμῖν ἐκ νέων εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται, καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν καὶ μηδὲν τῶν αἰσχρῶν ἀναγκάζεσθαι ποιεῖν, ἕνεκα τῆς γλυκυθυμίας τῆς πρὸς τὰς ἡδονὰς **) * ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων, D δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν ἐν ταῖς ἡδοναῖς καὶ τοῖς κεκτημένοις τὰ πε-

---

*) ἄλλ. κεῖται.
**) γρ. ποιεῖν ἕνεκα — ἡδονάς, ταὐτόν.

ſed ſancit ut una voce unoque ore omnes concinant omnia praeclare conſtituta eſſe quippe diis auctoribus, et ſi quis aliter dicat, nullo modo audientes id ferant; ſin autem ſenex quispiam de aliqua legum veſtrarum meditetur eamque aeſtimare velit apud magiſtratum et aequalem nullo iuniore praeſente talia loquatur.

Cl. Rectiſſime vero, o hoſpes, dicis, et, velut vates licet abſueris a cogitatione eius qui tunc leges condidit, nunc probe mihi videris eam coniectura conſequutus eſſe prorſusque vera dicere.

Ath. Nonne igitur nobis nunc ſolitudo eſt a iunioribus, ipſisque propter senectutem a legis latore permiſſum ut nihil peccantes de his ipſis ſoli ad ſolos diſſeramus?

Cl. Sunt iſta; quapropter nihil remittas leges noſtras vituperans; neque enim turpe eſt cognoſcere ſi quid non eſt pulchrum, ſed remedium inde naſcitur qui non cum invidia, ſed cum benivolentia accipit quae dicuntur.

Ath. Praeclare; neque tamen vituperans leges verba facturus ſum, antequam pro viribus firme exploraverim, ſed potius dubitans. vobis enim legis lator ſolis e Graecis et barbaris quos novimus praeſcripſit ut maximis voluptatibus et ludis abstineretis nec ea guſtaretis, de doloribus vero et timoribus, quod modo expoſuimus, arbitratus eſt fore ut, ſi quis a puero eos fugeret perpetuo, quando in neceſſarios incidiſſet labores, et timores et dolores, fugeret eos qui in illis exercitati eſſent eisque ſerviret. idem igitur hoc, opinor, etiam de voluptatibus oportebat cogitare eundem legis latorem, ad ſe ipſum loquentem: ſi nobis a pueris imperiti erunt maximarum voluptatum cives nec exercitati in voluptatibus temperate percipiendis, ut nihil turpe cogantur facere, propter mollem ad voluptates inclinationem idem eis accidet, quod eis qui timoribus ſuccumbunt: ſervient alia ratione et ea quidem etiam turpiore eis qui in voluptatibus ſibi temperare poterunt earumque dominos ſe

ρὶ τὰς ἡδονάς, ἀνθρώποις ἐνίοτε παντάπασι κακοῖς, καὶ τὴν ψυχὴν τῇ μὲν δούλην, τῇ δὲ ἐλευθέραν ἕξουσι, καὶ οὐκ ἄξιοι ἁπλῶς ἀνδρεῖοι καὶ ἐλευθέριοι ἔσονται προσαγορεύεσθαι. σκοπεῖτε οὖν εἴ τι τῶν νῦν λεγομένων ὑμῖν κατὰ τρόπον δοκεῖ λέγεσθαι.

ΚΛ. Δοκεῖ μὲν ἡμῖν * γέ πως λεγομένου τοῦ λόγου, E
περὶ δὲ τηλικούτων εὐθὺς πεπιστευκέναι ῥᾳδίως μὴ νέων τε ᾖ μᾶλλον καὶ ἀνοήτων.

ΑΘ. Ἀλλ' εἰ τὸ μετὰ ταῦτα διεξίοιμεν ὧν προὐθέμεθα, ὦ Κλεινία τε καὶ Λακεδαιμόνιε ξένε (μετ' ἀνδρείαν γὰρ δὴ σωφροσύνης πέρι λέγωμεν), τί διαφέρον ἐν ταύταις ταῖς πολιτείαις ἢ ταῖς τῶν εἰκῇ πολιτευομένων ἀνευρήσομεν, * ὥςπερ τὰ περὶ τὸν πόλεμον νῦν δή; 636

ΜΕ. Σχεδὸν οὐ ῥᾴδιον· ἀλλ' †) ἔοικε γὰρ τά τε ξυσσίτια καὶ τὰ γυμνάσια καλῶς εὑρῆσθαι πρὸς ἀμφοτέρας.

ΑΘ. Ἔοικε δῆτα, ὦ ξένοι, χαλεπὸν εἶναι τὸ περὶ τὰς πολιτείας ἀναμφισβητήτως ὁμοίως ἔργῳ καὶ λόγῳ γίγνεσθαι. κινδυνεύει γάρ, καθάπερ ἐν τοῖς σώμασιν, οὐ δυνατὸν εἶναι προστάξαι τι πρὸς ἓν σῶμα ἓν ἐπιτήδευμα, ἐν ᾧ *) οὐκ ἂν φανείη ταὐτὸν τοῦτο τὰ μὲν βλάπτον ἡμῶν τὰ σώματα,
* τὰ δὲ καὶ ὠφελοῦν· ἐπεὶ καὶ τὰ γυμνάσια ταῦτα καὶ τὰ B
ξυσσίτια πολλὰ μὲν ἄλλα νῦν ὠφελεῖ τὰς πόλεις, πρὸς δὲ τὰς στάσεις χαλεπά· δηλοῦσι δὲ Μιλησίων καὶ Βοιωτῶν καὶ Θουρίων παῖδες. καὶ δὴ καὶ παλαιὸν νόμιμον δοκεῖ τοῦτο τὸ ἐπιτήδευμα καὶ κατὰ φύσιν, τὰς περὶ **) τὰ ἀφροδίσια ἡδονὰς οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θηρίων διεφθαρκέναι. καὶ τούτων τὰς ὑμετέρας πόλεις πρώτας ἄν τις αἰτιῷτο καὶ ὅσαι τῶν ἄλλων μάλιστα ἅπτονται * τῶν γυμνασίων· C
καὶ εἴτε παίζοντα εἴτε σπουδάζοντα ἐννοεῖν δεῖ τὰ τοιαῦτα, ἐννοητέον ὅτι τῇ θηλείᾳ καὶ τῇ τῶν ἀῤῥένων φύσει εἰς κοινωνίαν ἰούσῃ τῆς γεννήσεως ἡ περὶ ταῦτα ἡδονὴ κατὰ φύσιν ἀποδεδόσθαι δοκεῖ, ἀῤῥένων δὲ πρὸς ἄῤῥενας ἢ θη-

†) γρ. ῥᾴδιον. ΚΛ. Ἀλλ'.
*) ἴσ. ἐπιτήδευμα, ὅ.
**) ἴσ. ἐπιτήδευμα τὰς κατὰ φύσιν περὶ.

praebebunt, hominibus nonnumquam prorſus pravis, et animum habebunt partim ſervilem partim liberum, nec digni erunt qui ſimpliciter fortes et liberales appellentur. videte igitur an quid eorum quae nunc prolata ſunt vobis recte videatur dictum eſſe.

Cl. Videntur quidem nobis quodammodo dum proferuntur, in tantis vero rebus ſtatim fidem habere facile vide ne iuvenum magis ſit et inſipientium.

Ath. At ſi deinde exponemus quae propoſuimus, o Clinia et Lacedaemonie hoſpes (poſt fortitudinem enim de temperantia loquamur), quid diverſi in his civitatibus et in eis quae temere adminiſtrantur inveniemus, quemadmodum in rebus militaribus ſupra?

Me. Haud facile fere; videntur tamen convivia communia et gymnaſia pulchre inventa eſſe ad utrasque.

Ath. Videtur ſane, o hoſpites, difficile eſſe de rebus ad civitatem ſpectantibus aeque re et verbis haud ambigere. videtur enim, quemadmodum in corporibus, haud facile eſſe uni corpori unum ſtudium praeſcribere quod non idem reperiatur partim corpora noſtra laedens partim iuvans; nam gymnaſia quoque illa et convivia communia multis aliis in rebus nunc proſunt civitatibus, ad ſeditiones vero gravia ſe exhibent; quod oſtendunt Mileſiorum, Boeotorum et Thuriorum filii. atque etiam inſtitutum hoc a priſtinis inde temporibus lege ſancitum naturales amoris appetitiones non ſolum hominum, verum etiam animalium videtur corrupiſſe. cuius quidem rei cauſam veſtris civitatibus primis quispiam attribuerit omnibusque reliquis quae maxime exercitationes gymnaſticas attingunt; et ſive ioco ſive ſerio hoc reputari oportet, reputandum, muliebri et virili naturae ad generandi communitatem pergenti hanc voluptatem ſecundum naturam videri tributam eſſe, virorum autem cum viris et mulierum cum mulieribus conſuetudinem naturae

λειῶν πρὸς θηλείας παρὰ φύσιν, καὶ τῶν πρώτων τὸ τόλ-
μημα εἶναι δι' ἀκράτειαν ἡδονῆς. πάντες δὲ δὴ Κρητῶν τὸν
περὶ τὸν Γανυμήδη μῦθον κατηγοροῦμεν, ὡς λογοποιησάν-
των τούτων· ἐπειδὴ * παρὰ Διὸς αὐτοῖς οἱ νόμοι πεπι- D
στευμένοι ἦσαν γεγονέναι, τοῦτον τὸν μῦθον προςτεθεικέ-
ναι κατὰ τοῦ Διός, ἵνα ἑπόμενοι δὴ τῷ θεῷ καρπῶνται
καὶ ταύτην τὴν ἡδονήν. τὸ μὲν οὖν τοῦ μύθου χαιρέτω,
νόμων δὲ πέρι διασκοπουμένων ἀνθρώπων ὀλίγου πᾶσά ἐστιν
ἡ σκέψις περί τε τὰς ἡδονὰς καὶ τὰς λύπας ἔν τε πόλεσι
καὶ ἐν ἰδίοις ἔθεσι *): δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύ-
σει ῥεῖν, ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ
ὁπόσον εὐδαιμονεῖ, * καὶ πόλις ὁμοίως καὶ ἰδιώτης καὶ E
ζῶον ἅπαν, ὁ δ' ἀνεπιστημόνως ἅμα καὶ ἐκτὸς τῶν και-
ρῶν τἀναντία ἂν ἐκείνῳ ζῴη.

ΜΕ. Λέγεται μὲν ταῦτα, ὦ ξένε, καλῶς πως, οὐ μὴν
ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει τί ποτε χρὴ λέγειν πρὸς
ταῦτα· ὅμως δ' ἔμοιγε ὀρθῶς δοκεῖ τὸ τὰς ἡδονὰς φεύγειν
διακελεύεσθαι τόν γε ἐν Λακεδαίμονι νομοθέτην· περὶ δὲ
τῶν ἐν Κνωσῷ νόμων ὅδε, ἂν ἐθέλῃ **), βοηθήσει. τὰ
δ' ἐν Σπάρτῃ κάλλιστ' ἀνθρώπων * δοκεῖ μοι κεῖσθαι τὰ 637
περὶ τὰς ἡδονάς· οὗ ***) γὰρ μάλιστ' ἄνθρωποι καὶ μεγί-
σταις προςπίπτουσιν ἡδοναῖς καὶ ὕβρεσι καὶ ἀνοίᾳ πάσῃ,
τοῦτ' ἐξέβαλεν ὁ νόμος ἡμῶν ἐκ τῆς χώρας ξυμπάσης, καὶ
οὔτ' ἂν ἐπ' ἀγρῶν ἴδοις οὔτ' ἐν ἄστεσιν ὅσων Σπαρτιάταις
μέλει ξυμπόσια οὐδ' ὁπόσα τούτοις ξυνεπόμενα πάσας ἡδο-
νὰς κινεῖ κατὰ δύναμιν, οὐδ' ἔστιν ὅςτις ἂν ἀπαντῶν κω-
μάζοντί τινι μετὰ μέθης οὐκ ἂν τὴν μεγίστην δίκην εὐθὺς
ἐπιθείη, * καὶ οὐδ' †) ἂν Διονύσια πρόφασιν ἔχοντ' αὐτὸν B
λύσαιτο· ὥςπερ ἐν ἁμάξαις εἶδόν ποτε παρ' ὑμῖν ἐγώ· καὶ
ἐν Τάραντι δὲ παρὰ τοῖς ἡμετέροις ἀποίκοις πᾶσαν ἐθεασά-
μην τὴν πόλιν περὶ τὰ Διονύσια μεθύουσαν· παρ' ἡμῖν δ'
οὐκ ἔστ' οὐδὲν τοιοῦτον.

ΑΘ. Ὦ Λακεδαιμόνιε ξένε, ἐπαινετὰ μὲν πάντ' ἐστὶ
τὰ τοιαῦτα, ὅπου τινὲς ἔνεισι καρτερήσεις, ὅπου δ' ἀνεῖν-

---

*) ἄλλ. ἤθεσι. **) γρ. ἐθελήσῃ.
***) ἴσ. ὑφ' οὗ. †) γρ. οὔτ'.

adverſari, et primos qui auſi ſint, propter libidinum intemperantiam id commiſiſſe. omnes vero Cretibus crimini damus quod Ganymedis fabulam finxerint; quia enim a Iove ſibi datas eſſe leges crediderint, hanc fabulam in Iovem dicuntur adieciſſe, ut imitantes ſcilicet deum hac quoque voluptate fruerentur. ac fabula quidem valeat, hominum vero de legibus quaerentium tota paene inveſtigatio ſpectat ad voluptates et dolores in civitatibus privatisque moribus, duo enim hi fontes natura libere fluunt, e quibus qui haurit, unde debet et quando et quantum, is felix eſt, civitas aeque ac privatus omneque animal, qui vero inſcienter ſimulque praeter opportunitatem, is contra atque ille vivet.

Me. Dicuntur quidem haec, o hoſpes, praeclare quodammodo, quamquam dubitatio nobis iniicitur quid tandem ad haec reponi oporteat; attamen mihi quidem recte videtur Lacedaemonius legis lator ſanxiſſe ut homines voluptates fugerent; leges vero Cnoſias hic, ſi voluerit, defendet. Spartae autem ea quae ad voluptates ſpectant omnium optime mihi videntur conſtituta eſſe; id enim quod efficit ut maxime homines maximas in voluptates incidant et protervitates omnemque dementiam, eiecit lex ex univerſa noſtra terra, et neque in agris videas neque in urbibus quascumque Spartiatae gubernant convivia nec ea quae cum his coniuncta omnes voluptates quam maxime movent, nec quisquam eſt quin ſi comiſſanti alicui et ebrio obviam fiat, maxima ſtatim eum poena afficiat, et ne Dionyſia quidem ſi ebrietati praetendat, impunitum eum dimittat; quemadmodum in plauſtris vidi aliquando apud vos; quin etiam Tarenti apud noſtros colonos totam conſpexi civitatem Dionyſiis temulentam; apud nos vero nihil huiusmodi reperitur.

Ath. O Lacedaemonie hoſpes, laude quidem digna ſunt haec omnia, ubi continentia quaedam exſtat, ubi

ται, βλακικώτερα· ταχὺ γάρ σου λάβοιτ' * ἄν τις τῶν παρ' C ἡμῖν ἀμυνόμενος, δεικνὺς τὴν τῶν γυναικῶν παρ' ὑμῖν ἄνεσιν. ἅπασι δὴ τοῖς τοιούτοις, καὶ ἐν Τάραντι καὶ παρ' ἡμῖν καὶ παρ' ὑμῖν δέ, μία ἀπόκρισις ἀπολύεσθαι δοκεῖ τοῦ μὴ κακῶς ἔχειν, ἀλλ' ὀρθῶς· πᾶς γὰρ ἀποκρινόμενος ἐρεῖ θαυμάζοντι ξένῳ, τὴν παρ' αὐτοῖς ἀήθειαν ὁρῶντι, Μὴ θαύμαζε, ὦ ξένε· νόμος ἔσθ' ἡμῖν οὗτος, ἴσως δ' ὑμῖν περὶ αὐτῶν τούτων ἕτερος. ἡμῖν δ' ἐστὶ νῦν, ὦ φίλοι ἄνδρες, οὐ περὶ * τῶν ἀνθρώπων τῶν ἄλλων ὁ λόγος, D ἀλλὰ περὶ τῶν νομοθετῶν αὐτῶν κακίας τε καὶ ἀρετῆς. ἔτι γὰρ οὖν εἴπωμεν πλείω περὶ ἁπάσης μέθης· οὐ γὰρ σμικρόν ἐστι τὸ ἐπιτήδευμα οὐδὲ φαύλου διαγνῶναι νομοθέτου. λέγω δ' οὐκ οἴνου περὶ πόσεως τὸ παράπαν ἢ μή, μέθης δὲ αὐτῆς πέρι, πότερον, ὥςπερ Σκύθαι χρῶνται καὶ Πέρσαι, χρηστέον, καὶ ἔτι Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες, πολεμικὰ ξύμπαντα ὄντα * ταῦτα γένη, ἢ κα- E θάπερ ὑμεῖς· ὑμεῖς μὲν γάρ, ὅπερ λέγεις, τὸ παράπαν ἀπέχεσθε, Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι, γυναῖκές τε καὶ αὐτοί, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Πέρσαι δὲ σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς, ἃς ὑμεῖς ἀποβάλλετε, ἐν τάξει δὲ μᾶλλον τούτων.

* ΜΕ. Ὦ λῷστε, διώκομεν *) δέ γε ἡμεῖς πάντας τού- 638 τους, ὅταν ὅπλα εἰς τὰς χεῖρας λάβωμεν.

ΑΘ. Ὦ ἄριστε, μὴ λέγε ταῦτα· πολλαὶ γὰρ δὴ φυγαὶ καὶ διώξεις ἀτέκμαρτοι γεγόνασί τε καὶ ἔσονται· διὸ φανερὸν ὅρον τοῦτον οὐκ ἄν ποτε λέγοιμεν, ἀλλ' ἀμφισβητήσιμον περὶ καλῶν ἐπιτηδευμάτων καὶ μή, νίκην τε καὶ ἧτταν λέγοντες μάχης· ἐπειδὴ γὰρ **) αἱ μείζους τὰς ἐλάττους πόλεις νικῶσι μαχόμεναι καὶ καταδουλοῦνται, Συρακόσιοι * μὲν Λοκρούς, οἳ δὴ δοκοῦσιν εὐνομώτατοι τῶν περὶ ἐκεῖ- B νον τὸν τόπον γεγονέναι, Κείους δὲ Ἀθηναῖοι· μυρία δ' ἄλλα τοιαῦτ' ἂν εὕροιμεν. ἀλλὰ περὶ αὐτοῦ ἑκάστου ἐπι-

---

*) γρ. τούτων, ὦ λῷστε. ΜΕ. Διώκομεν κτλ.
**) ἴσ. ἐπειδή γε.

vero remittitur haec atque negligitur, ſtolidiora ſunt; protinus enim quispiam te prehenderit noſtra defendens et obiiciat tibi mulierum apud vos licentiam. omnibus igitur his, quae apud Tarentinos et nos et vos reperiuntur, una videtur reſponſio auxilium ferre ne prave ſed recte ſe habeant; quisque enim hoſpiti admiranti inſolita quae viderit reſpondens dicet Ne mireris, ó hoſpes; lex eſt nobis haec, fortaſſe vobis de his ipſis alia. nobis vero nunc, o cari viri, non de ceteris hominibus ſermo eſt, ſed de legis latorum pravitate et virtute. adhuc igitur plura dicamus de ebrietate in univerſum; neque enim leve eſt inſtitutum neque vilis legis latoris hoc discernere. dico vero non vinumne omnino bibendum ſit necne, ſed de ipſa ebrietate, utrum ea, qua Scythae utantur, et Perſae, admittenda ſit, et praeterea Carthaginienſes et Celtae et Iberes et Thraces, quae omnes bellicoſae ſunt gentes, an ita ſtatuendum, quemadmodum vos; vos enim, ut dixiſti, omnino abstinetis, Scythae vero et Thraces mero prorſus utentes, et ipſi et mulieres, vinumque in veſtes effundentes praeclarum et felix ſe vitae inſtitutum ſequi arbitrantur. Perſae autem admodum utuntur ceteris quoque deliciis, quae vos reiicitis, ſed moderatius illis.

Me. O vir optime, perſequimur tamen nos omnes hos fugientes, quum arma in manus ſumpſimus.

Ath. O praeſtantiſſime, ne ita loquere; multae enim fugae et inſectationes incertae fuerunt atque in poſterum erunt, quocirca haud manifeſtum hoc argumentum ponimus, ſed dubium et controverſum pulchrorum aut pravorum inſtitutorum, victoriam et cladem in pugna ſumentes; ſiquidem maiores civitates minores vincunt pugnando et servitute opprimunt, Syracusani Locros, qui quidem videntur optimas leges ex omnibus illam regionem incolentibus habuiſſe, et Ceos Athenienſes; et innumera alia eiusdem generis invenerimus. at

τηδεύματος πειρώμεθα λέγοντες πείθειν ἡμᾶς αὐτούς, νίκας δὲ καὶ ἥττας ἐκτὸς λόγου τὰ νῦν θῶμεν, λέγωμεν δ' ὡς τὸ μὲν τοιόνδε ἐστὶ καλόν, τὸ δὲ τοιόνδε οὐ καλόν. πρῶτον δ' ἀκούσατέ τί μου περὶ αὐτῶν τούτων, ὡς δεῖ τό τε χρηστὸν καὶ τὸ μὴ σκοπεῖν.

* ΜΕ. Πῶς οὖν δὴ λέγεις; C

ΑΘ. Δοκοῦσί μοι πάντες οἱ λόγῳ τι λαβόντες ἐπιτήδευμα καὶ προθέμενοι ψέγειν αὐτὸ ἢ ἐπαινεῖν εὐθὺς ῥηθὲν οὐδαμῶς δρᾶν κατὰ τρόπον, ἀλλὰ ταὐτὸν ποιεῖν οἷον εἰ δή τις ἐπαινέσαντός τινος πυροὺς *) βρῶμα ὡς ἀγαθόν, εὐθὺς ψέγοι, μὴ διαπυθόμενος αὐτοῦ μήτε τὴν ἐργασίαν μήτε τὴν προσφοράν, ὅντινα τρόπον καὶ οἷστισι καὶ μεθ' ὧν καὶ ὅπως ἔχοντα καὶ ὅπως ἔχουσι προσφέρειν **) δεῖ. νῦν δὴ ταὐτόν μοι δοκοῦμεν * ἡμεῖς ἐν τοῖς λόγοις ποιεῖν· περὶ D μέθης γὰρ ἀκούσαντες τοσοῦτον μόνον εὐθὺς οἱ μὲν ψέγειν αὐτό, οἱ δ' ἐπαινεῖν, καὶ μάλα ἀτόπως· μάρτυσι γὰρ καὶ ἐπαινέταις χρώμενοι ἐπαινοῦμεν ἑκάτεροι, καὶ οἱ μέν, ὅτι πολλοὺς παρεχόμεθα, ἀξιοῦμέν τι λέγειν κύριον ***), οἱ δέ, ὅτι τοὺς μὴ χρωμένους αὐτῷ ὁρῶμεν νικῶντας μαχομένους· ἀμφισβητεῖται δ' αὖ καὶ τοῦθ' ἡμῖν. εἰ μὲν δὴ καὶ περὶ ἑκάστων οὕτω καὶ τῶν ἄλλων νομίμων διέξιμεν, οὐκ ἄν ἔμοιγε * κατὰ νοῦν εἴη. τρόπον δὲ ἄλλον ὃν ἐμοὶ E φαίνεται δεῖν ἐθέλω λέγειν περὶ αὐτοῦ τούτου, τῆς μέθης, πειρώμενος, ἂν ἄρα δύνωμαι τὴν περὶ ἁπάντων τῶν τοιούτων ὀρθὴν μέθοδον ἡμῖν δηλοῦν, ἐπειδὴ καὶ μυρία ἐπὶ μυρίοις ἔθνη περὶ αὐτῶν ἀμφισβητοῦντα ἡμῖν †) πόλεσι δυοῖν τῷ λόγῳ διαμάχοιτ' ἄν.

ΜΕ. Καὶ μὴν εἴ τινα ἔχομεν ὀρθὴν σκέψιν τῶν τοιούτων, οὐκ ἀποκνητέον * ἀκούειν. 639

ΑΘ. Σκεψώμεθα δὴ τῇδέπῃ ††). φέρε, εἴ τις αἰγῶν τροφὴν καὶ τὸ ζῶν αὐτό, κτῆμα ὡς ἔστι καλόν, ἐπαινοῖ, ἄλλος δέ τις ἑωρακὼς αἶγας χωρὶς νεμομένας αἰπόλου ἐν ἐρ-

---

*) ἴσ. τυρούς.
**) ἄλλ. ὅπως προσφέρειν.
***) γρ. καίριον.
†) ἄλλ. ὑμῖν.
††) γρ. πῃ τῇδε.

de ipso instituto quoque conemur disserendo nobismet ipsis persuadere, victorias et clades nunc missas facientes, et dicamus, unum tale esse pulchrum, alterum tale non pulchrum. primum vero audite ex me de his ipsis, quomodo oporteat probum et improbum explorari.

Me. Quomodo igitur dicis?

Ath. Videntur mihi omnes qui de instituto aliquo disputant idque proferunt ut, statim ut dictum est, vituperent aut laudent, nequaquam recte facere, sed idem committere ac si quis laudante quopiam caseum ut bonum cibum statim vituperet, non explorato eius effectu neque adhibendi ratione, quo pacto et quibusnam et cum quibus et quomodo praeparatus et quomodo affectis adhibendus sit. nunc igitur idem mihi videmur in sermonibus nostris facere; de ebrietate enim hoc tantum quum audivimus, statim eam partim vituperamus partim laudamus, idque valde absurde; testes enim et probatores adhibentes utrique probamus, et quia multos excitamus, arbitramur nos aliquid rati dicere, alteri vero idem arbitrantur quia vident eos qui illa non utuntur pugnando superantes; disceptamus vero etiam de hoc. iam si ita etiam de reliquis singulis exponemus, neutiquam ex mea quidem sententia disseremus. rationem vero aliam qua mihi videatur disputandum esse volo dicere de hoc ipso, de ebrietate, periculum faciens, an possim rectam de his omnibus disputandi sectam rationemque vobis declarare, quoniam innumerabiles nationes de his disceptantes cum duabus nostris civitatibus verbis contendent.

Me. Sane si quam habemus rectam de his rebus quaerendi rationem, haud cunctandum est audire.

Ath. Consideremus igitur ita fere. agedum, si quis caprarum cultum ipsumque animal ut bonam rem laudet, alius vero, qui capras sine caprario pascentes et loca culta laedentes viderit, eas vituperet

γασίμοις χωρίοις δρώσας κακὰ διαψέγοι, καὶ πᾶν θρέμμα ἄναρχον ἢ μετὰ κακῶν ἀρχόντων ἰδὼν οὕτω μέμφοιτο, τὸν τοῦ τοιούτου ψόγον ἡγούμεθα *) ὑγιὲς ἄν ποτε ψέξαι καὶ ὁτιοῦν;

ΜΕ. Καὶ πῶς;

ΑΘ. Χρηστὸς δὲ ἄρχων ἔσθ' ἡμῖν ἐν πλοίοις πότερον ἐὰν τὴν ναυτικὴν * ἔχῃ ἐπιστήμην μόνον, ἄν τ' οὖν ναυτιᾷ ἄν τε μή; ἢ πῶς ἂν λέγοιμεν; B

ΜΕ. Οὐδαμῶς, ἄν γε πρὸς τῇ τέχνῃ ἔχῃ καὶ τοῦτο τὸ πάθος ὃ λέγεις.

ΑΘ. Τί δ' ἄρχων στρατοπέδων; ἆρ' ἐὰν τὴν πολεμικὴν ἔχῃ ἐπιστήμην, ἱκανὸς ἄρχειν, κἂν δειλὸς ὢν ἐν τοῖς δεινοῖς ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ;

ΜΕ. Καὶ πῶς;

ΑΘ. Ἂν δὲ αὖ μήτ' ἔχῃ τὴν τέχνην δειλός τ' ᾖ;

ΜΕ. Παντάπασί τινα πονηρὸν λέγεις, καὶ οὐδαμῶς ἀνδρῶν ἄρχοντα, ἀλλά τινων σφόδρα γυναικῶν.

* ΑΘ. Τί δ' ἐπαινέτην ἢ ψέκτην κοινωνίας ἧστινοσοῦν, ἣ πέφυκέ τε ἄρχων εἶναι μετ' ἐκείνου τε ὠφέλιμός ἐστιν, ὁ δὲ μήθ' ἑωρακὼς εἴη ποτ' ὀρθῶς αὐτὴν αὑτῇ κοινωνοῦσαν μετ' ἄρχοντος, ἀεὶ δὲ ἄναρχον ἢ μετὰ κακῶν ἀρχόντων ξυνοῦσαν· οἰόμεθ' **) ἄν ποτε ***) τοὺς τοιούτους θεωροὺς τῶν τοιούτων κοινωνιῶν χρηστόν τι ψέξειν ἢ ἐπαινέσεσθαι; C

ΜΕ. Πῶς δ' ἄν; μηδέποτέ γε ἰδόντας μηδὲ ξυγγεγενομένους ὀρθῶς γενομένῳ μηδενὶ τῶν τοιούτων * κοινωνημάτων; D

ΑΘ. Ἔχε δή· τῶν πολλῶν κοινωνιῶν ξυμπότας καὶ ξυμπόσια θεῖμεν ἂν μίαν τινὰ ξυνουσίαν εἶναι;

ΜΕ. Καὶ σφόδρα γε.

ΑΘ. Ταύτην οὖν μῶν ὀρθῶς γιγνομένην ἤδη τις πώποτε †) ἐθεάσατο; καὶ σφῷν μὲν ἀποκρίνασθαι ῥᾴδιον ὡς οὐδεπώποτε τὸ παράπαν· οὐ γὰρ ἐπιχώριον ὑμῖν τοῦτο οὐδὲ

*) γρ. ἡγώμεθα. **) γρ. οἰώμεθ'
***) ἀλλ. δή ποτε. †) γρ. ποτέ.

omneque pecus quod praefecto nulli subiectum vel pravos praefectos habens viderit ita reprehendat, huiusmodi hominis vituperationem num arbitremur unquam cum causa quicquam reprehensuram esse?

Me. Quî arbitremur?

Ath. Bonus autem praefectus est nobis in navigando utrum is qui nauticam tantum scientiam habet, sive nauseat sive non nauseat? an quomodo dicemus?

Me. Nequaquam, si praeter artem illud quod dicis malum habet.

Ath. Quid vero praefectus exercituum? num, si militarem tenet scientiam, idoneus ad imperandum, etiamsi ignavus est in periculis et prae metu titubat atque nauseat?

Me. Quî potest id fieri?

Ath. Sin autem neque artem tenet et ignavus est?

Me. Omnino pravum dicis neutiquam virorum praefectum sed admodum mulierum quarundam.

Ath. Quid vero laudatorem aut vituperatorem societatis cuiuscumque, quae per se moderatorem habere debet et eius beneficio multum praebet utilitatis, si numquam eam viderit moderatoris opera recte secum ipsam versantem, sed semper moderatore carentem vel improbis moderatoribus utentem, num istos societatum eiusmodi spectatores recte quicquam aut vituperaturos aut laudaturos esse umquam censemus?

Me. Quî poterunt, cum numquam neque viderint neque interfuerint cuiquam huiusmodi communitatum recte institutae?

Ath. Age dum: multarumne communitatum ponemus unam efficere societatem compotores et convivia?

Me. Sane quidem.

Ath. Hanc igitur num recte peractam iam quisquam aliquando vidit? et vos quidem facile respondere potestis, omnino numquam; neque enim domesticum vobis

νόμιμον· ἐγὼ δ᾽ ἐντετύχηκά τε πολλαῖς καὶ πολλαχοῦ, καὶ
προςέτι πάσας, ὡς ἔπος εἰπεῖν, διηρώτηκα, καὶ σχεδὸν
ὅλην μὲν οὐδεμίαν * ὀρθῶς γιγνομένην ἑώρακα οὐδ᾽ ἀκή- E
κοα, μόριά δέ που **) σμικρὰ καὶ ὀλίγα, τὰ πολλὰ δὲ ξύμ-
πανθ᾽, ὡς εἰπεῖν, διημαρτημένα.

ΚΛ. Πῶς δὴ ταῦτα, ὦ ξένε, λέγεις; εἰπὲ ἔτι σαφέστε-
ρον· ἡμεῖς μὲν γάρ, ὅπερ εἶπες, ἀπειρίᾳ τῶν τοιούτων οὐδ᾽
ἐντυγχάνοντες ἂν ἴσως * εὐθύς γε γνοῖμεν τό τε ὀρθὸν καὶ 640
μὴ γιγνόμενον ἐν αὐτοῖς.

ΑΘ. Εἰκὸς λέγεις· ἀλλ᾽ ἐμοῦ φράζοντος πειρῶ μαν-
θάνειν. τὸ μὲν γὰρ ἐν πάσαις τε ξυνόδοις καὶ κοινωνίαις
πράξεων ὡντινωνοῦν ὡς ὀρθὸν πανταχοῦ ἑκάστοις ἄρχοντα
εἶναι, μανθάνεις;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν ἐλέγομεν νῦν δή, μαχομένων ὡς ἀν-
δρεῖον δεῖ τὸν ἄρχοντα εἶναι.

ΚΛ. Πῶς δ᾽ οὔ;

ΑΘ. Ὁ μὴν ἀνδρεῖος τῶν δειλῶν ὑπὸ φόβων ἧττον
τεθορύβηται.

* ΚΛ. Καὶ τοῦτο οὕτως. B

ΑΘ. Εἰ δ᾽ ἦν τις μηχανὴ μηδὲν τὸ παράπαν δεδιότα
μηδὲ θορυβούμενον ἐπιστῆσαι στρατοπέδῳ στρατηγόν, ἆρ᾽
οὐ τοῦτ᾽ ἂν παντὶ τρόπῳ ἐπράττομεν;

ΚΛ. Σφόδρα μὲν οὖν.

ΑΘ. Νῦν δέ γε οὐ στρατοπέδου πέρι λέγομεν ἄρξοντος
ἐν ἀνδρῶν ὁμιλίαις ἐχθρῶν ἐχθροῖς μετὰ πολέμου, φίλων
δ᾽ ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόντων φιλοφροσύνης.

ΚΛ. Ὀρθῶς.

* ΑΘ. Ἔστι δέ γε ἡ τοιαύτη ξυνουσία, εἴπερ ἔσται *) C
μετὰ μέθης, οὐκ ἀθόρυβος· ἢ γάρ;

ΚΛ. Πῶς γάρ; ἀλλ᾽ οἶμαι πᾶν τοὐναντίον.

ΑΘ. Οὐκοῦν πρῶτον μὲν καὶ τούτοις ἄρχοντος δεῖ;

ΚΛ. Τί μήν; ὡς οὐδενί γε πράγματι.

---

*) ἄλλ. δ᾽ εἴ που.
**) γρ. ἔσται.

hoc neque lege sancitum; ego vero in multas multisque locis incidi, praetereaque de omnibus propemodum quaesivi, et nullam fere totam recte peractam vidi nec audivi, si partes exiguas et paucas excipias, plerumque vero omnia prorsus perversa.

Cl. Quomodo tandem haec, hospes, ponis? dic etiam clarius; nos enim, ut tu monuisti, imperitia harum rerum nec si in eas incideremus fortasse statim cognoscceremus quid recte et quid secus in iis fieret.

Ath. Dicis quod consentaneum est; at me exponente conare percipere. hocne intelligis, in omnibus conventibus et rerum quarumcumque communitatibus ubique rectum esse moderatorem praefici?

Cl. Quidni?

Ath. Iam diximus supra, pugnantium moderatorem esse debere fortem.

Cl. Vero.

Ath. Fortis quidem ignavis timore minus perturbatur.

Cl. Hoc quoque se sic habet.

Ath. Iam si fieri posset ut nihil prorsus timentem et perturbatione liberum exercitui praeficeremus ducem, nonne id omni modo faceremus?

Cl. Admodum.

Ath. Nunc autem non de exercitus duce futuro loquimur in virorum coniunctione qui hostes adversus hostes bellaturi, sed eorum qui amici cum amicis in pace benivolentiam communicaturi sint.

Cl. Recte.

Ath. Talis vero congressio, siquidem ebrietas accedit, non est libera perturbatione; nonne?

Cl. Quî enim potest? arbitror potius contra fieri.

Ath. Nonne primum his quoque moderator praeficiendus?

Cl. Quidni? et omnium quidem maxime.

ΑΘ. Πότερον οὖν ἀθόρυβον, εἰ δυνατὸν εἴη, τὸν τοιοῦτον ἄρχοντα ἐκπορίζεσθαι δεῖ;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν περί γε ξυνουσίας, ὡς ἔοικεν, αὐτὸν φρόνιμον εἶναι δεῖ· γίγνεται γὰρ φύλαξ τῆς τε ὑπαρχούσης φιλίας αὐτοῖς, καὶ ἔτι πλείονος * ἐπιμελητὴς ὅπως ἔσται διὰ D
τὴν τότε ξυνουσίαν.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Οὐκοῦν νηφοντά τε καὶ σοφὸν ἄρχοντα μεθυόντων δεῖ καθιστάναι, καὶ μὴ τοὐναντίον; μεθυόντων γὰρ μεθύων καὶ νέος ἄρχων μὴ σοφός, εἰ μὴ κακὸν ἀπεργάσαιτό τι μέγα, πολλῇ χρῷτ' ἂν ἀγαθῇ τύχῃ.

ΚΛ. Παμπόλλῃ μὲν οὖν.

ΑΘ. Οὐκοῦν εἰ μὲν γιγνομένων ὡς δυνατὸν ὀρθότατα τούτων ἐν ταῖς πόλεσι τῶν ξυνουσιῶν μέμφοιτό τις, ἐπικαλῶν αὐτῷ τῷ πράγματι, * τάχ' ἂν ὀρθῶς ἴσως μέμφοιτο. E
εἰ δὲ ἁμαρτανόμενον ὡς οἷόν τε μάλιστα ἐπιτήδευμά τις ὁρῶν λοιδορεῖ, πρῶτον μὲν δῆλον ὡς ἀγνοεῖ τοῦτ' αὐτὸ γιγνόμενον οὐκ ὀρθῶς, εἶθ' ὅτι πᾶν τούτῳ τῷ τρόπῳ φανεῖται πονηρόν, δεσπότου τε καὶ ἄρχοντος νήφοντος χωρὶς πραττόμενον· ἢ οὐ ξυννοεῖς τοῦθ', ὅτι μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀνατρέπει * πάντα εἴτε πλοῖα εἴτε ἅρμα- 641
τα εἴτε στρατόπεδον, εἶθ' ὅ τί ποτ' εἴη τὸ κυβερνώμενον ὑπ' αὐτοῦ;

ΚΛ. Παντάπασι τοῦτό γε ἀληθὲς εἴρηκας, ὦ ξένε· τὸ ἐπὶ τῷδε δ' ἡμῖν λέγε, τί ποτ', ἂν γίγνηται τοῦτο ὀρθὸν τὸ περὶ τὰς πόσεις νόμιμον, ἀγαθὸν ἂν δράσειεν ἡμᾶς; οἷον ὃ νῦν δὴ ἐλέγομεν, εἰ στράτευμα ὀρθῆς ἡγεμονίας τυγχάνοι, νίκη πολέμου τοῖς ἑπομένοις ἂν γίγνοιτο, οὐ σμικρὸν ἀγαθόν· καὶ τἆλλ' οὕτω· ξυμποσίου δὲ ὀρθῶς * παιδαγωγηθέντος τί μέγα ἰδιώταις ἢ τῇ πόλει γί- B
γνοιτ' ἄν;

ΑΘ. Τί δέ; παιδὸς ἑνὸς ἢ καὶ χοροῦ παιδαγωγηθέντος κατὰ τρόπον ἑνὸς τί μέγα τῇ πόλει φαῖμεν ἂν γίγνεσθαι;

Ath. Utrum igitur perturbatione liberum, ſi fieri potuerit, huiusmodi moderatorem dari oportet?

Cl. Quidni?

Ath. Atque etiam quod ad ſodalitates attinet, ut intelligitur, prudens eſſe debet; eſt enim cuſtos amicitiae quam inter ſe iunxerunt praesentis et curator etiam maioris per ſodalitatem praesentem faciundae.

Cl. Veriſſime.

Ath. Nonne igitur ſobrium et ſapientem moderatorem ebriis praefici oportet, non contra? ebriorum enim ebrius et iuvenis nec ſapiens moderator, niſi fortuna admodum ſecunda utitur, non poteſt non magni aliquid mali facere.

Cl. Prorſus ſecunda utatur neceſſe eſt.

Ath. Itaque ſi quis has ſodalitates rectiſſime quantum fieri poteſt in civitatibus peractas vituperet, ipſam reprehendens rem, forſitan recte vituperet; ſin vero aliquis perverſum quam maxime inſtitutum videt eique convicium facit, primum patet eum neſcire illud ipſum non recte peragi, deinde quidque hac ratione repertum iri pravum, ſine domino et moderatore ſobrio peractum; an non intelligis hoc, ebrium gubernatorem et quemque cuiusque rei moderatorem evertere omnia ſive naves ſint ſive currus ſive exercitus ſeu quodcumque ab eo gubernetur?

Cl. Plane hoc quidem vere dixiſti, hoſpes, deinde vero nobis dic, quid tandem boni compotatio lege ſancita ſi recte peragatur nobis afferat; velut, quod ſupra diximus, ſi exercitus rectum imperium nanciſcitur, victoria in bello ei parentibus obtingit, haud exiguum bonum; et cetera ſimiliter: convivium vero ſi bene regitur quidnam magni privati vel civitas adipiſcuntur?

Ath. Quid vero? ſi puer unus vel etiam coetus rite inſtitutus eſt unus, quid magni inde civitati contingere

ἢ τοῦτο οὕτως ἐρωτηθέντες εἴποιμεν ἂν ὡς Ἑνὸς μὲν βραχύ τι τῇ πόλει γίγνοιτ' ἂν ὄφελος, εἰ δ' ὅλως ἐρωτᾷς παιδείαν τῶν παιδευθέντων, τί μέγα τὴν πόλιν ὀνίνησιν, οὐ χαλεπὸν εἰπεῖν ὅτι παιδευθέντες μὲν εὖ γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γενόμενοι δὲ τοιοῦτοι τά τ' * ἄλλα πράττοιεν καλῶς, C ἔτι δὲ κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δ' ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονε Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασί τε καὶ ἔσονται.

ΚΛ. Δοκεῖς ἡμῖν, ὦ φίλε, τὴν ἐν τοῖς οἴνοις κοινὴν διατριβὴν ὡς εἰς παιδείας * μεγάλην μοῖραν τείνουσαν λέ- D γειν, ἂν ὀρθῶς γίγνηται.

ΑΘ. Τί μήν;

ΚΛ. Ἔχοις ἂν τὸ μετὰ τοῦτ' εἰπεῖν ὡς ἔστι τὸ νῦν εἰρημένον ἀληθές;

ΑΘ. Τὸ μὲν ἀληθές, ὦ ξένε, δισχυρίζεσθαι ταῦτα οὕτως ἔχειν, πολλῶν ἀμφιςβητούντων, θεοῦ, εἰ δ', ὅπῃ ἐμοὶ φαίνεται, δεῖ λέγειν, οὐδεὶς φθόνος, ἐπείπερ ὡρμήκαμέν γε τοὺς λόγους περὶ νόμων καὶ πολιτείας ποιεῖσθαι τὰ νῦν.

ΚΛ. Τοῦτ' αὐτὸ δὴ πειρώμεθα τὸ σοὶ δοκοῦν περὶ τῶν νῦν ἀμφιςβητουμένων * καταμαθεῖν. E

ΑΘ. Ἀλλὰ χρὴ ποιεῖν οὕτως, ὑμᾶς τε ἐπὶ τὸ μαθεῖν καὶ ἐμὲ ἐπὶ τὸ δηλῶσαι πειρώμενον ἀμωςγέπως ξυντεῖναι τὸν λόγον. πρῶτον δέ μου ἀκούσατε τὸ τοιόνδε· τὴν πόλιν ἅπαντες ἡμῶν Ἕλληνες ὑπολαμβάνουσιν ὡς φιλολόγος τέ ἐστι καὶ πολυλόγος, Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχυλόγον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν. * σκοπῶ δὴ μὴ δόξαν ὑμῖν παράσχωμαι περὶ σμικροῦ 642 πολλὰ λέγειν, μέθης πέρι, σμικροῦ πράγματος, παμμήκη λόγον ἀνακαθαιρόμενος· τὸ δὲ ἡ κατὰ φύσιν αὐτοῦ διόρθωσις οὐκ ἂν δύναιτο ἄνευ μουσικῆς ὀρθότητός ποτε σαφὲς

dicamus? an de hoc ita interrogati dixerimus Ex uno quidem exigua quaedam utilitas civitati accedet, fi vero de difciplina excultorum interrogas quid magni civitati conferat, non eft difficile dictu, recte excultos fieri bonos viros, tales autem effectos quum alia recte perfecturos, tum etiam pugnando hoftes fuperaturos effe. morum igitur cultus affert etiam victoriam, victoria autem aliquando ingenii incultum; multi enim ob bellorum victorias infolentiores redditi infinita alia mala ex infolentia contraxerunt; et cultus quidem numquam Cadmeus fuit, victoriae autem hominibus multae tales et fuerunt et futurae funt.

Cl. Videris nobis, amice, dicere, compotationis focietate magnam partem contineri morum cultum, recte fi inftituatur.

Ath. Quidni?

Cl. Potesne deinceps dicere, verum effe hoc quod nunc dictum eft?

Ath. Veritatem quidem, o hofpes, affirmare, haec ita fe habere, multis ambigentibus, dei fuerit, fi vero, quomodo mihi videatur, dici oportet, haud gravabor, quandoquidem de legibus et re publica disputationem nunc inftituimus.

Cl. Hoc ipfum iam conemur, fententiam tuam de his quae nunc in controverfiam vocantur percipere.

Ath. Sane ita faciendum eft, ut vos ad percipiendum et ego ad declarandum conemur omni modo intendere orationem. primum vero hoc ex me audite: urbem noftram omnes Graeci dicendi amantem et loquacem exiftimant, Lacedaemonem vero et Cretam, illam breviloquentem, hanc intelligentiae magis quam loquacitati ftudentem. vereor igitur ne opinionem vobis praebeam de re minuta multa me dicere, fi de ebrietate, exigua re, perlongam orationem exprimam. caufa vero haec eft, quod naturalis eius conftitutio fine recta mu-

οὐδ' ἱκανὸν ἐν τοῖς λόγοις ἀπολαβεῖν, μουσικὴ δὲ ἄνευ παιδείας τῆς πάσης οὐκ ἂν αὖ ποτὲ δύναιτο· ταῦτα δὲ παμπόλλων ἐστὶ λόγων. ὁρᾶτε οὖν τί ποιῶμεν, εἰ ταῦτα μὲν ἐάσαιμεν ἐν τῷ παρόντι, μετεκβαῖμεν δ' * εἰς ἕτερόν τινα B νόμων πέρι λόγον.

ΜΕ. Ὦ ξένε Ἀθηναῖε, οὐκ οἶσθ' ἴσως ὅτι τυγχάνει ἡμῶν ἡ ἑστία τῆς πόλεως οὖσα ὑμῶν πρόξενος. ἴσως μὲν οὖν καὶ πᾶσι τοῖς παισίν, ἐπειδὰν ἀκούσωσιν ὅτι τινός εἰσι πόλεως πρόξενοι, ταύτῃ τις εὔνοια ἐκ νέων εὐθὺς ἐνδύεται ἕκαστον ἡμῶν τῶν προξένων τῇ πόλει, ὡς δευτέρᾳ οὔσῃ πατρίδι μετὰ τὴν αὑτοῦ πόλιν· καὶ δὴ καὶ ἐμοὶ νῦν ταὐτὸ τοῦτο ἐγγέγονεν. ἀκούων γὰρ τῶν παίδων *) εὐθύς, εἴ τι μέμφοιντο ἢ καὶ ἐπαινοῖεν * Λακεδαιμόνιοι Ἀθηναίους, C ὡς ἡ πόλις ὑμῶν, ὦ Μέγιλλε, ἔφασαν, ἡμᾶς οὐ καλῶς ἢ καλῶς ἔρρεξε, ταῦτα δὴ ἀκούων καὶ μαχόμενος πρὸς αὐτὰ ὑπὲρ ὑμῶν ἀεὶ πρὸς τοὺς τὴν πόλιν εἰς ψόγον ἄγοντας πᾶσαν εὔνοιαν ἔσχον, καί μοι νῦν ἥ τε φωνὴ προσφιλὴς ὑμῶν τό τε ὑπὸ πολλῶν λεγόμενον, ὡς ὅσοι Ἀθηναίων εἰσὶν ἀγαθοὶ διαφερόντως εἰσὶ τοιοῦτοι, δοκεῖ ἀληθέστατα λέγεσθαι· μόνοι γὰρ ἄνευ ἀνάγκης, αὐτοφυῶς, θείᾳ μοίρᾳ, ἀληθῶς * καὶ οὔτι πλαστῶς εἰσὶν ἀγαθοί. θαῤῥῶν δὴ ἐμοῦ γε ἕνεκα λέγοις ἂν τοσαῦτα ὁπόσα σοι φίλον. D

ΚΛ. Καὶ μήν, ὦ ξένε, καὶ τὸν παρ' ἐμοῦ λόγον ἀκούσας καὶ ἀποδεξάμενος θαῤῥῶν ὁπόσα βούλει λέγε. τῇδε γὰρ ἴσως ἀκήκοας ὡς Ἐπιμενίδης γέγονεν ἀνὴρ θεῖος, ὃς ἦν ἡμῖν οἰκεῖος, ἐλθὼν δὲ πρὸ τῶν Περσικῶν δέκα ἔτεσι πρότερον παρ' ὑμᾶς κατὰ τὴν τοῦ θεοῦ μαντείαν θυσίας τε ἐθύσατό τινας, ἃς ὁ θεὸς ἀνεῖλε, καὶ δὴ καὶ φοβουμένων τὸν * Περσικὸν Ἀθηναίων στόλον εἶπεν ὅτι δέκα μὲν ἐτῶν E οὐχ ἥξουσιν, ὅταν δὲ ἔλθωσιν, ἀπαλλαγήσονται πράξαντες οὐδὲν ὧν ἤλπιζον παθόντες τε ἢ δράσαντες πλείω κακά. τότ' οὖν ἐξενώθησαν ὑμῖν οἱ πρόγονοι ἡμῶν, καὶ εὔ-

*) ἴσ. ἐκ τῶν παίδων.

ficae ratione non magis clare et plene oratione poterit explicari, quam mufica fine univerfo animi cultu; haec autem permultas defiderant orationes. videte igitur quid faciundum, haecne in praesentia mittamus et ad alium de legibus ferendum transeamus fermonem.

Me. O hofpes Athenienfis, non nofti fortaffe, lari noftro familiari cum urbe veftra hofpitium intercedere. fortaffe igitur etiam omnes pueri, quum audiverint cum civitate aliqua hofpitium fibi intercedere, hanc ob caufam benivolentia quadam a teneris ftatim tenentur, quippe qui civitatem cuius hofpites fint alteram patriam fecundum fuam urbem habeant; atque mihi quoque idem hoc nunc accidit. audiens enim a puero ftatim, fi quid vituperarent aut laudarent Lacedaemonii Athenienfes, dicentes: civitas veftra, o Megille, non boni aut boni quid nobis intulit: haec igitur audiens et pugnans adverfus illa pro vobis femper cum eis qui civitatem in vituperationem adducerent omnem habebam benivolentiam. atque mihi nunc vox veftra grata eft et quod multi dicunt, quicumque Athenienfes boni fint, eos infigniter tales effe, id videtur veriffime dici; foli enim nulla neceffitate adftricti, fuapte natura, divina forte, vere, non ficte et fimulate, funt boni. quocirca fidenter mea caufa dic tantum quantum volueris.

Cl. Sane, hofpes, mea quoque oratione audita et accepta fidenter quantumcumque volueris profer. fortaffe enim iam audivifti Epimenidem fuiffe virum divinum, qui quidem nobis propinquus erat; hic decem ante Perficum bellum annis ad vos venit et fecundum dei oraculum facrificia quaedam fecit, quae deus praeceperat, atque etiam formidantibus Athenienfibus Perficam claffem praedixit, intra decem annos non venturos, et quum veniffent, difceffuros effe illos re infecta plura mala perpeffos quam ipfi intuliffent. tum igitur hofpitium vobifcum coniunxerunt maiores noftri, et benivo-

νοιαν ἐκ τόσου ἔγωγε ὑμῖν καὶ οἱ * ἡμέτεροι ἔχουσι 643
γονῆς.

ΑΘ. Τὰ μὲν τοίνυν ὑμέτερα ἀκούειν, ὡς ἔοικεν, ἕτοιμ' ἂν εἴη, τὰ δ' ἐμὰ βούλεσθαι μὲν ἕτοιμα, δύνασθαι δὲ οὐ πάνυ ῥάδια, ὅμως δὲ πειρατέον. πρῶτον δὴ οὖν πρὸς τὸν λόγον ὁρισώμεθα παιδείαν τί ποτ' ἐστὶ καὶ τίνα δύναμιν ἔχει· διὰ γὰρ ταύτης φαμὲν ἰτέον εἶναι τὸν προκεχειρισμένον ἐν τῷ νῦν λόγον ὑφ' ἡμῶν, μέχριπερ ἂν πρὸς τὸν θεὸν ἀφίκηται.

ΚΛ. Πάνυ μὲν οὖν δρῶμεν ταῦτα, εἴπερ σοί γε ἡδύ.

ΑΘ. Λέγοντος * τοίνυν ἐμοῦ τί ποτε χρὴ φάναι παι- B
δείαν εἶναι, σκέψασθαι *) ἂν ἀρέσκῃ τὸ λεχθέν.

ΚΛ. Λέγοις ἄν.

ΑΘ. Λέγω δή, καί φημι τὸν ὁτιοῦν ἀγαθὸν ἄνδρα μέλλοντα ἔσεσθαι τοῦτο αὐτὸ ἐκ παίδων εὐθὺς μελετᾶν δεῖν παίζοντά τε καὶ σπουδάζοντα ἐν τοῖς τοῦ πράγματος ἑκάστοις προσήκουσιν· οἷον τὸν μέλλοντα ἀγαθὸν ἔσεσθαι γεωργὸν ἤ τινα οἰκοδόμον, τὸν μὲν οἰκοδομοῦντά τι τῶν παιδείων οἰκοδομημάτων παίζειν χρή, τὸν δ' αὖ γεωργοῦντα,
* καὶ ὄργανα ἑκατέρῳ σμικρά, τῶν ἀληθινῶν μιμήματα, C
παρασκευάζειν τὸν τρέφοντα αὐτῶν ἑκάτερον, καὶ δὴ καὶ τῶν μαθημάτων ὅσα ἀναγκαῖα προμεμαθηκέναι προμανθάνειν, οἷον τέκτονα μετρεῖν ἢ σταθμᾶσθαι καὶ πολεμικὸν ἱππεύειν παίζοντα ἤ τι τῶν τοιούτων ἄλλο ποιοῦντα **), καὶ πειρᾶσθαι διὰ τῶν παιδιῶν ἐκεῖσε τρέπειν τὰς ἡδονὰς καὶ ἐπιθυμίας τῶν παίδων, οἷ ἀφικομένους αὐτοὺς δεῖ τέλος
ἔχειν. κεφάλαιον δὴ παιδείας λέγομεν * τὴν ὀρθὴν τρο- D
φήν, ἣ τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅτι μάλιστα ἄξει τούτου, ὃ ***) δεήσει γενόμενον ἄνδρ' αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς. ὁρᾶτε οὖν εἰ μέχρι τούτου γε, ὅπερ εἶπον, ὑμῖν ἀρέσκει τὸ λεχθέν.

ΚΛ. Πῶς γὰρ οὔ;

---

*) ἄλλ. σκέψασθε.
**) ἴσ. ποιεῖν.
***) ἴσ. οἷ.

lentiam tam longo e ſpatio erga vos ego noſtrique parentes habemus.

Ath. Vos quidem ad audiendum, ut apparet, prompti eſtis, ego vero voluerim quidem prompte, non facile autem potuerim; attamen conandum eſt. primum igitur ſermoni convenienter definiamus quid ſit cultus, quamque vim habeat; per hunc enim dicimus progrediendum eſſe disputationi a nobis nunc inſtitutae, donec ad deum perveniat.

Cl. Sane quidem ita faciamus, ſiquidem tibi iucundum.

Ath. Dicente igitur me, quid poni oporteat cultum eſſe, conſiderate an dictum placeat.

Cl. Iam dic.

Ath. Dico igitur, et aio virum qui in re quaecumque ſit praeſtans voluerit evadere, hanc ipſam a puero ſtatim oportere colere et per ludum et ſerio ſe exercentem in omnibus ad eam pertinentibus; velut ſi quis praeſtantem ſe agricolam fieri cupiverit vel architectum, hunc pueriles domos per ludum exſtruere oportuerit, illum vero agrum colere, et inſtrumenta utrique parva, verorum imitationes, praeparanda utriusque educatori; quin etiam diſciplinas quae praediſcantur neceſſe eſt diſcere eos oportebit, velut fabrum lignarium metiendi et ad amuſſim exigendi artem et militarem equitandi artem per ludum vel aliud quid eiusdem generis, et conandum eſt per ludum illuc convertere voluptates et cupiditates puerorum quo pervenire eos oportet ut perfecti evadant. ſummam igitur cultus dicimus in recta educatione eſſe, quae ludentis animum in amorem eius maxime adducat, quam asſequi eum oporteat, ut vir exſiſtat in operis ſui virtute perfectus. iam videte, an hactenus, id quod dixi, vobis probetur quod protuli.

Cl. Quidni?

ΑΘ. Μὴ τοίνυν μηδ' ὃ λέγομεν εἶναι παιδείαν ἀόρι-
στον γένηται. νῦν γὰρ ὀνειδίζοντες ἐπαινοῦντές θ' ἑκάστων
τὰς τροφὰς λέγομεν ὡς τὸν μὲν πεπαιδευμένον ἡμῶν ὄντα
τινά, τὸν δὲ ἀπαίδευτον, * ἐνίοτε εἴς τε καπηλείας καὶ E
ναυκληρίας καὶ ἄλλων τοιούτων μάλα πεπαιδευμένων σφό-
δρα ἀνθρώπων *). οὐ γὰρ ταῦτα ἡγουμένων, ὡς ἔοικεν,
εἶναι παιδείαν ὁ νῦν λόγος ἂν εἴη, τὴν δὲ πρὸς ἀρετὴν ἐκ
παίδων παιδείαν, ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ
πολίτην γενέσθαι τέλεον, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπιστάμε-
νον μετὰ δίκης. ταύτην τὴν τροφὴν ἀφορισάμενος * ὁ λό- 644
γος οὗτος, ὡς **) ἐμοὶ φαίνεται, νῦν βούλοιτ' ἂν μόνην
παιδείαν προσαγορεύειν, τὴν δὲ εἰς χρήματα τείνουσαν ἤ τινα
πρὸς ἰσχὺν ἢ καὶ πρὸς ἄλλην τινὰ σοφίαν ἄνευ νοῦ καὶ
δίκης βάναυσόν τ' εἶναι καὶ ἀνελεύθερον καὶ οὐκ ἀξίαν τὸ
παράπαν παιδείαν καλεῖσθαι. ἡμεῖς δὴ μηδὲν ὀνόματι δια-
φερώμεθ' αὐτοῖς, ἀλλ' ὁ νῦν δὴ λόγος ἡμῖν ὁμολογηθεὶς
μενέτω, ὡς οἵ γε ὀρθῶς πεπαιδευμένοι σχεδὸν ἀγαθοὶ γί-
γνονται, καὶ δεῖ δὴ τὴν παιδείαν μηδαμοῦ * ἀτιμάζειν, ὡς B
πρῶτον τῶν καλλίστων τοῖς ἀρίστοις ἀνδράσι παραγιγνόμε-
νον· καὶ εἴ ποτε ἐξέρχεται, δυνατὸν δ' ἐστὶν ἐπανορθοῦ-
σθαι, τοῦτ' ἀεὶ δραστέον διὰ βίου παντὶ κατὰ δύναμιν.

ΚΛ. Ὀρθῶς, καὶ ξυγχωροῦμεν ἃ λέγεις.

ΑΘ. Καὶ μὴν πάλαι γε ξυνεχωρήσαμεν ὡς ἀγαθῶν μὲν
ὄντων τῶν δυναμένων ἄρχειν αὐτῶν, κακῶν δὲ τῶν μή.

ΚΛ. Λέγεις ὀρθότατα.

ΑΘ. Σαφέστερον ἔτι τοίνυν ἀναλάβωμεν τοῦτ' αὐτὸ ὅ
τί ποτε λέγομεν. * καί μοι δι' εἰκόνος ἀποδέξασθε, ἐὰν C
πως δυνατὸς ὑμῖν γένωμαι δηλῶσαι τὸ τοιοῦτον.

ΚΛ. Λέγε μόνον.

ΑΘ. Οὐκοῦν ἕνα μὲν ἡμῶν ἕκαστον αὐτὸν †) τι-
θῶμεν;

ΚΛ. Ναί.

---

*) ἴσ. τοιούτων πράγματα πεπαιδευμένον σφόδρα ἄνθρωπον.

**) γρ. ἐξ ὧν. †) γρ. αὐτῶν.

Ath. Neque tamen id quod dicimus esse cultum infinitum relinquatur. nunc enim exprobrantes et laudantes singulorum educationes dicimus hunc ex nobis excultum esse, illum cultus expertem, licet nonnumquam homines sint in rei cauponiae et nauticae aliarumque id genus negotiis admodum versati, neque enim hunc, ut patet, esse cultum arbitramur nos qui nunc disserimus, sed institutionem a pueritia inchoatam quae virtutem spectet idque efficiat ut idem et perfectus fieri civis cupiat et iuste tam imperare quam parere velit. hanc educationem separans haec oratio, ut mihi videtur, nunc volt solum cultum appellare, eum vero qui ad pecunias spectet vel ad robur aliquod aliamve quam sapientiam a ratione et iustitia seiunctam, sordidum et illiberalem esse dicit nec omnino dignum qui cultus nominetur. nos igitur nequaquam nominis causa inter nos dissideamus, sed ratio quae inter nos nunc convenit maneto, recte excultos fere bonos exsistere, iccircoque cultum nullo modo esse negligendum, quum prima rerum praestantissimarum optimis viris adsit; et si quando excedat possitque corrigi, hoc semper faciundum esse cuique dum vivat pro viribus.

Cl. Recte vero, et concedimus quae dicis.

Ath. Atque etiam dudum concessimus bonos esse qui sibi ipsi imperare possent, malos vero qui non possent.

Cl. Dicis rectissime.

Ath. Itaque clarius etiam repetamus hoc ipsum quid tandem dicamus. atque mihi per imaginem et similitudinem accipite, si forte rem vobis potuerim declarare.

Cl. Dic modo.

Ath. Nonne quemlibet nostrum unum ipsum ponamus?

Cl. Etiam.

ΑΘ. Δύο δὲ κεκτημένον ἐν αὐτῷ ξυμβούλω ἐναντίω τε καὶ ἄφρονε, ὣ προςαγορεύομεν ἡδονὴν καὶ λύπην;

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Πρὸς δὲ τούτοιν ἀμφοῖν αὖ δόξας μελλόντων, οἷν κοινὸν μὲν ὄνομα ἐλπίς, ἴδιον δὲ φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάῤῥος δὲ ἡ * πρὸ τοῦ ἐναντίου. ἐπὶ δὲ πᾶσι D τούτοις λογισμός, ὅ τί ποτ᾽ αὐτῶν ἄμεινον ἢ χεῖρον· ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται.

ΚΛ. Μόγις μέν πως ἐφέπομαι, λέγε μὴν τὸ μετὰ ταῦτα ὡς ἑπομένου.

ΜΕ. Καὶ ἐν ἐμοὶ μὴν ταὐτὸ τοῦτο πάθος ἔνι.

ΑΘ. Περὶ δὴ τούτων διανοηθῶμεν οὑτωσί. θαῦμα μὲν ἕκαστον ἡμῶν ἡγησώμεθα τῶν ζώων θεῖον *), εἴτε ὡς παίγνιον ἐκείνων εἴτε ὡς σπουδῇ τινὶ ξυνεστηκός· οὐ γὰρ δὴ τοῦτό γε γιγνώσκομεν· * τόδε δὲ ἴσμεν, ὅτι ταῦτα τὰ πάθη E ἐν ἡμῖν οἷον νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν ἐναντίαι οὖσαι ἐπ᾽ ἐναντίας πράξεις, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται. μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ξυνεπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην * δ᾽ εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγὴν χρυσῆν 645 καὶ ἱεράν, τῆς πόλεως κοινὸν νόμον ἐπικαλουμένην, τὰς δ᾽ ἄλλας **) σκληρὰς καὶ σιδηρᾶς, τὴν δὲ μαλακὴν ἅτε χρυσῆν οὖσαν ***), τὰς δὲ ἄλλας παντοδαποῖς εἴδεσιν ὁμοίας· δεῖν δὴ τῇ καλλίστῃ ἀγωγῇ τῇ τοῦ νόμου ἀεὶ ξυλλαμβάνειν· ἅτε γὰρ τοῦ λογισμοῦ καλοῦ μὲν ὄντος, πράου δὲ καὶ οὐ βιαίου, δεῖσθαι ὑπηρετῶν αὐτοῦ τὴν ἀγωγήν, ὅπως ἂν ἐν ἡμῖν ****) τὸ χρυσοῦν γένος νικᾷ τὰ ἄλλα γένη. καὶ οὕτω δὴ περὶ * θαυμάτων ὡς ὄντων ἡμῶν ὁ μῦθος ἀρετῆς σε- B σωσμένος ἂν εἴη, καὶ τὸ κρείττω ἑαυτοῦ καὶ ἥττω εἶναι τρόπον τινὰ φανερὸν ἂν γίγνοιτο μᾶλλον ὃ νοεῖ, καὶ ὅτι

---

*) γρ. θεῖον.
**) γρ. ἄλλας δέ.
***) ἴσ. οὖσαν καὶ μονοειδῆ.
****) γρ. ἂν ἡμῖν.

Ath. Dues autem in se habentem consiliarios inter se contrarios et dementes, quos appellamus voluptatem et dolorem?

Cl. Sunt ista.

Ath. Praeter hos vero opiniones futurorum, quibus commune quidem nomen exspectatio, proprium vero metus, quae est futurae aegritudinis sollicita exspectatio, et confidentia quae contrarii est exspectatio. ad omnia autem haec accedit vis ratiocinandi, quid eorum melius sit deteriusve, quae, si commune civitatis decretum est, lex appellatur.

Cl. Vix quodammodo assequor, dic tamen quod deinceps sequitur quasi assequar.

Me. Ego quoque eodem modo affectus sum.

Ath. De his igitur ita cogitemus: imagunculam quemque nostrum habeamus animantium divinorum, ut ludum eorum sive serio quodam studio effictam; neque enim hoc scimus; id autem perspicimus, affectiones illas in nobis tamquam nervos vel funiculos quosdam inesse, qui nos trahant et, quum inter se contrarii sint. ad contrarias inter se actiones huc illuc rapiant, eo ubi separatae virtus et pravitas iaceant. uni enim ratio dicit tractui obsequentem semper nec umquam ab eo discedentem oportere quemque reliquis nervis reniti, et hunc esse rationis ductum aureum et sacrum, communem civitatis legem appellatum, et ceteros duros ac ferreos, illum vero mollem esse quippé qui aureus sit, reliquos autem formas omnis generis referre; oportere igitur pulcherrimum legis ductum semper adiuvare; quippe quum rationis consilium pulchrum quidem sit, sed lene nec violentum, administris indigere eius ductum, ut aureum genus in nobis superet reliqua genera. et ita sane virtutis fabula quae nos imagunculis comparat nervis trahendis servata erit, et perspicuum quodammodo magis fiet quid sibi velit id quod dicimus hominem se

πόλιν καὶ ἰδιώτην, τὸν μὲν λόγον ἀληθῆ λαβόντα ἐν ἑαυτῷ περὶ τῶν ἕλξεων τούτων τούτῳ ἑπόμενον δεῖ ζῆν, πόλιν δὲ ἢ παρὰ θεῶν τινὸς ἢ παρὰ τούτου τοῦ γνόντος ταῦτα λόγον παραλαβοῦσαν, νόμον θεμένην, αὐτῇ τε ὁμιλεῖν καὶ ταῖς ἄλλαις πόλεσιν. οὕτω καὶ κακία δὴ καὶ ἀρετὴ σαφέστερον * ἡμῖν διηρθρωμένον ἂν εἴη· ἐναργεστέρου δ' αὐ- C
τοῦ γενομένου καὶ παιδεία καὶ τἆλλα ἐπιτηδεύματα ἴσως ἔσται μᾶλλον καταφανῆ· καὶ δὴ καὶ τὸ περὶ τῆς ἐν τοῖς οἴνοις διατριβῆς, ὃ *) δοξασθείη μὲν ἂν εἶναι φαύλου πέρι μῆκος πολὺ λόγων περιττὸν εἰρημένον.

ΚΛ. Φανείη δὲ τάχ' ἂν ἴσως τοῦ μήκους γ' αὐτῶν οὐκ ἀπάξιον.

ΑΘ. Εὖ λέγεις, καὶ περαίνωμεν ὅ τιπερ ἂν τῆς γε νῦν διατριβῆς ἄξιον γίγνηται.

ΚΛ. Λέγε δή.

ΑΘ. Προςφέροντες * τῷ θαύματι τούτῳ τὴν μέθην D
ποῖόν τί ποτε αὐτὸ ἀπεργαζόμεθα;

ΚΛ. Πρὸς τί δὲ σκοπούμενος αὐτὸ ἐπανερωτᾷς;

ΑΘ. Οὐδέν πω **) πρὸς ὅ τι, τοῦτο δὲ ὅλως κοινωνῆσαν τούτῳ ποῖόν τι ξυμπίπτει γίγνεσθαι· ἔτι δὲ σαφέστερον ὃ βούλομαι πειράσομαι φράζειν. ἐρωτῶ γὰρ τὸ τοιόνδε· ἆρα σφοδροτέρας τὰς ἡδονὰς καὶ λύπας καὶ θυμοὺς καὶ ἔρωτας ἡ τῶν οἴνων πόσις ἐπιτείνει;

ΚΛ. Πολύ γε.

ΚΘ. Τί δ' αὖ τὰς αἰσθήσεις * καὶ μνήμας καὶ δόξας E
καὶ φρονήσεις; πότερον ὡσαύτως σφοδροτέρας, ἢ πάμπαν ἀπολείπει ταῦτα αὐτόν, ἂν κατακορής τις τῇ μέθῃ γίγνηται;

ΚΛ. Ναί, πάμπαν ἀπολείπει.

ΑΘ. Οὐκοῦν εἰς ταὐτὸν ἀφικνεῖται τὴν τῆς ψυχῆς ἕξιν τῇ τότε, ὅτε νέος ἦν παῖς;

ΚΛ. Τί μήν;

---

*) ἴσ. οὐ.

**) ἴσ. Οὐδέπω.

ipſo et ſuperiorem et inferiorem eſſe, et tam privatum oportere, ſi veram tractuum illorum in ſemet ipſo rationem perceperit, hanc ſequentem vivere, quam civitatem, vel a deo aliquo vel ab illo qui haec noverit rationem adeptam, quam legem conſtituerit, cum ſemet ipſa et cum reliquis civitatibus agere. ita igitur pravitas et virtus clarius nobis diſtinctae erunt; quo quidem magis patefacto etiam cultus ceteraque ſtudia ſine dubio erant magis perſpicua; quin etiam quod ad compotationis ſocietatem attinet, non videbimur de re vili nimis multa et ſupervacanea feciſſe verba.

Cl. Sane videbitur res non indigna eſſe longiore oratione.

Ath. Bene dicis, et perficiamus quicquid ea quae nunc habetur disputatione dignum fuerit.

Cl. Dic igitur.

Ath. Adhibentes miraculo illi ebrietatem quale tandem ipſum reddemus?

Cl. Quorſum vero ſpectans iſtud interrogas?

Ath. Nondum aliquid quodcumque eſt reſpicio, ſed in univerſum quaero illud ſi eius particeps fuerit quale fieri poſſit; etiam clarius id quod volo conabor ſignificare. etenim hoc quaero: vehementioresne voluptates et dolores et iras et amores vini potio intendit?

Cl. Longe vero.

Ath. Quid vero ſenſus et memorias et opiniones et intelligentias? utrum ſimiliter vehementiores, an prorſus haec eum relinquunt, qui ebrietate ſatiatus eſt?

Cl. Vero, prorſus relinquunt.

Ath. Nonne ad eundem redit animi ſtatum quem tum habebat quum puer erat?

Cl. Quidni?

ΑΘ. Ἥκιστα δὴ τότ' ἂν αὐτὸς αὑτοῦ γίγνοιτο ἐγκρατής.

ΚΛ. * Ἥκιστα. 640

ΑΘ. Ἆρ' οὖν πονηρότατος, φαμὲν, ὁ τοιοῦτος;

ΚΛ. Πολύ γε.

ΑΘ. Οὐ μόνον ἄρ', ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνοιτ' ἂν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

ΚΛ. Ἄριστα εἶπες, ὦ ξένε.

ΑΘ. Τούτου δὴ τοῦ ἐπιτηδεύματος ἔσθ' ὅςτις λόγος ἐπιχειρήσει πείθειν ἡμᾶς ὡς χρὴ γεύεσθαι καὶ μὴ φεύγειν παντὶ σθένει κατὰ τὸ δυνατόν;

ΚΛ. Ἔοικεν εἶναι· σὺ γοῦν φῂς καὶ ἕτοιμος ἦσθα νῦν δὴ λέγειν.

ΑΘ. Ἀληθῆ μέντοι μνημονεύεις. * καὶ νῦν γ' εἰμὶ ἕτοιμος, ἐπειδήπερ σφώ γε ἐθελήσειν προθύμως ἔφατον ἀκούειν. B

ΚΛ. Πῶς δ' οὐκ ἀκουσόμεθα; κἂν εἰ μηδενὸς ἄλλου χάριν, ἀλλὰ τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου, εἰ δεῖ ἑκόντα ποτὲ ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν.

ΑΘ. Ψυχῆς λέγεις· ἦ γάρ;

ΚΛ. Ναί.

ΑΘ. Τί δὲ σώματος, ὦ ἑταῖρε, εἰς πονηρίαν, λεπτότητά τε καὶ αἶσχος καὶ ἀδυναμίαν; θαυμάζοιμεν ἂν εἴ ποτέ τις ἑκὼν εἶναι ἐπὶ τὸ τοιοῦτον * ἀφικνεῖται; C

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τί οὖν; τοὺς εἰς τὰ ἰατρεῖα αὐτοὺς βαδίζοντας ἐπὶ φαρμακοποσίᾳ ἀγνοεῖν οἰόμεθα ὅτι μετ' ὀλίγον ὕστερον καὶ ἐπὶ πολλὰς ἡμέρας ἕξουσι τοιοῦτον τὸ σῶμα, οἷον εἰ διὰ τέλους ἔχειν μέλλοιεν, ζῆν οὐκ ἂν δέξαιντο; ἢ τοὺς ἐπὶ τὰ γυμνάσια καὶ πόνους ἰόντας οὐκ ἴσμεν ὡς ἀσθενεῖς εἰς τὸ παραχρῆμα γίγνονται;

ΚΛ. Πάντα ταῦτα ἴσμεν.

ΑΘ. Καὶ ὅτι τῆς μετὰ ταῦτα ὠφελείας ἕνεκα ἑκόντες πορεύονται;

ΚΛ. * Κάλλιστα. D

Ath. Minime igitur tum fuimet ipfius erit potens.

Cl. Minime vero.

Ath. Num igitur peffimus, dicimus, eiusmodi homo?

Cl. Longe vero.

Ath. Non folum igitur, ut patet, fenex bis puer erit, verum etiam ebrius.

Cl. Optime dicis, hofpes.

Ath. Hoc igitur ftudium eftne ratio quae perfuadere nobis conatura fit guftandum, et non omni vi quam maxime fugiendum effe?

Cl. Videtur effe; tu certe ais et promptus eras modo ad dicendum.

Ath. Vera quidem memoras: et nunc fane fum promptus, quandoquidem vos prompto animo audituros effe dixiftis.

Cl. Quidni audituri fimus? etiamfi nullam aliam ob caufam, at propter admirabilem hanc et incredibilem rationem quae ponat ultro aliquando hominem oportere in omnem pravitatem fe ipfum immittere.

Ath. Animi dicis pravitatem: nonne?

Cl. Etiam.

Ath. Quid vero de corporis, amice, pravitate et tenuitate et turpitudine et impotentia? mirabimurne, fi quis fua fponte aliquando ad has acceffierit?

Cl. Quidni?

Ath. Quid igitur? eos qui officinas medicas adeunt medicamenti bibendi caufa ignorare putamus paullo poft et multos per dies tale fe habituros effe corpus, quale fi perpetuo habituri effent, vivere nollent? an eos qui ad exercitationes laboresque aggrediuntur nonne fcimus imbecillos in praesentia fieri?

Cl. Omnia haec fcimus.

Ath. Et utilitatis caufa poft capiendae eos fua fponte ad illa aggredi?

Cl. Optime vero.

ΑΘ. Οὐκοῦν χρὴ καὶ τῶν ἄλλων ἐπιτηδευμάτων πέρι διανοεῖσθαι τὸν αὐτὸν τρόπον;

ΚΛ. Πάνυ γε.

ΑΘ. Καὶ τῆς περὶ τὸν οἶνον ἄρα διατριβῆς ὡςαύτως διανοητέον, εἴπερ ἔνι τοῦτο ἐν τούτοις ὀρθῶς διανοηθῆναι.

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Ἂν ἄρα τινὰ ἡμῖν ὠφέλειαν ἔχουσα φαίνηται μηδὲν τῆς περὶ τὸ σῶμα ἐλάττω, τῇ γε *) ἀρχῇ τὴν σωμασκίαν νικᾷ τῷ τὴν μὲν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή.

ΚΛ. * Ὀρθῶς λέγεις, θαυμάζοιμι δ' ἂν εἴ τι δυναίμεθα τοιοῦτον ἐν αὐτῷ καταμαθεῖν. E

ΑΘ. Τοῦτ' αὐτὸ δὴ νῦν **), ὡς ἔοιχ', ἡμῖν ἤδη πειρατέον φράζειν. καί μοι λέγε· δύο φόβων εἴδη σχεδὸν ἐναντία δυνάμεθα κατανοῆσαι;

ΚΛ. Ποῖα δή;

ΑΘ. Τὰ τοιάδε· φοβούμεθα μέν που τὰ κακά, προςδοκῶντες γενήσεσθαι.

ΚΛ. Ναί.

ΑΘ. Φοβούμεθα δέ γε πολλάκις δόξαν, ἡγούμενοι δοξάζεσθαι κακοὶ πράττοντες ἢ λέγοντές τι τῶν μὴ καλῶν· ὃν δὴ * καὶ καλοῦμεν τὸν φόβον ἡμεῖς γε, οἶμαι δὲ καὶ πάντες, αἰσχύνην. 647

ΚΛ. Τί δ' οὔ;

ΑΘ. Τούτους δὴ δύο ἔλεγον φόβους· ὧν ὁ ἕτερος ἐναντίος μὲν ταῖς ἀλγηδόσι καὶ τοῖς ἄλλοις φόβοις, ἐναντίος δ' ἐστὶ ταῖς πλείσταις καὶ μεγίσταις ἡδοναῖς.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Ἆρ' οὖν οὐκ ἂν †) νομοθέτης καὶ πᾶς οὗ καὶ σμικρὸν ὄφελος, τοῦτον τὸν φόβον ἐν τιμῇ μεγίστῃ σέβει, καὶ καλῶν ††) αἰδῶ τὸ τούτῳ †††) θάῤῥος ἐναντίον ἀναι-

---

*) ἴσ. Πῶς δ' οὔ; ἂν ἄρα — ἐλάττω. ΑΘ. Τῇ γε ἀρχῇ κτλ. **) ἴσ. δὴ νυν. †) ἴσ. οὗ καί. ††) ἴσ. σέβεται καλῶν. †††) ἴσ. καλῶν, τὸ δὲ τούτῳ.

Ath. Nonne oportet etiam de reliquis studiis ita sentiri?

Cl. Sane quidem.

Ath. Et de compotationis societate idem sentiendum est, si hoc in ea recte potest animadverti.

Cl. Quidni? si quidem utilitatem nobis praebere videatur ea quam corporis exercitationes afferant haud minorem.

Ath. Omnino corporis exercitationem superat eo quod haec cum doloribus coniuncta est, illa vero non.

Cl. Recte dicis, mirer vero si quid possimus huiusmodi in ea percipere.

Ath. Hoc igitur ipsum, ut patet, nobis iam conandum est explanare. itaque dic mihi: duasne timorum species fere contrarias inter se possumus cognoscere?

Cl. Quales tandem?

Ath. Has: timemus videlicet mala suspicantes futura.

Cl. Etiam.

Ath. Timemus etiam saepe opinionem, arbitrantes nos pro malis haberi facientes vel dicentes aliquid quod non sit honestum; quem quidem timorem nos quidem vocamus, et arbitror omnes quoque, pudorem.

Cl. Quidni?

Ath. Hoc igitur duos dixi timores, quorum alter contrarius est dolorum reliquorumque timorum, contrarius quoque plurimarum et maximarum voluptatum.

Cl. Rectissime dicis.

Ath. Nonne igitur legis lator et quivis, qui parvi pretii est, hunc timorem maximo in honore habet pudorem eum vocans, confidentiam vero eius contrariam

δειάν τε προςαγορεύει καὶ μέγιστον * κακὸν ἰδίᾳ τε καὶ δη- B
μοσίᾳ πᾶσι νενόμικεν;

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Οὐκοῦν τά τ' ἄλλα πολλὰ καὶ μεγάλα ὁ φόβος ἡμᾶς οὗτος σώζει, καὶ τὴν ἐν τῷ πολέμῳ νίκην καὶ σωτηρίαν ἓν πρὸς ἓν οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται· δύο γὰρ οὖν ἐστὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάῤῥος μὲν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς.

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Ἄφοβον ἡμῶν ἄρα δεῖ γίγνεσθαι καὶ φοβερὸν
ἕκαστον· * ὧν δ' ἑκάτερον ἕνεκα, διῃρήμεθα. C

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ μὴν ἄφοβόν γε ἕκαστον βουληθέντες ποιεῖν, φόβων πολλῶν τινῶν εἰς φόβον *) ἄγοντες αὐτόν, μετὰ νόμου τοιοῦτον ἀπεργαζόμεθα.

ΚΛ. Φαινόμεθα.

ΑΘ. Τί δ' ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης, ἆρ' οὐκ ἀναισχυντίᾳ ξυμβάλλοντας αὐτὸν καὶ προςγυμνάζοντας νικᾶν δεῖ ποιεῖν διαμαχόμενον αὑτοῦ ταῖς ἡδο-
ναῖς; ἢ **) τῇ μὲν διαίτῃ τῇ ἐν αὐτῷ προςμαχόμενον * καὶ D
νικῶντα αὐτὴν δεῖ τέλεον οὕτω γίγνεσθαι πρὸς ἀνδρείαν, ἄπειρος δὲ δήπου καὶ ἀγύμναστος ὢν τῶν τοιούτων ἀγώνων ὁςτισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν; σώφρων δὲ ἆρα τελέως ἔσται μὴ πολλαῖς ἡδοναῖς καὶ ἐπιθυμίαις προτρεπούσαις ἀναισχυντεῖν καὶ ἀδικεῖν διαμεμαχημένος καὶ νενικηκὼς μετὰ λόγου καὶ ἔργου καὶ τέχνης ἔν τε παιδιαῖς καὶ ἐν σπουδαῖς, ἀλλ' ἀπαθὴς ὢν πάντων τῶν τοιούτων;

ΚΛ. Οὔκουν τόν γ' εἰκότα λόγον ἂν ἔχοι.

ΑΘ. * Τί οὖν; φόβου φάρμακον ἔσθ' ὅςτις θεὸς δέ- E
δωκεν ἀνθρώποις, ὥςτε, ὁπόσῳ πλέον ἂν ἐθέλῃ τις πίνειν αὐτοῦ, τοσούτῳ μᾶλλον αὐτὸν νομίζειν καθ' ἑκάστην πόσιν δυςτυχῆ γίγνεσθαι, καὶ φοβεῖσθαι τὰ παρόντα καὶ τὰ μέλ-

---

*) Ισ. θόρυβον.
**) Ισ. ἢ οὔ.

impudentiam appellat maximumque malum privatim et publice omnibus existimat?

Cl. Recte dicis.

Ath. Iam quum in reliquis multis magnisque timor nos hic servat, tum victoriam in bello et salutem, si alterum cum altero comparaveris, nihil tanto opere nobis efficit; duo enim sunt quae victoriam efficiant, fiducia adversus hostes et timor ab amicis turpis infamiae causa.

Cl. Sunt ista.

Ath. Timoris igitur expertem quemque nostrum oportet esse et timidum; et quam ob causam utrumque, explicavimus.

Cl. Sane quidem.

Ath. Iam timoris expertem si quemque reddere volumus, in multorum timorum tumultum eum inducentes talem efficimus.

Cl. Apparet.

Ath. Quid vero quum timidum aliquem efficere volumus iure, nonne cum impudentia eum committentes et in ea exercentes efficere debemus ut adversus voluptates suas pugnans vincat? annon adversus vivendi rationem quam sequebatur pugnantem eumque superantem ita perfectum ipsum fieri oportet ad virtutem, quicumque vero imperitus fuerit nec exercitatus in his certaminibus, ne dimidium quidem virtutis assequetur? temperatus igitur num perfecte erit quisquam qui adversus multas voluptates et cupiditates ad impudentiam et iniustitiam impellentes non dimicaverit nec eas superaverit oratione et re et arte et ioco et serio, sed horum omnium expers fuerit?

Cl. Nequaquam verisimilem hoc habet rationem.

Ath. Quid igitur? timorisne remedium deus aliquis dedit hominibus, ut, quo plus quispiam eius bibat, eo magis se ipsum putet quaque potione infelicem fieri et praesentia et futura sibi omnia timeat, tandemque in

λοντα αὐτῷ πάντα, καὶ τελευτῶντα * εἰς πᾶν δέος ἰέναι τὸν 648
ἀνδρειότατον ἀνθρώπων, ἐκκοιμηθέντα δὲ καὶ τοῦ πώματος ἀπαλλαγέντα πάλιν ἑκάστοτε τὸν αὐτὸν γίγνεσθαι;

ΚΛ. Καὶ τί τοιοῦτον φαῖμεν ἄν, ὦ ξένε, ἐν ἀνθρώποις γεγονέναι πῶμα;

ΑΘ. Οὐδέν· εἰ δ' οὖν ἐγένετό ποθεν, ἔσθ' ὅ τι *) πρὸς ἀνδρείαν ἦν ἂν νομοθέτῃ χρήσιμον; οἷον τὸ τοιόνδε περὶ αὐτοῦ καὶ μάλα εἴχομεν ἂν αὐτῷ διαλέγεσθαι, Φέρε, ὦ νομοθέτα, εἴτε Κρησὶν εἴθ' οἱστισινοῦν νομοθετεῖς, πρῶτον * μὲν τῶν πολιτῶν ἆρ' ἂν δέξαιο βάσανον δυνατὸς εἶναι B
λαμβάνειν ἀνδρείας τε πέρι καὶ δειλίας;

ΚΛ. Φαίη που πᾶς ἂν δῆλον ὅτι.

ΑΘ. Τί δέ; μετ' ἀσφαλείας καὶ ἄνευ κινδύνων μεγάλων, ἢ μετὰ τῶν ἐναντίων;

ΚΛ. Καὶ τοῦτο μετὰ τῆς ἀσφαλείας ξυνομολογήσει πᾶς.

ΑΘ. Χρῷο δ' ἂν εἰς τοὺς φόβους τούτους ἄγων καὶ ἐλέγχων ἐν τοῖς παθήμασιν, ὥστε ἀναγκάζειν ἄφοβον γίγνεσθαι, παρακελευόμενος καὶ νουθετῶν καὶ * τιμῶν, τὸν δὲ C
ἀτιμάζων, ὅστις σοι μὴ πείθοιτο εἶναι τοιοῦτος οἷον σὺ τάττοις **) ἐν πᾶσι; καὶ γυμνασάμενον μὲν εὖ καὶ ἀνδρείως ἀζήμιον ἀπαλλάττοις ἄν, κακῶς δὲ ζημίαν ἐπιτιθεὶς †); ἢ τὸ παράπαν οὐκ ἂν χρῷο, μηδὲν ἄλλο ἐγκαλῶν τῷ πώματι;

ΚΛ. Καὶ πῶς οὐκ ἂν χρῷτο, ὦ ξένε;

ΑΘ. Γυμνασία γοῦν, ὦ φίλε, παρὰ τὰ νῦν θαυμαστὴ ῥαστώνης ἂν εἴη καθ' ἕνα καὶ κατ' ὀλίγους καὶ καθ' ὁπόσους τις ἀεὶ βούλοιτο· καὶ εἴτε τις ἄρα * μόνος ἐν ἐρη- D
μίᾳ, τὸ τῆς αἰσχύνης ἐπίπροσθεν ποιούμενος, πρὶν εὖ σχεῖν ἡγούμενος ὁρᾶσθαι μὴ δεῖν, οὕτω πρὸς τοὺς φόβους γυμνάζοιτο, πῶμα μόνον ἀντὶ μυρίων πραγμάτων παρασκευα-

*) γρ. ὅτε.

**) γρ. τάττεις.

†) ἴσ. ἐπιτιθείης.

omnem metum deveniat fortiſſimus hominum, quum vero edormiverit et potione liberatus fuerit, rurſus ſemper idem exſiſtat?

Cl. Et quamnam huiusmodi dicamus, hoſpes, in hominibus exſtare potionem?

Ath. Nullam vero; ſi autem exſiſteret alicunde eſſetne aliquando ad fortitudinem legis latori utilis? velut hoc de illa ſane poſſimus ei dicere; Age, o legis lator, ſive Cretibus ſive aliis quibuscumque leges rogas, primumne cupiveris civium poſſe periculum facere in fortitudine et ignavia?

Cl. Quisque, ut patet, affirmet.

Ath. Quid? cum ſecuritate et ſine periculis magnis, an contra?

Cl. Hoc quoque cum ſecuritate quisque confitebitur.

Ath. Uterisne igitur ad timores illos ducens et redarguens in perturbationibus, ut timoris eos cogas expertes fieri, adhortans et admonens et honore afficiens, ignominia autem notans eum qui a te non perſuadeatur ut talis ſit qualem tu ponas in omnibus? et qui ſe exercuerit bene ac fortiter, eum impunitum dimittes, qui vero male, eum poena afficies? an omnino non uteris, etiamſi nihil praeterea in potione reprehendas?

Cl. At quidni utatur, hoſpes?

Ath. Exercitatio quidem, amice, ad eas quae nunc ſunt admirabili erit facilitate, ſive unus ſive pauci ſive, quotcumque volueris, ſi exerceant; et ſive quis ſolus in ſolitudine ita adverſus timores ſe exerceat, ut pudore ſe ſubducat, antequam bonum adeptus fuerit habitum, ſeſe non debere arbitrans ſpectandum exhibere, potionem

ζόμενος, ὀρθὸν ἄν τι πράττοι, εἴτε τις ἑαυτῷ πιστεύων φύσει καὶ μελέτῃ καλῶς παρεσκευάσθαι μηδὲν ὀκνοῖ μετὰ ξυμποτῶν πλειόνων γυμναζόμενος ἐπιδείκνυσθαι τὴν ἐν τῇ τοῦ πώματος ἀναγκαίᾳ διαφθορᾷ *) δύναμιν ὑπερθέων καὶ * κρατῶν, ὥςτε ὑπ' ἀσχημοσύνης μηδὲ ἓν σφάλλεσθαι μέγα E μηδ' ἀλλοιοῦσθαι δι' ἀρετήν, πρὸς δὲ τὴν ἐσχάτην πόσιν ἀπαλλάττοιτο πρὶν ἀφικνεῖσθαι, τὴν ἁπάντων ἧτταν φοβούμενος ἀνθρώπων τοῦ πώματος.

ΚΛ. Ναί· σωφρονοῖ **) γάρ, ὦ ξένε, καὶ ὁ τοιοῦτος οὕτω πράττων.

ΑΘ. Πάλιν δὴ πρὸς τὸν νομοθέτην λέγωμεν τάδε, * Εἶεν, ὦ νομοθέτα, τοῦ μὲν δὴ φόβου σχεδὸν οὔτε θεὸς 649 ἔδωκεν ἀνθρώποις τοιοῦτον φάρμακον οὔτε αὐτοὶ μεμηχανήμεθα· τοὺς γὰρ γόητας οὐκ ἐν θοίνῃ λέγω· τῆς δὲ ἀφοβίας καὶ τοῦ λίαν θαῤῥεῖν καὶ ἀκαίρως ἃ μὴ χρή, πότερον ἔστι πῶμα, ἢ πῶς λέγομεν;

ΚΛ. Ἔστι, φήσει που, τὸν οἶνον φράζων.

ΑΘ. Ἦ καὶ τοὐναντίον ἔχει τοῦτο τῷ νῦν δὴ λεγομένῳ; πιόντα τὸν ἄνθρωπον αὐτὸν αὑτοῦ ποιεῖ πρῶτον ἵλεων εὐθὺς μᾶλλον ἢ πρότερον, καὶ ὁπόσῳ * ἂν πλέον αὐτοῦ B γεύηται, τοσούτῳ πλειόνων ἐλπίδων ἀγαθῶν πληροῦται ***) καὶ δυνάμεως εἰς δόξαν, καὶ τελευτῶν δὴ πάσης ὁ τοιοῦτος παῤῥησίας ὡς σοφὸς ὢν μεστοῦται καὶ ἐλευθερίας, πάσης δὲ ἀφοβίας, ὥςτε εἰπεῖν τε ἀόκνως ὁτιοῦν, ὡςαύτως δὲ καὶ πρᾶξαι;

ΚΛ. Πᾶς ἡμῖν, οἶμαι, ταῦτ' ἂν ξυγχωροῖ.

ΜΕ. Τί μήν †);

ΑΘ. Ἀναμνησθῶμεν δὴ τόδε, ὅτι δύ' ἔφαμεν ἡμῶν ἐν ταῖς ψυχαῖς δεῖν θεραπεύεσθαι, τὸ μὲν ὅπως ὅτι μάλιστα θαῤῥήσομεν, τὸ δὲ * τοὐναντίον ὅτι μάλιστα φοβησόμεθα. C

ΚΛ. Ἃ τῆς αἰδοῦς ἔλεγες, ὡς οἰόμεθα.

---

*) ἄλλ. διαφορᾷ.
**) γρ. σωφρονεῖ.
***) ἄλλ. πληροῦσθαι.
†) ἴσ. πρᾶξαι; πᾶς ἡμῖν — ξυγχωροῖ. ΚΛ. Τί μήν;

ſolam pro infinitis rebus praeparans, recte ita faciat, ſive quis ſibimet ipſi confidens natura et exercitatione bene ſe praeparatum eſſe nihil cunctetur cum pluribus compotoribus ſe exercens vim ſuam in neceſſaria commutatione per potionem fieri ſolita oſtendere ſuperans ac vincens, ita ut nulla in re magna indecore fallatur neque propter virtutem de ſtatu demoveatur et ad extremam potionem priusquam perveniatur diſcedat, omnium hominum cladem quam potio afferat pertimeſcens.

Cl. Etiam; temperanter enim, hoſpes, hic quoque faciet.

Ath. Rurſus igitur ad legis latorem convertamur dicentes: Iam timoris quidem, o legis lator, remedium huiusmodi neque deus dedit hominibus neque ipſi excogitavimus; praeſtigiatores enim in convivio non numero, de confidentia vero nimiaque et intempeſtiva audacia, eſtne potio quae hanc efficiat, an quomodo dicimus?

Cl. Eſt vero, dicet ſine dubio, vinum ſignificans.

Ath. Num etiam contraria illa eſt eius quam modo diximus? hominemne bibentem efficit primum hilariorem ſtatim quam ante erat, et quo plus eius guſtat, eo magis ſpe bona impletur et facultate opinata, tandemque omni talis libertate, quaſi ſapiens ſit, repletur, omni audacia et confidentia, ut quidque intrepide et dicat et faciat?

Cl. Quivis nobis, opinor, haec concedet.

Ath. Quidni?

Cl. Revocemus igitur hoc in memoriam, duo nos dixiſſe in animis eſſe colenda, unum hoc, ut quam maxime confideremus, alterum contrarium, ut quam maxime timeremus.

Ath. Quae quidem de pudore dicebas, ut putamus.

ΑΘ. Καλῶς μνημονεύετε. ἐπειδὴ δὲ τήν τε ἀνδρείαν καὶ τὴν ἀφοβίαν ἐν τοῖς φόβοις δεῖ καταμελετᾶσθαι, σκεπτέον ἄρα *) τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη.

ΚΛ. Τό γ' οὖν εἰκός.

ΑΘ. Ἃ παθόντες ἄρα πεφύκαμεν διαφερόντως θαῤῥαλέοι τ' εἶναι καὶ θρασεῖς, ἐν τούτοις δέον ἄν, ὡς ἔοικεν, εἴη τὸ μελετᾶν ὡς ἥκιστα εἶναι ἀναισχύντους τε καὶ θρασύτητος γέμοντας, * φοβεροὺς δὲ εἰς τό τι τολμᾶν ἑκάστοτε D
λέγειν ἢ πάσχειν ἢ καὶ δρᾶν αἰσχρὸν ὁτιοῦν.

ΚΛ. Ἔοικεν.

ΑΘ. Οὐκοῦν ταῦτά ἐστι πάντα ἐν οἷς ἐσμὲν τοιοῦτοι θυμός, ἔρως, ὕβρις, ἀμαθία, φιλοκέρδεια [δειλία], καὶ ἔτι τοιάδε, πλοῦτος, κάλλος, ἰσχύς, καὶ πάνθ' ὅσα δι' ἡδονῆς αὖ μεθύσκοντα παράφρονας ποιεῖ; τούτων δ' εὐτελῆ τε καὶ ἀσινεστέραν πρῶτον μὲν πρὸς τὸ λαμβάνειν πεῖραν, εἶτα εἰς τὸ μελετᾶν, πλὴν τῆς ἐν οἴνῳ βασάνου καὶ παιδιᾶς τίνα ἔχομεν * ἡδονὴν εἰπεῖν ἔμμετρον μᾶλλον, ἂν καὶ ὁπωςτιοῦν E
μετ' εὐλαβείᾳ γίγνηται; σκοπῶμεν γὰρ δή· δυςκόλου ψυχῆς καὶ ἀγρίας, ἐξ ἧς ἀδικίαι μυρίαι γίγνονται, πότερον ἰόντα εἰς τὰ ξυμβόλαια πεῖραν λαμβάνειν, κινδυνεύοντα περὶ αὐτῶν, σφαλερώτερον **), ἢ * ξυγγενόμενον μετὰ τῆς τοῦ 650
Διονύσου θεωρίας; ἢ πρὸς τἀφροδίσια ἡττημένης τινὸς ψυχῆς βάσανον λαμβάνειν, ἐπιτρέποντα αὑτοῦ θυγατέρας τε καὶ υἱεῖς καὶ γυναῖκας †), οὕτως ἐν τοῖς φιλτάτοις κινδυνεύσαντα, ἦθος ψυχῆς θεάσασθαι; καὶ μυρία δὴ λέγων οὐκ ἄν τις ποτε ἀνύσειεν, ὅσῳ διαφέρει τὸ μετὰ παιδιᾶς τὴν ἄλλως ἄνευ μισθοῦ ζημιώδους θεωρεῖν. καὶ δὴ καὶ τοῦτο μὲν αὐτὸ περί γε τούτων οὔτ' ἂν Κρῆτας οὔτ' ἄλλους ἀνθρώπους * οὐδένας οἰόμεθα ἀμφιςβητῆσαι, μὴ οὐ πεῖράν B
τε ἀλλήλων ἐπιεικῆ ταύτην εἶναι τό τε τῆς εὐτελείας καὶ ἀσφαλείας καὶ τάχους διαφέρειν πρὸς τὰς ἄλλας βασάνους.

---

*) ἄλλ. ἄρα. ἴσ. ἄρα εἰ.
**) ἴσ. ἀσφαλέστερον.
†) ἴσ. γυναῖκα.

Ath. Probe meminiſtis. quandoquidem vero fortitudinem animumque a timore alienum in timoribus oportet exerceri, conſiderandum eſt an contrarium contrariis excolere conveniat.

Cl. Conſentaneum quidem eſt.

Ath. In quibus igitur affectionibus natura ſumus inſigniter confidentes et audaces, in his, ut patet, neceſſaria erit exercitatio, ut quam minime ſimus impudentes et audacia referti, ſed timidi ad turpe quid dicendum vel patiendum vel etiam faciendum.

Cl. Videtur vero.

Ath. Nonne haec ſunt omnia in quibus tales ſumus ira, amor, petulantia, inſcitia, lucri cupiditas [ignavia], et praeterea haec: divitiae, pulchritudo, robur et omnia quae per voluptatem ebrietatem inducentia dementes nos reddunt? horum autem ſi primum periculum volueris facere leve et innocens et deinde exercitationem inſtituere, praeter vini probationem et ludum quamnam habemus voluptatem dicere magis concinnam, ſi ullo modo cautio adhibeatur? videamus enim: difficilem animum et agreſtem, e quo innumerabiles iniuriae exſiſtunt utrum tutius in negotio gerendo tentare ita ut periculum ſubeas, an in compotatione Bacchi diebus feſtis inſtituta? an animum rebus Venereis ſuccumbentem explorare ita ut filias tuas et filios et uxores ei committas tibique cariſſima in periculum adducas animi indolis ſpectandae cauſa? et innumera ſane proferens numquam ſatis explicaveris, quanto praeſtantius ſit per ludum et iocum tantummodo ſine mercede damnoſa eam ſpectare. atque etiam hoc ipſum hac in re neque Cretes neque alias ullos homines arbitramur dubitaturos eſſe quin probatio haec mutua ſit accommodata et facilitate, ſecuritate et celeritate reliquis praeſtet tentationibus.

ΚΛ. Ἀληθὲς τοῦτό γε.

ΑΘ. Τοῦτο μὲν ἄρ' ἂν τῶν χρησιμωτάτων ἓν εἴη, τὸ γνῶναι τὰς φύσεις τε καὶ ἕξεις τῶν ψυχῶν τῇ τέχνῃ ἐκείνῃ ἧς ἐστὶ ταῦτα θεραπεύειν· ἔστι δέ που, φαμέν, ὡς οἶμαι, πολιτικῆς· ἢ γάρ;

ΚΛ. Πάνυ μὲν οὖν.

Cl. Verum hoc sane.

Ath. Hoc igitur unum erit utilissimorum, cognoscere naturas habitusque animorum arte illa cuius est haec curare; est autem, dicimus, ut opinor, artis civilis; nonne?

Cl. Sane quidem.

LIBER SECUNDUS.

Compotatio vero non solum ad hominum ingenium moresque explorandos accommodata est, sed maiorem etiam utilitatem habet; de qua antequam exponitur, recta institutionis ratio explicatur. Educatio est disciplina, quae ad voluptates doloresque moderandos ac regendos spectat, ut, quae expetenda sunt, expetere et quae fugienda, fugere assuescamus; ex qua, quum ratio liberaque animi assensio accessit, virtus efflorescit. Quoniam vero, quae educatio et lex praescribunt, ea saepissime in hominum vita pervertuntur, dii, humani generis misericordia commoti, ad legem modumque servandum et mores depravatos corrigendos saltationem festam instituerunt cum musica et compotatione coniunctam, hominesque quo reliqua carent animalia, harmoniae sensu donaverunt (655). Prima igitur educatio in saltatione cantuque versatur, et perfecta ex acri elimatoque pulchri sensu constat. Pulchrum in saltatione et cantu nihil aliud est nisi id, quod vel ad animi vel ad corporis praestantiam spectat, turpe autem id, quod sensibus tantummodo et voluptati blanditur. Atque si diversa sunt hominum de pulchro et turpi iudicia, huius rei causa non ipsum pulchrum vel turpe haberi potest, sed prava hominum vel natura vel consuetudo, qua quidem fit ut, quamvis turpe vituperent, eo tamen delectentur; inhonesto autem si homines assuescunt, sensim istud ita amplectuntur, ut, quod gravissimam civitati pestem infert, postremo ei similes fiant. Quocirca licentiam istam quidlibet fingendi civitas bene morata legibus coërcebit; quod in Aegypto factum esse constat, ubi leges certae poëtis, musicis, pictoribus, aliis scriptae

sunt, quas migrare vel novare nefas habetur (658). Falsa vero eorum est sententia, qui artibus musicis nihil praeter voluptatem propositum esse dicunt, ut, quo quaeque magis delectet, eó melior existimari debeat. Nam si ex voluptate quam creànt aestimare eas volueris, de hac ipsa in diversas homines sententias discedentes reperies, propterea quod tam varià sunt pro aetate, sexu et moribus hominum ingenia, ut alii aliis delectentur. Quid igitur pulchrum censebis? Ergo hoc tantummodo quo viri optimi elegantissimique laetantur, pulchrum erit (660). — Iudicem autem in rebus ad Musas spectantibus oportet et ingenio exculto et animo forti esse, ut per se pulchrum diiudicare simulque artificibus multitudinem voluptate permulcentibus repugnare possit; etenim si iudicium hac in re multitudini imperitae conceditur, fieri non potest quin mores magis magisque depraventur, quoniam poëta vel musicus multitudinis plausum quaerens eiusmodi res finget, quae sensibus blandiantur, non, quae mores corrigant. Quocirca leges poëtis ac musicis scribantur necesse est. Poëtae una sola virtus proposita erit, homines probos iustosque finget, eorumque felicitatem veram ac propriam praedicabit. Sola videlicet virtus et quae cum ea coniuncta sunt bona dici possunt, ipsaque voluptas a virtute separari nequit; alioquin vel in una voluptate beatam vitam poni oporteret (quod si ita esset, virtutis studio supersedere possemus), vel iustitia, etiam seiuncta a iucunditate, iucunda dici deberet (664). Diverse quidem etiam de hoc genere homines sentiunt, prout vel ex iusto vel ex iniusto rem spectant; sed quia nemo potest nisi qui iustus est hoc recte iudicare, hic autem vitam improbam non solum turpiorem ac peiorem, verum etiam insuaviorem habebit, efficitur, iustitiam et virtutem reliquis omnibus praestare. Quapropter legum lator inprimis curabit, ut hac in sententia omnes inter se cives concinant, et tam pueri atque adolescentes quam senio-

res carminibus choricis ſententiam illam celebrent, unam et eandem eſſe vitam iuſtam et iucundam. (666). Quia vero ſeniores coram hominum multitudine canere verebuntur, vinum quo reliqui ſe abstinebunt, adhibendum erit, ut ſenectutis ſeveritas et acerbitas mitigetur, ipſique ſenes ad canendum inter familiares reddantur faciliores (668). Iam ſi quaeritur, quodnam carminum genus ſenes deceat, ante, quid poëſi et in univerſum muſicae propoſitum ſit, exponi debet. Quae iucunda vocamus, ea vel ſola iucunditate voluptateque vel veritate vel utilitate nituntur; velut alimenta per ſe iucunda et, ſi ſalubria, etiam vera, recta et utilia ſunt; doctrina per ſe iucunda et, ſi ad verum ſpectat, etiam vera et utilis eſt; pariter artes imitatrices voluptatem reſpiciunt, earumque veritas ſimilitudine nititur, ut ſola voluptate iudicari non debeant. Eadem eſt poëſis et muſicae ratio, quae in artium imitatricium numero ſunt. In omnibus vero, quae imitando efficta ſunt, primum, quid ſit illud, quod imitatione expreſſum ſit, cognoſcere, deinde an vere, denique, pulchrene artifex finxerit, conſiderare nos oportet. Pluribus deinceps de artium inter ſe natura coniunctarum ſeparatione poëſisque ac muſicae depravatione ſubiectis, ſenes docet in muſica praecipue numeri et harmoniae peritos eſſe debere, ut carmina cantusque iudicare et, quae ſibimet ipſis maxime conveniant quibusque iuventutem erudiant, poſſint eligere. Atque quum vino animus molliatur ita ut facilius regi poſſit, compotatio maxime idonea eſt ad iuventutem educandam eiusque audaciam luxuriantem compeſcendam. Quapropter legis lator compotationis leges dabit ad verecundiam illam turpitudinis ſpectantes (673). Itaque vinum, quod alii inſaniae cauſa hominibus eſſe tributum dicunt, pro optimo verecundiae, ſanitatis roborisque remedio haberi oportet, et, ſi fines certi terminique conſtituantur, cauſa non eſt cur eius uſus reprobetur.

B.

Τὸ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, σκεπτέον ἐκεῖνο περὶ αὐ- 652a
τῶν, πότερα τοῦτο μόνον ἀγαθὸν ἔχει, τὸ κατιδεῖν πῶς ἔχο-
μεν τὰς φύσεις, ἢ καί τι μέγεθος ὠφελείας ἄξιον πολλῆς
σπουδῆς ἔνεστι ἐν τῇ κατ' ὀρθὸν χρείᾳ τῆς ἐν οἴνῳ ξυνου-
σίας. τί οὖν δὴ λέγομεν; ἔνεσθ', ὡς ὁ λόγος ἔοικε βούλε-
σθαι σημαίνειν· ὅπῃ δὲ καὶ ὅπως, ἀκούωμεν προσέχοντες
τὸν νοῦν, * μή πῃ παραποδισθῶμεν ὑπ' αὐτοῦ. B

ΚΛ. Λέγ' οὖν.

ΑΘ. Ἀναμνησθῆναι τοίνυν ἔγωγε πάλιν ἐπιθυμῶ τί
ποτε λέγομεν ἡμῖν εἶναι τὴν ὀρθὴν παιδείαν· * τούτου γάρ, 653
ὥς γ' ἐγὼ τοπάζω τὰ νῦν, ἔστιν ἐν τῷ ἐπιτηδεύματι τούτῳ
καλῶς κατορθουμένῳ σωτηρία.

ΚΛ. Μέγα λέγεις.

ΑΘ. Λέγω τοίνυν τῶν παίδων παιδικὴν εἶναι πρώτην
αἴσθησιν ἡδονὴν καὶ λύπην, καὶ ἐν οἷς ἀρετὴ ψυχῇ καὶ
κακία παραγίγνεται πρῶτον, ταῦτ' *) εἶναι· φρόνησιν δὲ
καὶ ἀληθεῖς δόξας βεβαίους, εὐτυχὴς **) ὅτῳ καὶ πρὸς τὸ γῆ-
ρας παρεγένετο. τέλεος δ' οὖν ἔστιν ἄνθρωπος ταῦτα καὶ
τὰ ἐν τούτοις πάντα κεκτημένος * ἀγαθά. παιδείαν δὴ λέ- B
γω τὴν παραγιγνομένην πρῶτον παισὶν ἀρετήν, ἡδονὴ δὲ
καὶ φιλία καὶ λύπη καὶ μῖσος ἂν ὀρθῶς ἐν ψυχαῖς ἐγγί-
γνωνται μήπω δυναμένων λόγον ***) λαμβάνειν, λαβόντων

---

*) ἄλλ. παραγίγνεται, πρῶτον τοῦτ'.
**) γρ. εὐτυχές.
***) γρ. λόγῳ.

II.

Deinceps vero, ut videtur, videndum est de illis, hocne solum bonum habeant ut cognoscamus quomodo natura simus comparati, an etiam magna quaedam utilitas multo studio digna in recto compotationis usu. quid igitur dicimus? inest, ut oratio videtur significare; quomodo vero insit, audiamus attendentes animos, ut ne ab eo deludamur.

Cl. Dic igitur.

Ath. In memoriam a vobis rursus revocari cupio quid tandem dicamus nobis esse rectam institutionem; huius enim, ut equidem nunc coniicio, in studio illo, si recte exercetur, consistit salus.

Cl. Magnum vero dicis.

Ath. Dico igitur puerorum puerilem esse primum sensum voluptatem et dolorem, et in quibus virtus animis atque vitiositas innascantur primum, haec esse; prudentia vero veraeque opiniones stabiles cui etiam in senectute contingunt, is beatus. perfectus autem est homo qui haec et quae in his insunt omnia bona adipiscitur. disciplinam igitur dico virtutem quam pueri primam nanciscantur, voluptas videlicet et amicitia et dolor et odium si recte eorum animis ingenerentur, quo tempore nondum rationem percipiant, hanc vero quum

δὲ τὸν λόγον ξυμφωνήσωσι τῷ λόγῳ, ὀρθῶς εἰθίσθαι ὑπὸ
τῶν προσηκόντων ἐθῶν. αὐτῆς θ' †) ἡ ξυμφωνία ξύμπα-
σα μὲν ἀρετή, τὸ δὲ περὶ τὰς ἡδονὰς καὶ λύπας τεθραμμέ-
νον αὐτῆς ὀρθῶς, ὥστε μισεῖν μὲν ἃ χρὴ μισεῖν εὐθὺς ἐξ
ἀρχῆς μέχρι * τέλους, στέργειν δὲ ἃ χρὴ στέργειν, τοῦτ' C
αὐτὸ ἀποτεμὼν τῷ λόγῳ καὶ παιδείαν προσαγορεύων κατά
γε τὴν ἐμὴν ὀρθῶς ἂν προσαγορεύοις.

ΚΛ. Καὶ γάρ, ὦ ξένε, ἡμῖν καὶ τὰ πρότερον ὀρθῶς
σοι παιδείας πέρι καὶ τὰ νῦν εἰρῆσθαι δοκεῖ.

ΑΘ. Καλῶς τοίνυν· τούτων γὰρ δὴ τῶν ὀρθῶς τε-
θραμμένων ἡδονῶν καὶ λυπῶν παιδειῶν οὐσῶν χαλᾶται τοῖς
ἀνθρώποις καὶ διαφθείρεται τὰ πολλὰ ἐν τῷ βίῳ, θεοὶ δὲ
οἰκτείραντες τὸ * τῶν ἀνθρώπων ἐπίπονον πεφυκὸς γένος D
ἀναπαύλας τε αὐτοῖς τῶν πόνων ἐτάξαντο τὰς τῶν ἑορτῶν
ἀμοιβὰς [τοῖς θεοῖς] καὶ Μούσας Ἀπόλλωνά τε μουσηγέτην
καὶ Διόνυσον ξυνεορταστὰς ἔδοσαν, ἵν' ἐπανορθῶνται τὰς
γενομένας τροφὰς ἐν ταῖς ἑορταῖς μετὰ θεῶν. ὁρᾶν οὖν
χρὴ πότερον ἀληθὴς ἡμῖν κατὰ φύσιν ὁ λόγος ὑμνεῖται τὰ
νῦν, ἢ πῶς. φησὶ δὲ τὸ νέον ἅπαν, ὡς ἔπος εἰπεῖν, τοῖς
τε σώμασι καὶ ταῖς φωναῖς ἡσυχίαν ἄγειν οὐ δύνασθαι, κι-
νεῖσθαι * δὲ ἀεὶ ζητεῖν καὶ φθέγγεσθαι, τὰ μὲν ἀλλόμενα E
καὶ σκιρτῶντα, οἷον ὀρχούμενα μεθ' ἡδονῆς καὶ προσπαί-
ζοντα, τὰ δὲ φθεγγόμενα πάσας φωνάς. τὰ μὲν οὖν ἄλλα
ζῷα οὐκ ἔχειν αἴσθησιν τῶν ἐν ταῖς κινήσεσι τάξεων οὐδὲ
ἀταξιῶν, οἷς δὴ ῥυθμὸς ὄνομα καὶ ἁρμονία· ἡμῖν δὲ οὓς
εἴπομεν θεοὺς *) ξυγχορευτὰς δεδόσθαι, * τούτους εἶναι 654
καὶ τοὺς δεδωκότας τὴν ἔνρυθμόν τε καὶ ἐναρμόνιον αἴσθη-
σιν μεθ' ἡδονῆς, ᾗ δὴ κινεῖν τε ἡμᾶς καὶ χορηγεῖν ἡμῖν **)
τούτους, ᾠδαῖς τε καὶ ὀρχήσεσιν ἀλλήλους ξυνείροντας, χο-
ρούς τε ὠνομακέναι τὸ παρὰ ***) τῆς χαρᾶς ἔμφυτον ὄνο-
μα. πρῶτον δὴ τοῦτο ἀποδεξώμεθα· θῶμεν παιδείαν εἶναι
πρώτην διὰ Μουσῶν τε καὶ Ἀπόλλωνος; ἢ πῶς;

---

†) ἴσ. αὕτη δ'.
*) ἄλλ. τοὺς θεούς.
**) ἄλλ. ἡμῶν.
***) ἄλλ. ὠνομακέναι παρά.

perceperint ei asſentiantur intelligentes recte ſe imbutos eſſe convenientibus moribus. haec autem asſenſio universa eſt virtus, partem vero eius ad voluptates et dolores recte educatam, ita ut odium habeant eius cuius odium haberi oportet ſtatim ab initio ad finem, diligant vero quae diligi oportet, hanc ipſam oratione ſeparans et disciplinam appellans mea quidem ſententia recte appellaveris.

Cl. Nobis vero, hoſpes, et antea et nunc de diſciplina a te prolata recte videntur dicta eſſe.

Ath. Praeclare igitur; de his videlicet recte excultis voluptatibus et doloribus, quae quidem diſciplinae ſunt, maximam partem illae ab hominibus remittuntur ac pervertuntur in vita; dii vero hominum generis natura laborioſi miſeratione permoti remiſſiones eius laborum conſtituerunt dierum feſtorum viciſſitudines et Muſas, Apollinem Muſarum ducem et Bacchum celebritatis ſocios attribuerunt, ut educationem inter dies ſolemnes deorum auxilio corrigerent. videndum igitur verusne nobis ſecundum naturam ſermo nunc celebretur, an quomodo. dicit autem, quicquid fere iuvenile ſit, id neque corpore neque voce poſſe quieſcere, ſed moveri ſemper cupere vocemque mittere, partim ſaliens et exſultans, tamquam ſaltans cum voluptate atque iocans, partim omnes emittens voces. ac reliquos quidem animantes nullum habere ſenſum ordinum in motionibus conſpicuorum qui rhythmus et harmonia dicuntur, et perturbationum, nobis autem, quos diximus deos ſaltationis ſocios tributos eſſe, hos etiam eſſe qui rhythmi et harmoniae ſenſum cum voluptate coniunctum dederint, quo quidem excitent nos chorosque ducant illi, carminibus et ſaltationibus nos invicem copulantes, chorique nomen a laetitia ductum illis impoſuerint. primum igitur hoc accipiamus: ponamus diſciplinam eſſe primam per Muſas et Apollinem; an quomodo?

ΚΛ. Οὕτως.

ΑΘ. Οὐκοῦν ὁ μὲν ἀπαίδευτος ἀχόρευτος ἡμῖν ἔσται, τὸν δὲ πεπαιδευμένον * ἱκανῶς κεχορευκότα θετέον; B

ΚΛ. Τί μήν;

ΑΘ. Χορεία γε μὴν ὄρχησίς τε καὶ ᾠδὴ τὸ ξύνολόν ἐστιν.

ΚΛ. Ἀναγκαῖον.

ΑΘ. Ὁ καλῶς ἄρα πεπαιδευμένος ᾄδειν τε καὶ ὀρχεῖσθαι δυνατὸς ἂν εἴη καλῶς.

ΚΛ. Ἔοικεν.

ΑΘ. Ἴδωμεν δὴ τί ποτ' ἐστὶ τὸ νῦν αὖ λεγόμενον.

ΚΛ. Τὸ ποῖον δή;

ΑΘ. Καλῶς ᾄδει, φαμέν, καὶ καλῶς ὀρχεῖται πότερον εἰ καὶ καλὰ ᾄδει καὶ καλὰ ὀρχεῖται; * προςθῶμεν, ἢ μή; C

ΚΛ. Προςθῶμεν.

ΑΘ. Τί δ'; ἂν τὰ καλά τε ἡγούμενος εἶναι καλὰ καὶ τὰ αἰσχρὰ οὕτως αὐτοῖς χρῆται, βέλτιον ὁ τοιοῦτος πεπαιδευμένος ἡμῖν ἔσται τὴν χορείαν τε καὶ μουσικήν, ὃς *) ἂν τῷ μὲν σώματι καὶ τῇ φωνῇ τὸ διανοηθὲν εἶναι καλὸν ἱκανῶς ὑπηρετεῖν δυνηθῇ ἑκάστοτε, χαίρῃ δὲ μὴ τοῖς καλοῖς μηδὲ μισῇ τὰ μὴ καλά; ἢ κεῖνος ὃς ἂν τῇ μὲν φωνῇ καὶ τῷ σώματι μὴ πάνυ δυνατὸς ᾖ κατορθοῦν * ἢ διανοεῖσθαι, D τῇ δὲ ἡδονῇ καὶ λύπῃ κατορθοῖ, τὰ μὲν ἀσπαζόμενος, ὅσα καλά, τὰ δὲ δυσχεραίνων, ὁπόσα μὴ καλά;

ΚΛ. Πολὺ τὸ διαφέρον, ὦ ξένε, λέγεις τῆς παιδείας.

ΑΘ. Οὐκοῦν εἰ μὲν τὸ καλὸν ᾠδῆς τε καὶ ὀρχήσεως πέρι γιγνώσκομεν τρεῖς ὄντες, ἴσμεν καὶ τὸν πεπαιδευμένον τε καὶ ἀπαίδευτον ὀρθῶς· εἰ δὲ ἀγνοοῦμέν γε τοῦτο, οὐδ' εἴτις παιδείας ἐστὶ φυλακὴ καὶ ὅπου διαγιγνώσκειν ἄν ποτε δυναίμεθα· ἆρ' οὐχ * οὕτως; E

ΚΛ. Οὕτω μὲν οὖν.

---

*) γρ. ἢ ὅς.

Cl. Ita:

Ath. Nonne igitur incultus a choro alienus nobis erit, excultus vero in choreis satis versatus est ponendus?

Cl. Quidni?

Ath. Chorea autem in universum saltatio et cantus est.

Cl. Necessario.

Ath. Bene ergo institutus canere et saltare bene poterit.

Cl. Patet vero.

Ath. Videamus autem quid tandem sit id quod nunc rursus prolatum est.

Cl. Quidnam istud?

Ath. Bene canit, dicimus, et bene saltat utrum etiam si bona et honesta sunt quae canit et saltat? addamus hoc, necne?

Cl. Addamus vero.

Ath. Quid? si honesta existimans esse honesta et turpia turpia ita eis utitur, melius hic institutus nobis erit ad choream et musicam, qui corpore quidem et voce quicquid honestum esse comprehenderit satis possit exhibere, honestis autem non gaudeat neque odium habeat inhonestorum? an is qui voce quidem et corpore non satis possit imitando assequi vel mente comprehendere, voluptate autem et dolore recte assequatur, amplectens quidem quaecumque pulchra, repudians vero quaecumque non pulchra?

Cl. Magnum, hospes, dicis disciplinae discrimen.

Ath. Quocirca si pulchrum in cantu et saltatione cognoscimus nos qui tres sumus, scimus quoque qui recte dicatur excultus et incultus; sin autem hoc ignoraverimus, nec ecquae disciplinae conservatio sit et ubi, perspicere umquam potuerimus; nonne res sic se habet?

Cl. Sic vero.

ΑΘ. Ταῦτ' ἄρα μετὰ τοῦθ' ἡμῖν αὖ, καθάπερ κυσὶν ἰχνευούσαις, διερευνητέον, σχῆμά τε καλὸν καὶ μέλος καὶ ᾠδὴν καὶ ὄρχησιν. εἰ δὲ ταῦθ' ἡμᾶς διαφυγόντα οἰχήσεται, μάταιος ὁ μετὰ ταῦθ' ἡμῖν περὶ παιδείας ὀρθῆς εἴθ' Ἑλληνικῆς εἴτε βαρβαρικῆς λόγος ἂν εἴη.

ΚΛ. Ναί.

ΑΘ. Εἶεν, τί δὲ δὴ τὸ καλὸν χρὴ φάναι σχῆμα ἢ μέλος εἶναί ποτε; φέρε, ἀνδρικῆς ψυχῆς ἐν πόνοις ἐχομένης *) καὶ δειλῆς ἐν τοῖς αὐτοῖς τε καὶ ἴσοις * ἆρ' ὅμοια τά τε 655
σχήματα καὶ τὰ φθέγματα ξυμβαίνει γίγνεσθαι;

ΚΛ. Καὶ πῶς, ὅτε γε μηδὲ τὰ χρώματα;

ΑΘ. Καλῶς γε, ὦ ἑταῖρε· ἀλλ' ἐν γὰρ μουσικῇ καὶ σχήματα μὲν καὶ μέλη ἔνεστι, περὶ ῥυθμὸν καὶ ἁρμονίαν οὔσης τῆς μουσικῆς· ὥστε εὔρυθμον μὲν καὶ εὐάρμοστον, εὔχρων δὲ μέλος ἢ σχῆμα οὐκ ἔστιν ἀπεικάσαντα, ὥσπερ οἱ χοροδιδάσκαλοι ἀπεικάζουσιν, ὀρθῶς φθέγγεσθαι· τὸ δὲ τοῦ δειλοῦ τε καὶ ἀνδρείου σχῆμα ἢ μέλος ἔστι τε καὶ * ὀρθῶς B
προσαγορεύειν ἔχει τὰ μὲν τῶν ἀνδρείων καλά, τὰ δὲ τῶν δειλῶν αἰσχρά. καὶ ἵνα δὴ μὴ μακρολογία πολλή τις γίγνηται περὶ ταῦθ' ἡμῖν, ἅπαντα ἁπλῶς ἔστω τὰ μὲν ἀρετῆς ἐχόμενα ψυχῆς ἢ σώματος, εἴτε αὐτῆς εἴτε τινὸς εἰκόνος, ξύμπαντα σχήματά τε καὶ μέλη καλά, τὰ δὲ κακίας αὖ τοὐναντίον ἅπαν.

ΚΛ. Ὀρθῶς τε προκαλεῖ καὶ ταῦθ' ἡμῖν οὕτως ἔχειν ἀποκεκρίσθω τὰ νῦν.

ΑΘ. Ἔτι δὲ **) τόδε· πότερον ἅπαντες πάσαις χορείαις * ὁμοίως χαίρομεν, ἢ πολλοῦ δεῖ; C

ΚΛ. Τοῦ παντὸς μὲν οὖν.

ΑΘ. Τί ποτ' ἂν οὖν λέγωμεν ***) τὸ πεπλανηκὸς ἡμᾶς εἶναι; πότερον οὐ ταὐτά ἐστιν ἡμῖν καλὰ πᾶσιν, ἢ τὰ μὲν ταὐτά †), ἀλλ' οὐ δοκεῖ ταὐτὰ εἶναι; οὐ γάρ που ἐρεῖ γέ τις ὥς ποτε τὰ τῆς κακίας ἢ ἀρετῆς καλλίονα χορεύματα,

---

*) γρ. ἐρχομένης.
**) γρ. δή.
***) ἴσ. λέγομεν.
†) ἀλλ. αὐτά.

Ath. Haec igitur deinceps nobis, velut canibus investigantibus, perſcrutanda, geſtus honeſtus et modus et cantus et ſaltatio. quae quidem ſi nos fugient, irrita erit quam deinceps de diſciplina recta ſive Graeca ſive barbara habebimus disputatio.

Cl. Etiam.

Ath. Iam quemnam dici oportet pulchrum geſtum vel modum eſſe? age, virilis animi laboribusque vexati et ignavi in iisdem et aequalibus laboribus verſantis num ſimiles geſtus et voces ſolent eſſe?

Cl. At quomodo, quum nec colores?

Ath. Recte vero, amice; at enim in muſica et geſtus et modi inſunt, quum in numero et harmonia verſetur muſica: ut numeroſus quidem et harmonicus recte dici poſſit modus vel geſtus, bene vero coloratum appellare nequeas ſimilitudinem illam adhibens qua chori magiſtri utuntur; ignavi vero et fortis geſtus ac modus et eſt et recte appellatur huius quidem pulcher, illius vero turpis. atque ne longi ſimus in hac re exponenda, omnes ad unum geſtus modique virtuti convenientes animi vel corporis, ſive ipſius ſive imaginis alicuius, ſimpliciter ſunto pulchri, vitioſitatem vero exprimentes omnes contrarii.

Cl. Recte admones et haec nobis ſic ſe habere nunc eſto reſponſum.

Ath. Praeterea hoc: utrum omnes omnibus choreis pariter gaudemus, an multum abeſt?

Cl. Multum vero.

Ath. Quid igitur putamus in errorem nos inducere? utrum non eadem ſunt nobis honeſta omnibus, an haec quidem eadem, nobis vero non videntur eadem eſſe? neque enim quisquam dixerit ſaltationes vitioſitatem exhibentes pulchriores eſſe quam quae virtutem exprimant,

οὐδ' ὡς αὐτὸς μὲν χαίρει τοῖς τῆς μοχθηρίας σχήμασιν, οἱ
δ' ἄλλοι ἐναντίᾳ ταύτης Μούσῃ τινί. καίτοι λέγουσί γε οἱ
πλεῖστοι μουσικῆς ὀρθότητα εἶναι τὴν ἡδονὴν * ταῖς ψυχαῖς D
πορίζουσαν δύναμιν. ἀλλὰ τοῦτο μὲν οὔτε ἀνεκτὸν οὔτε
ὅσιον τὸ παράπαν φθέγγεσθαι· τόδε δὲ μᾶλλον εἰκὸς πλα-
νᾶν ἡμᾶς.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ἐπειδὴ μιμήματα τρόπων ἐστὶ τὰ περὶ τὰς χο-
ρείας, ἐν πράξεσί τε παντοδαπαῖς γιγνόμενα καὶ τύχαις καὶ
ἤθεσι καὶ μιμήμασι διεξιόντων ἑκάστων, οἷς μὲν ἂν πρὸς
τρόπου τὰ ῥηθέντα ἢ μελῳδηθέντα ἢ καὶ ὁπωσοῦν χορευ-
θέντα, ἢ *) κατὰ φύσιν ἢ κατὰ ἔθος ἢ κατ' ἀμφότερα,
τούτους * μὲν καὶ τούτοις χαίρειν τε καὶ ἐπαινεῖν αὐτὰ καὶ E
προσαγορεύειν καλὰ ἀναγκαῖον, οἷς δ' ἂν παρὰ φύσιν ἢ
τρόπον ἤ τινα ξυνήθειαν, οὔτε χαίρειν δυνατὸν οὔτε ἐπαι-
νεῖν αἰσχρά τε προσαγορεύειν· οἷς δ' ἂν τὰ μὲν τῆς φύ-
σεως ὀρθὰ ξυμβαίνῃ, τὰ δὲ τῆς ξυνηθείας ἐναντία, ἢ τὰ
μὲν τῆς ξυνηθείας ὀρθά, τὰ δὲ τῆς φύσεως ἐναντία, οὗ-
τοι δὲ ταῖς ἡδοναῖς τοὺς ἐπαίνους ἐναντίους προσαγορεύου-
σιν· ἡδέα γὰρ * τούτων ἕκαστα εἶναί φασι, πονηρὰ δέ, 656
καὶ ἐναντίον ἄλλων οὓς οἴονται φρονεῖν αἰσχύνονται μὲν
κινεῖσθαι τῷ σώματι τὰ τοιαῦτα, αἰσχύνονται δὲ ᾄδειν ὡς
ἀποφαινόμενοι καλὰ μετὰ σπουδῆς, χαίρουσι δὲ παρ'
αὑτοῖς.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Μῶν οὖν τι βλάβην ἔσθ' ἥντινα φέρει τῷ χαί-
ροντι πονηρίας ἢ σχήμασιν ἢ μέλεσιν, ἤ τιν' ὠφέλειαν αὖ
τοῖς πρὸς τἀναντία τὰς ἡδονὰς ἀποδεχομένοις;

ΚΛ. Εἰκός γε.

ΑΘ. * Πότερον εἰκὸς ἢ καὶ ἀναγκαῖον ταὐτὸν εἶναι, B
ὅπερ, ὅταν τις πονηροῖς ἤθεσι ξυνὼν κακῶν ἀνθρώπων μὴ
μισῇ, χαίρῃ δὲ ἀποδεχόμενος, ψέγῃ δὲ ὡς ἐν παιδιᾶς μοί-
ρᾳ ὀνειρώττων αὐτοῦ τὴν μοχθηρίαν; τότε ὁμοιοῦσθαι δή-
που ἀνάγκη τὸν χαίροντα, ὁποτέροις ἂν χαίρῃ, ἐὰν ἄρα καὶ

---

*) ἄλλ. χορευθέντα ἤ.

neque se ipsum delectari improbis gestibus, reliquos vero, contraria illius musa. quamquam contendunt plerique rectam musicae rationem in vi versari animis voluptatem praebente. attamen hoc neque ferendum neque omnino fas est dictu; verum hoc potius probabile est in errorem nos inducere.

Cl. Quidnam?

Ath. Quum imitationes morum sint choreae, quippe quae in variis versentur actionibus, fortunis et naturis easque imitando exprimant, quibus conveniant dicta vel cantata vel saltatione quacumque expressa, vel natura vel consuetudine vel utrisque, hi illis delectentur eaque laudent et pulchra vocent necesse est, quorum vero naturae vel moribus vel consuetudini repugnant, hi neque delectari eis possunt neque probare et pulchra appellare; quibus autem natura quidem recta contigit, consuetudo vero contraria, vel consuetudo quidem recta, at natura contraria, hi laudes celebrant voluptatum contrarias; iucunda enim horum singula esse dicunt, sed prava, et coram aliis quos putant sapere verentur quoque canere tamquam declarantes ea honesta esse serio, secum vero illis delectantur.

Cl. Rectissime dicis.

Ath. Num igitur damnum aliquod affert hoc si quis pravitatis gestibus vel modis delectatur, an contra utilitatem aliquam eis qui e contrario voluptates percipiunt?

Cl. Veri simile est.

Ath. Utrum veri simile an etiam necessarium idem esse, ac si quis inter pravos malorum hominum mores versans non oderit, sed delectetur et amplectatur, vituperet autem suam ipse pravitatem quasi per iocum sibimet ipsi eam tribuens? tum enim is qui delectatur simi-

ἐπαινεῖν αἰσχύνηται· καίτοι τοῦ τοιούτου τί μεῖζον ἀγαθὸν ἢ κακὸν φαῖμεν ἂν ἡμῖν ἐκ πάσης ἀνάγκης γίγνεσθαι;

ΚΛ. Δοκῶ μὲν οὐδέν.

ΑΘ. Ὅπου δὴ νόμοι καλῶς * εἰσὶ κείμενοι ἢ καὶ εἰς C
τὸν ἔπειτα χρόνον ἔσονται, τὴν περὶ τὰς Μούσας παιδείαν τε καὶ παιδιὰν οἰόμεθα ἐξέσεσθαι τοῖς ποιητικοῖς, ὅ τίπερ ἂν αὐτὸν τὸν ποιητὴν ἐν τῇ ποιήσει τέρπῃ ῥυθμοῦ ἢ μέλους ἢ ῥήματος ἐχόμενον, τοῦτο διδάσκοντα καὶ τοὺς τῶν εὐνόμων παῖδας καὶ νέους ἐν τοῖς χοροῖς ὅ τι ἂν τύχῃ ἀπεργάζεσθαι πρὸς ἀρετὴν ἢ μοχθηρίαν;

ΚΛ. Οὔτοι δὴ τοῦτό γε λόγον ἔχει· πῶς γὰρ ἄν;

ΑΘ. Νῦν δέ γε αὐτό, ὡς ἔπος εἰπεῖν, * ἐν πάσαις D
ταῖς πόλεσιν ἔξεστι δρᾶν, πλὴν κατ' Αἴγυπτον.

ΚΛ. Ἐν Αἰγύπτῳ δὲ δὴ πῶς τὸ τοιοῦτόν φῃς νενομοθετῆσθαι;

ΑΘ. Θαῦμα καὶ ἀκοῦσαι· πάλαι γὰρ δή ποτε, ὡς ἔοικεν, ἐγνώσθη παρ' αὐτοῖς οὗτος ὁ λόγος ὃν τὰ νῦν λέγομεν ἡμεῖς, ὅτι καλὰ μὲν σχήματα, καλὰ δὲ μέλη δεῖ μεταχειρίζεσθαι ταῖς ξυνηθείαις τοὺς ἐν ταῖς πόλεσι νέους· ταξάμενοι δὲ ταῦτα ἅττα ἐστὶ καὶ ὁποῖ' ἅττα, ἀπέφηναν ἐν τοῖς ἱεροῖς, καὶ παρὰ ταῦτ' οὐκ * ἐξῆν οὔτε ζωγράφοις E
οὔτ' ἄλλοις ὅσοι σχήματα καὶ ὁποῖ' ἅττα ἀπεργάζονται καινοτομεῖν οὐδ' ἐπινοεῖν ἄλλ' ἅττα ἢ τὰ πάτρια, οὐδὲ νῦν ἔξεστιν, οὔτ' ἐν τούτοις οὔτ' ἐν μουσικῇ ξυμπάσῃ. σκοπῶν δ' εὑρήσεις αὐτόθι τὰ μυριοστὸν ἔτος γεγραμμένα ἢ τετυπωμένα, οὐχ, ὡς ἔπος εἰπεῖν, μυριοστόν, ἀλλ' ὄντως, τῶν νῦν δεδημιουργημένων οὔτε τι καλλίονα * οὔτ' αἰσχίω, 657
τὴν αὐτὴν δὲ τέχνην ἀπειργασμένα.

ΚΛ. Θαυμαστὸν λέγεις.

ΑΘ. Νομοθετικὸν μὲν οὖν καὶ πολιτικὸν ὑπερβαλλόντως· ἀλλ' ἕτερα φαῦλ' ἂν εὕροις αὐτόθι· τοῦτο δὲ *) τὸ περὶ μουσικὴν ἀληθές τε καὶ ἄξιον ἐννοίας, ὅτι δυνατὸν

---

*) ἄλλ. δ' οὖν.

lis fiat necesse est illis quibus gaudet, etiamsi laudare ea vereatur; quamquam quodnam maius bonum vel malum dixerimus nobis ex omni necessitate exsistere?

Cl. Arbitror quidem nullum.

Ath. Ubi igitur leges bene sunt constitutae vel etiam in posterum erunt, an putamus in Musarum disciplina et ioco hanc concessam habituros esse licentiam poëtas, ut, quicquid ipsos in poësi delectet ad numerum vel modum vel dictionem spectans, id doceant civiumque bonis legibus institutorum filios et iuvenes in choris, prout contigerit, ad virtutem vel pravitatem informent?

Cl. Nequaquam hoc est consentaneum; quî enim potest?

Ath. Nunc tamen istud in omnibus propemodum urbibus licet facere, praeterquam in Aegypto.

Cl. In Aegypto autem quomodo hoc ais lege constitutum esse?

Ath. Mirum etiam auditu; iamdudum enim, ut videtur, cognitam habuerunt hanc rationem quam nunc pronunciamus, bonos gestus bonosque modos suscipere debere consuetudine iuvenes in civitatibus; his vero constitutis quaenam et qualia essent, proposuerunt in templis; nec licebat neque pictoribus neque aliis quicumque gestus vel aliud quid huiusmodi exprimunt quicquam novare nec alia excogitare praeter patria, nec nunc licet neque in his neque in musica universa. perscrutans autem invenies ibi abhinc annos non prope, sed revera decies mille imagines pictas vel fictas, eis quae nunc conficiuntur neque pulchriores neque turpiores, sed eadem arte elaboratas.

Cl. Rem miram dicis.

Ath. Insignite vero legis lationi convenientem et civilem; at alia vilia invenies ibidem; illud autem ad musicam spectans verum est dignumque consideratione,

ἄρ' ἦν περὶ τῶν τοιούτων νομοθετεῖσθαι βεβαίως θαῤῥοῦντα μέλη τὰ τὴν ὀρθότητα φύσει παρεχόμενα. τοῦτο δὲ θεοῦ ἢ θείου τινὸς ἀνδρὸς *) ἂν εἴη, καθάπερ ἐκεῖ φασὶ τὰ τὸν πολὺν τοῦτον σεσωσμένα χρόνον * μέλη τῆς Ἴσιδος B ποιήματα γεγονέναι. ὥςθ', ὅπερ ἔλεγον, εἰ δύναιτό τις ἑλεῖν αὐτῶν καὶ ὁπωςοῦν τὴν ὀρθότητα, θαῤῥοῦντα χρὴ εἰς νόμον ἄγειν καὶ τάξιν αὐτά· ὡς ἡ τῆς ἡδονῆς καὶ λύπης ζήτησις τοῦ καινῇ ζητεῖν ἀεὶ μουσικῇ χρῆσθαι σχεδὸν οὐ μεγάλην τινὰ δύναμιν ἔχει πρὸς τὸ διαφθεῖραι τὴν καθιερωθεῖσαν χορείαν, ἐπικαλοῦσα ἀρχαιότητα· τὴν γοῦν ἐκεῖ οὐδαμῶς ἔοικε δυνατὴ γεγονέναι διαφθεῖραι, πᾶν δὲ τοὐναντίον.

ΚΛ. Φαίνεται * οὕτως ἂν ταῦτα ἔχειν ἐκ τῶν ὑπὸ σοῦ C τὰ νῦν λεχθέντων.

ΑΘ. Ἆρ' οὖν θαῤῥοῦντες λέγομεν **) τὴν τῇ Μουσικῇ καὶ τῇ παιδιᾷ μετὰ χορείας χρείαν ὀρθὴν εἶναι τοιῷδέ τινι τρόπῳ· χαίρομεν ὅταν οἰώμεθα εὖ πράττειν, καὶ ὁπόταν χαίρωμεν, οἰόμεθα εὖ πράττειν αὖ· μῶν οὐχ οὕτως;

ΚΛ. Οὕτω μὲν οὖν.

ΑΘ. Καὶ μὴν ἔν γε τῷ τοιούτῳ χαίροντες ἡσυχίαν οὐ δυνάμεθα ἄγειν.

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Ἆρ' οὖν οὐχ ἡμῶν οἱ μὲν νέοι * αὐτοὶ χορεύειν D ἕτοιμοι, τὸ δὲ τῶν πρεσβυτέρων ἡμῶν ἐκείνους αὖ θεωροῦντες διάγειν ἡγούμεθα πρεπόντως, χαίροντες τῇ ἐκείνων παιδιᾷ τε καὶ ἑορτάσει, ἐπειδὴ τὸ παρ' ἡμῖν ἡμᾶς ἐλαφρὸν ἐκλείπει νῦν, ὃ ποθοῦντες καὶ ἀσπαζόμενοι τίθεμεν οὕτως ἀγῶνας τοῖς δυναμένοις ἡμᾶς ὅτι μάλιστα εἰς τὴν νεότητα μνήμῃ ἐπεγείρειν;

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Μῶν οὖν οἰόμεθα ***) καὶ κομιδῇ μάτην τὸν νῦν λεγόμενον λόγον περὶ τῶν ἑορταζόντων λέγειν * τοὺς πολ- E

---

*) γρ. τινὸς ἄν.
**) γρ. λέγωμεν.
***) γρ. οἰώμεθα.

quod fieri potuit ut his de rebus leges darentur ſtabiles et fidenter cantus praeſcriberentur natura verum et rectum exhibentes. hoc vero dei vel divini cuiusdam viri fuerit, quemadmodum illic perhibentur cantus tam longum per tempus conſervati Iſidis poëmata fuiſſe. quocirca, id quod dixi, ſi quis rectam eorum rationem quocumque modo capere poſſit, fidenter eum oporteat in legem ea includere atque ordinem; nam voluptatis et doloris appetitio novam ſemper muſicam quaerens haud ita magnam vim habet ad choream legibus ſancitam corrumpendam, antiquitatis eam inſimulans; apud illos certe nullo modo eam videtur corrumpere potuiſſe, ſed plane contra.

Cl. Videtur res ſic ſe habere ex eis quae nunc a te dicta ſunt.

Ath. Iccirco confidenter dicimus muſicae et luſus uſum hac fere ratione rectum eſſe: gaudemus quum bene nobiscum agi arbitramur, et quum gaudemus, bene viciſſim nobiscum agi arbitramur; nonne ita?

Cl. Ita ſane.

Ath. Atqui gaudentes tum quieſcere non poſſumus.

Cl. Sunt iſta.

Ath. Nonne igitur iuvenes ex nobis ipſi ad ſaltandum parati ſunt, ſeniores vero nos illos ſpectantes haud indecorum eſſe putamus illorum ludo et celebritate delectari, quandoquidem levitas corporis nunc nos deſtituit, quam deſiderantes et amplectentes certamina proponimus eis qui ad iuventutis nos memoriam et recordationem quam maxime poſſint excitare?

Cl. Veriſſime.

Ath. Num igitur cenſemus plane fruſtra eam quae nunc habetur orationem in hominibus dies feſtos cele-

λούς, ὅτι τοῦτον δεῖ σοφώτατον ἡγεῖσθαι καὶ κρίνειν νικᾶν, ὃς ἂν ἡμᾶς εὐφραίνεσθαι καὶ χαίρειν ὅτι μάλιστα ἀπεργάζηται; δεῖ γὰρ δή, ἐπείπερ ἀφείμεθά γε παίζειν ἐν τοῖς τοιούτοις, τὸν πλείστους καὶ μάλιστα χαίρειν ποιοῦντα, τοῦτον μάλιστα τιμᾶσθαί τε, καὶ ὅπερ εἶπον νῦν δή, τὰ νικητήρια φέρειν. ἆρ' οὐκ ὀρθῶς λέγεταί τε τοῦτο καὶ πράττοιτ' * ἄν, εἰ ταύτῃ γίγνοιτο; 658

ΚΛ. Τάχ' ἄν.

ΑΘ. Ἀλλ', ὦ μακάριε, μὴ ταχὺ τὸ τοιοῦτον κρίνωμεν, ἀλλὰ διαιροῦντες αὐτὸ κατὰ μέρη σκοπώμεθα τοιῷδέ τινι τρόπῳ· τί ἄν, εἴ ποτέ τις οὕτως ἁπλῶς ἀγῶνα θείη ὁντινοῦν, μηδὲν ἀφορίσας μήτε γυμνικὸν μήτε μουσικὸν μήθ' ἱππικόν, ἀλλὰ πάντας ξυναγαγὼν τοὺς ἐν τῇ πόλει προείποι θεὶς νικητήρια τὸν βουλόμενον ἥκειν ἀγωνιούμενον ἡδονῆς πέρι μόνον, ὃς δ' ἂν τέρψῃ τοὺς θεατὰς μάλιστα, * μηδὲν ἐπιταττόμενος ᾧ τινὶ τρόπῳ, νικήσῃ δὲ αὐτὸ τοῦ- B το ὅτι μάλιστα ἀπεργασάμενος καὶ κριθῇ τῶν ἀγωνισαμένων ἥδιστος γεγονέναι *)· τί ποτ' ἂν ἡγούμεθα ἐκ ταύτης τῆς προῤῥήσεως ξυμβαίνειν;

ΚΛ. Τοῦ πέρι λέγεις;

ΑΘ. Εἰκός που τὸν μέν τινα ἐπιδεικνύναι, καθάπερ Ὅμηρος, ῥαψῳδίαν, ἄλλον δὲ κιθαρῳδίαν, τὸν δέ τινα τραγῳδίαν, τὸν δ' αὖ κωμῳδίαν· οὐ θαυμαστὸν δὲ εἴ τις καὶ θαύματα ἐπιδεικνὺς μάλιστ' ἂν νικᾶν ἡγοῖτο. * τού- C των δὴ τοιούτων καὶ ἑτέρων ἀγωνιστῶν μυρίων ἐλθόντων ἔχομεν εἰπεῖν τίς ἂν νικῴ δικαίως;

ΚΛ. Ἄτοπον ἤρου· τίς γὰρ ἂν ἀποκρίνοιτό σοι τοῦτο, ὡς γνοὺς ἄν ποτε, πρὶν ἀκοῦσαί τε καὶ τῶν ἀθλητῶν ἑκάστων αὐτήκοος αὐτὸς γενέσθαι;

ΑΘ. Τί οὖν δή; βούλεσθε ἐγὼ σφῷν τὴν ἄτοπον ταύτην ἀπόκρισιν ἀποκρίνωμαι;

ΚΛ. Τί μήν;

---

*) ἴσ. ὃς δ' ἂν τέρψῃ. τ. θ. μάλιστα (μηδὲν ἐπιταττόμενος ᾧτινι τρόπῳ) καὶ κριθῇ τῶν ἀγωνισαμένων ἥδιστος γεγονέναι, αὐτὸ τοῦτο ὅτι μάλιστα ἀπεργασάμενος, νικήσειν.

brantibus usurpare plerosque, hunc esse sapientissimum existimandum et victorem declarandum, qui laetitia nos et gaudio maxime perfundat? fieri enim nequit quin, quandoquidem permissum nobis est tum ludere, is qui plurimos et maximo gaudio afficiat maxime honoretur et, quod modo dicebam, victoriam reportet. nonne hoc recte dicitur et peragitur, si hoc modo fit?

Cl. Videtur.

Ath. At, o bone, ne statim, ut videtur, de hoc iudicemus, sed in partes distribuentes hac fere ratione perpendamus: quid si quis aliquando sic simpliciter certamen proponat qualecumque, non definiens neque gymnicum neque musicum neque equestre, sed omnes congregans qui in urbe versentur praemio constituto pronunciet ut, quicumque velit, accedat in voluptatis certamen descensurus, is vero qui spectatores maxime delectaverit (non praescribens quonam modo) et omnium qui certaverint iucundissimus iudicetur, hoc ipsum maxime efficiens, victor declaretur; quid tandem putamus hanc pronunciationem consequuturum esse?

Cl. De quanam re loqueris?

Ath. Veri simile est alium, ut Homerum, rhapsodiam exhibere, alium citharoedicum carmen, alium tragoediam, alium comoediam; nec mirum si quis etiam miracula ostentans maxime se credat victoriam esse laturum. his igitur talibus aliisque innumerabilibus in certamen descendentibus possumusne dicere quis iure sit victoriam consequuturus?

Cl. Absurdum est id quod interrogas; quis enim respondere tibi possit quasi cognoscens, priusquam audiverit singulosque athletas ipse perceperit?

Ath. Quid igitur? vultisne ego vobis absurdam hanc responsionem proferam?

Cl. Quidni?

ΑΘ. Εἰ μὲν τοίνυν τὰ πάνυ σμικρὰ κρίνοι παιδία, κρινοῦσι τὸν τὰ θαύματα ἐπιδεικνύντα· ἢ γάρ;

ΚΛ. * Πῶς γὰρ οὔ; D

ΑΘ. Ἐὰν δέ γ' οἱ μείζους παῖδες, τὸν τὰς κωμῳδίας, τραγῳδίαν δὲ αἵ τε πεπαιδευμέναι τῶν γυναικῶν καὶ τὰ νέα μειράκια καὶ σχεδὸν ἴσως τὸ πλῆθος πάντων.

ΚΛ. Ἴσως δῆτα.

ΑΘ. Ῥαψῳδὸν δὲ καλῶς Ἰλιάδα καὶ Ὀδύσσειαν ἤ τι τῶν Ἡσιοδείων διατιθέντα τάχ' ἂν ἡμεῖς οἱ γέροντες ἥδιστα ἀκούσαντες νικᾶν ἂν φαῖμεν πάμπολυ. τίς οὖν ὀρθῶς ἂν νενικηκὼς εἴη, τὸ μετὰ τοῦτο *)· ἢ γάρ;

ΚΛ. Ναί.

ΑΘ. Δῆλον * ὡς ἔμοιγε καὶ ὑμῖν ἀναγκαῖόν ἐστι φά- E ναι τοὺς ὑπὸ τῶν ἡμετέρων ἡλικιωτῶν κριθέντας ὀρθῶς ἂν νικᾶν· τὸ γὰρ ἦθος ἡμῖν τῶν νέων **) δὴ πάμπολυ δοκεῖ τῶν ἐν ταῖς πόλεσιν ἁπάσαις καὶ πανταχοῦ βέλτιστον γίγνεσθαι.

ΚΛ. Τί μήν;

ΑΘ. Συγχωρῶ δὴ τό γε τοσοῦτον καὶ ἐγὼ τοῖς πολλοῖς, δεῖν τὴν μουσικὴν ἡδονῇ κρίνεσθαι, μὴ μέντοι τῶν γε ἐπιτυχόντων, ἀλλὰ σχεδὸν ἐκείνην εἶναι Μοῦσαν καλλίστην ἥτις τοὺς βελτίστους καὶ ἱκανῶς πεπαιδευμένους τέρπει, μάλιστα δὲ ἥτις ἕνα τὸν ἀρετῇ τε καὶ * παιδείᾳ δια- 659 φέροντα. διὰ ταῦτα δὲ ἀρετῆς φαμὲν δεῖσθαι τοὺς τούτων κριτάς, ὅτι τῆς τε ἄλλης μετόχους αὐτοὺς εἶναι δεῖ φρονήσεως, καὶ δὴ καὶ τῆς ἀνδρείας· οὔτε γὰρ παρὰ θεάτρου δεῖ τόν γε ἀληθῆ κριτὴν κρίνειν μανθάνοντα καὶ ἐκπληττόμενον ὑπὸ θορύβου τῶν πολλῶν καὶ τῆς αὑτοῦ ἀπαιδευσίας, οὔτ' αὖ γιγνώσκοντα δι' ἀνανδρίαν καὶ δειλίαν ἐκ ταὐτοῦ στόματος οὗπερ τοὺς θεοὺς ἐπεκαλέσατο μέλλων κρίνειν, ἐκ τούτου ψευδόμενον * ἀποφαίνεσθαι ῥαθύμως τὴν κρίσιν· B οὐ γὰρ μαθητής, ἀλλὰ διδάσκαλος, ὥς γε τὸ δίκαιον, θεατῶν μᾶλλον ὁ κριτὴς καθίζει, καὶ ἐναντιωσόμενος τοῖς τὴν

---

*) ἄλλ. εἴη; τοῦτο μετὰ τοῦτο;
**) ἄλλ. τὸ γὰρ ἔθος — τῶν νῦν δή.

Ath. Iam si parvi admodum pueri iudicant, victorem declarant miracula ostentantem; nonne?

Cl. Quî aliter?

Ath. Sin maiores pueri, eum qui comoedias exhibet, tragoediam vero praeferunt eruditae e mulierum numero et adolescentes et omnium fere fortasse multitudo.

Cl. Fortasse.

Ath Eum autem, qui Iliada et Odysseam vel Hesiodeum aliquod carmen bene recitaverit, forsitan nos senes maxima cum voluptate audientes prae ceteris dixerimus palmam ferre. quis igitur recte victoriam sit reportaturus, deinceps videndum; nonne?

Cl. Etiam.

Ath. Patet mihi et vobis dicendum esse, qui a nostris aequalibus iudicati fuerint eos recte victoriam esse laturos; ingenium enim nostrum longe videtur iuvenum indole omnibus in urbibus et ubique praestantius esse.

Cl. Quidni?

Ath. Concedo igitur hoc quidem ego quoque multitudini, musicam voluptate esse iudicandam, neque tamen quorumlibet hominum, sed hanc fere esse musam pulcherrimam quae optimos satisque excultos delectet, maxime vero quae unum ad virtutem et disciplinam insignem. quocirca virtutem dicimus harum rerum iudicibus necessariam esse, quum non prudentia modo, verum etiam fortitudine oporteat praediti sint. neque enim a theatro debet verus iudex edoctus iudicium facere, multitudinis strepitu suaque ipse inscitia stupefactus, neque cognitione praeditus propter ignaviam et timiditatem eodem illo ore, quo deos invocaverat accedens ad iudicium, mendacium dicens inconsiderate sententiam ferre; non enim discipulus, sed potius doctor, ut par est, spectatorum iudex sedet et adversaturus eis

ἡδονὴν μὴ προσηκόντως μηδὲ ὀρθῶς ἀποδιδοῦσι θεαταῖς· ἐξῆν γὰρ δὴ τῷ παλαιῷ τε καὶ Ἑλληνικῷ νόμῳ *), καθάπερ ὁ Σικελικός τε καὶ Ἰταλικὸς νόμος νῦν τῷ πλήθει τῶν θεατῶν ἐπιτρέπων καὶ τὸν νικῶντα διακρίνων χειροτονίαις διέφθαρκε μὲν τοὺς ποιητὰς αὐτούς (πρὸς γὰρ τὴν τῶν
* κριτῶν ἡδονὴν ποιοῦσιν οὖσαν φαύλην, ὥστε αὐτοὶ αὐ- C
τοὺς οἱ θεαταὶ παιδεύουσι), διέφθαρκε δ' αὐτοῦ τοῦ θεάτρου τὰς ἡδονάς· δέον γὰρ αὐτοὺς ἀεὶ βελτίω τῶν αὑτῶν ἠθῶν ἀκούοντας βελτίω τὴν ἡδονὴν ἴσχειν, νῦν αὐτοῖς δρῶσι πᾶν τοὐναντίον ξυμβαίνει. τί ποτ' οὖν ἡμῖν τὰ νῦν αὖ διαπερανθέντα τῷ λόγῳ σημαίνειν βούλεται; σκοπεῖσθ' εἰ τόδε.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Δοκεῖ μοι τρίτον ἢ τέταρτον ὁ λόγος εἰς ταὐτὸν
περιφερόμενος ἥκειν, * ὡς ἄρα παιδεία μέν ἐσθ' ἡ παί- D
δων ὁλκή τε καὶ ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον καὶ τοῖς ἐπιεικεστάτοις καὶ πρεσβυτάτοις δι' ἐμπειρίαν ξυνδεδογμένον ὡς ὄντως ὀρθός ἐστιν. ἵν' οὖν ἡ ψυχὴ τοῦ παιδὸς μὴ ἐναντία χαίρειν καὶ λυπεῖσθαι ἐθίζηται τῷ νόμῳ καὶ τοῖς ὑπὸ τοῦ νόμου πεπεισμένοις, ἀλλὰ ξυνέπηται χαίρουσά τε καὶ λυπουμένη τοῖς αὐτοῖς τούτοις οἷσπερ ὁ γέρων, τούτων ἕνεκα, ἃς ᾠδὰς καλοῦμεν, ὄντως
* μὲν ἐπῳδαὶ ταῖς ψυχαῖς αὗται νῦν γεγονέναι, πρὸς τὴν E
τοιαύτην ἣν λέγομεν ξυμφωνίαν ἐσπουδασμέναι, διὰ δὲ τὸ σπουδὴν μὴ δύνασθαι φέρειν τὰς τῶν νέων ψυχὰς παιδιαί τε καὶ ᾠδαὶ καλεῖσθαι καὶ πράττεσθαι· καθάπερ τοῖς κάμνουσί τε καὶ ἀσθενῶς ἴσχουσι τὰ σώματα ἐν ἡδέσι τισὶ σι-
τίοις καὶ πώμασι * τὴν χρηστὴν πειρῶνται τροφὴν προσ- 660
φέρειν οἷς μέλει τούτων, τὴν δὲ τῶν πονηρῶν ἐν ἀηδέσιν, ἵνα τὴν μὲν ἀσπάζωνται, τὴν δὲ μισεῖν ὀρθῶς ἐθίζωνται· ταὐτὸν δὴ καὶ τὸν ποιητικὸν ὁ ὀρθὸς νομοθέτης ἐν τοῖς καλοῖς ῥήμασι καὶ ἐπαινετοῖς πείσει τε καὶ ἀναγκάσει μὴ πείθων, τὰ τῶν σωφρόνων τε καὶ ἀνδρείων καὶ πάντως

---

*) Ισ. νόμῳ, ὅς, καθάπερ — νόμος, νῦν κτλ.

qui voluptatem neque convenienter neque recte exhibituri fint fpectatoribus; licebat enim hoc facere ex antiqua et Graeca lege, quae, quum ficut Sicula et Italica nunc, multitudini fpectatorum iudicium permififfet palmamque per fuffragia decernere coepiffet, corrupit poëtas ipfos (ad iudicum enim voluptatem carmina condunt quae prava eft, ita ut ipfi fe fpectatores inftituant), et corrupit quoque ipfius theatri voluptates; quum enim eos oporteret meliores femper mores quam ipfi habent percipientes meliore voluptate frui, nunc fua ipfis culpa contrarium contingit. iam quid tandem ea quae nunc oratione perfequuti fumus fignificare volunt? videte an hoc.

Cl. Quidnam iftud?

Ath. Videtur mihi tertium vel quartum oratio eodem circumlata redire ut fignificet, difciplinam effe puerorum ductum et inftitutionem ad rationem rectam a lege praefcriptam, quam moderatiffimi maximeque aetate provecti experientia edocti revera effe rectam confentiant. ut igitur animus pueri non contrariis gaudere et dolere asfuefcat atque lex legique obtemperantes fuadeant, fed obfequatur gaudens ac dolens ìsdem quibus fenex, hanc ob caufam, quae carmina vocamus, revera haec nunc effe cantiones animos delinientes, ad talem quam dicimus confenfionem ferio compofitas, propterea autem quod feria ftudia ferre non poffint iuvenum animi, lufus et cantilenas vocari talesque peragi; quemadmodum enim aegrotantibus corporisque imbecillitate affectis per iucundos quosdam cibos et potus falubre conantur alimentum praebere ii qui curandos eos fusceperunt, perniciofum vero per iniucundos, ut illud amplectantur, huius autem odium habere recte asfuefcant, ita etiam poëtae verus legis lator pulchris verbis laudibusque perfuadebit et fi non perfuaferit eum coget, ut tem-

ἀγαθῶν ἀνδρῶν, ἔν τε ῥυθμοῖς σχήματα καὶ ἐν ἁρμονίαις μέλη ποιοῦντα ὀρθῶς ποιεῖν.

ΚΛ. Νῦν οὖν οὕτω δοκοῦσί σοι, * πρὸς Διός, ὦ ξένε, ἐν ταῖς ἄλλαις πόλεσι ποιεῖν; ἐγὼ μὲν γάρ, καθ' ὅσον αἰσθάνομαι, πλὴν παρ' ἡμῖν ἢ παρὰ Λακεδαιμονίοις, ἃ σὺ νῦν λέγεις, οὐκ οἶδα πραττόμενα, καινὰ δὲ ἄττα ἀεὶ γιγνόμενα περί τε τὰς ὀρχήσεις καὶ περὶ τὴν ἄλλην μουσικὴν ξύμπασαν, οὐχ ὑπὸ νόμων μεταβαλλόμενα, ἀλλ' ὑπό τινων ἀτάκτων ἡδονῶν, πολλοῦ δεουσῶν τῶν αὐτῶν εἶναι καὶ κατὰ ταὐτά, ὡς σὺ κατ' Αἴγυπτον ἀφερμηνεύεις, * ἀλλ' οὐδέποτε τῶν αὐτῶν. B C

ΑΘ. Ἄριστά γε, ὦ Κλεινία· εἰ δ' ἔδοξά σοι ἃ σὺ λέγεις λέγειν ὡς νῦν γιγνόμενα, οὐκ ἂν θαυμάζοιμι, εἰ μὴ σαφῶς λέγων ἃ διανοοῦμαι τοῦτο ἐποίησα καὶ ἔπαθον. ἀλλ' ἃ βούλομαι γίγνεσθαι περὶ μουσικήν, τοιαῦτ' ἄττα εἶπον ἴσως, ὥστε σοι δόξαι ταῦτα ἐμὲ λέγειν· λοιδορεῖν γὰρ πράγματα ἀνίατα καὶ πόῤῥω προβεβηκότα ἁμαρτίας οὐδαμῶς ἡδύ, ἀναγκαῖον δ' ἐνίοτ' ἐστίν. ἐπειδὴ δὲ ταῦτα * ξυνδοκεῖ καὶ σοί, φέρε φῂς παρ' ὑμῖν καὶ τοῖσδε μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις Ἕλλησι γίγνεσθαι τὰ τοιαῦτα; D

ΚΛ. Τί μήν;

ΑΘ. Τί δ' εἰ καὶ παρὰ τοῖς ἄλλοις γίγνοιθ' οὕτω, πότερον αὐτὰ καλλιόνως οὕτως εἶναι φαῖμεν ἄν, ἢ καθάπερ νῦν γίγνεται, γιγνόμενα;

ΚΛ. Πολύ που τὸ διαφέρον, εἰ καθάπερ παρά τε τοῖσδε καὶ παρ' ἡμῖν, καὶ ἔτι καθάπερ εἶπες σὺ νῦν δὴ δεῖν εἶναι, γίγνοιτο.

ΑΘ. Φέρε δὴ ξυνομολογησώμεθα * τὰ νῦν· ἄλλα τι παρ' ὑμῖν ἐν πάσῃ παιδείᾳ καὶ μουσικῇ τὰ λεγόμενά ἐστι τάδε; τοὺς ποιητὰς ἀναγκάζετε λέγειν ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος εὐδαίμων ἐστὶ καὶ μακάριος, ἐάν τε μέγας καὶ ἰσχυρὸς ἐάν τε σμικρὸς καὶ ἀσθενὴς ᾖ, καὶ ἐὰν πλουτῇ καὶ μή· ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος, ἄθλιός τ' ἐστὶ καὶ ἀνιαρῶς ζῇ· E

perantium et fortium prorsusque bonorum virorum in numero gestus et in harmonia cantus recte exhibent.

Cl. Nunc vero ita videntur tibi, per Iovem, hospes, in reliquis civitatibus facere? equidem, quantum sentio, nisi apud nos vel apud Lacedaemonios, quae tu nunc dicis, nescio fieri, sed nova quaedam semper et in saltationibus et in reliqua musica universa geri, non a legibus mutata, sed ab effrenatis quibusdam voluptatibus quae tantum absunt ut eaedem sint eundemque modum servent, quemadmodum tu in Aegypto narras, ut numquam easdem se praestent.

Ath. Optime quidem, o Clinia; si vero tibi visus sum quae tu dicis ea dicere nunc fieri, haud miror, quoniam non clare dicendo id quod sentio hoc feci et expertus sum. at quae velim fieri in musica, haec fortasse ita dixi ut tibi visus sim illa significare; vituperare enim res insanabiles et in peccando longius progressas nequaquam iucundum, aliquando tamen necessarium est. quoniam vero tibi quoque haec sic se videntur habere, age dicisne apud vos et hosce magis quam apud reliquos Gaecos haec fieri?

Cl. Quidni?

Ath. Quid vero, si apud reliquos quoque ita fierent, pulchriusne ea ita se habere diceremus, quam ut nunc fiunt?

Cl. Multo sane praestaret, si, ut apud hosce et nos et praeterea ut tu nunc dixisti esse oportere, fierent.

Ath. Agedum consentiamus nunc hac de re: num haec sunt quae apud vos omni in disciplina et musica praedicantur? poëtasne cogitis dicere, bonum virum qui temperatus sit atque iustus beatum esse et felicem, sive magnus et robustus, sive parvus et imbecillus, seu divitiis abundet seu non abundet: quocirca etiamsi divitior sit Cinyra et Mida, at iniustus, miserum esse vi-

καὶ Οὔτ' ἂν μνησαίμην, φησὶ ὑμῖν ὁ ποιητής, εἴπερ ὀρθῶς λέγει, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην ὃς μὴ πάντα τὰ λεγόμενα καλὰ μετὰ δικαιοσύνης πράττοι καὶ κτῷτο· καὶ δὴ καὶ δηΐων τοιοῦτος ὢν * ὀρέγοιτο ἐγγύ- 661 θεν ἱστάμενος, ἄδικος δὲ ὢν μήτε τολμῷ ὁρῶν φόνον αἱματόεντα μήτε νικῷ θέων Θρηΐκιον Βορέην, μήτε ἄλλο αὐτῷ μηδὲν τῶν λεγομένων ἀγαθῶν γίγνοιτό ποτε· τὰ γὰρ ὑπὸ τῶν πολλῶν λεγόμενα ἀγαθὰ οὐκ ὀρθῶς λέγεται. λέγεται γὰρ ὡς ἄριστον μὲν ὑγιαίνειν, δεύτερον δὲ κάλλος, τρίτον δὲ ἰσχύς, τέταρτον δὲ πλοῦτος. μυρία δὲ ἄλλα ἀγαθὰ λέγεται· καὶ γὰρ ὀξὺ ὁρᾶν καὶ ἀκούειν καὶ πάντα ὅσα ἔχεται * τῶν αἰσθήσεων εὐαισθήτως B ἔχειν, ἔτι δὲ καὶ τὸ ποιεῖν τυραννοῦντα ὅ τι ἂν ἐπιθυμῇ, καὶ τὸ δὴ τέλος ἁπάσης μακαριότητος εἶναι τὸ πάντα ταῦτα κεκτημένον ἀθάνατον εἶναι γενόμενον ὅτι τάχιστα. ὑμεῖς δὲ καὶ ἐγώ που τάδε λέγομεν, ὡς ταῦτά ἐστι ξύμπαντα δικαίοις μὲν καὶ ὁσίοις ἀνδράσιν ἄριστα κτήματα, ἀδίκοις δὲ κάκιστα ξύμπαντα, ἀρξάμενα ἀπὸ τῆς ὑγιείας. καὶ δὴ καὶ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν καὶ αἰσθάνεσθαι καὶ τὸ παράπαν * ζῆν C μέγιστον μὲν κακὸν τὸν ξύμπαντα χρόνον ἀθάνατον ὄντα καὶ κεκτημένον πάντα τὰ λεγόμενα ἀγαθὰ πλὴν δικαιοσύνης τε καὶ ἀρετῆς ἁπάσης, ἔλαττον δέ, ἂν ὡς ὀλίγιστον ὁ τοιοῦτος χρόνον ἐπιζῇ *). ταῦτα δὴ λέγειν, οἶμαι, τοὺς παρ' ὑμῖν ποιητάς, ἅπερ ἐγώ, πείσετε καὶ ἀναγκάσετε, καὶ ἔτι τούτοις ἑπομένους ῥυθμούς τε καὶ ἁρμονίας ἀποδιδόντας παιδεύειν οὕτω τοὺς νέους ὑμῶν· ἢ γὰρ ὁρᾶτε; ἐγὼ μὲν γὰρ λέγω * σαφῶς τὰ μὲν κακὰ λεγόμενα ἀγαθὰ τοῖς D ἀδίκοις εἶναι, τοῖς δὲ δικαίοις κακά, τὰ δ' ἀγαθὰ τοῖς μὲν ἀγαθοῖς ὄντως ἀγαθά, τοῖς δὲ κακοῖς κακά. ὅπερ οὖν ἠρόμην, ἆρα ξυμφωνοῦμεν ἐγώ τε καὶ ὑμεῖς; ἢ πῶς;

ΚΛ. Τὰ μὲν ἔμοιγε φαινόμεθά πως, τὰ δ' οὐδαμῶς.

ΑΘ. Ἆρ' οὖν ὑγίειάν τε κεκτημένον καὶ πλοῦτον καὶ τυραννίδα διὰ τέλους, καὶ ἔτι προςτίθημι ὑμῖν ἰσχὺν δια-

---

*) γρ. ἐπιζῴη.

tamque degere acerbam; et *Ne meminerim quidem*, dicit vobis poëta, si modo recte loquitur, *nec rationem habuerim* viri qui non omnia quae dicuntur pulchra cum iustitia gerat et possideat, atque etiam qui talis est *gestiet cominus cum hostibus manus conferre*, iniustus vero si fuerit, *neque sustineat caedis cruentae adspectum* neque *superet cursu Threicium Boream*, neque aliud quid bonorum quae dicuntur umquam ei obtingat; nam quae a multitudine dicuntur bona non recte dicuntur. etenim optimum dicitur sanum esse, secundum pulchritudo, tertium robur, quartum divitiae; aliaque infinita bona numerantur, ut acuto visu et auditu praeditum esse omnibusque sensibus integris uti, praeterea in dominatu esse et quicquid collibuerit facere; finis autem felicitatis omnis dicitur esse, omnia haec possidentem immortalem exsistere idque quam citissime consequi. vos autem et ego, ni fallor, dicimus, haec esse omnia iustis quidem et piis viris optima, iniustis vero pessima omnia, ne sanitate quidem excepta, nam videre et audire et sentire et omnino vivere summum est malum ei qui universum per tempus immortalitate fruens omnia quae bona dicuntur possidet a iustitia omnique virtute seiuncta, minus vero, si quam brevissimum talis tempus vivit. haec igitur ut dicant, arbitror, quae ego, vestris poëtis persuadebitis eosque cogetis, et praeterea ut convenientes his numeros et harmonias adhibentes ita iuvenes vestros erudiant. nonne intelligitis? ego enim clare id pronuncio, ea quae mala dicantur bona iniustis esse, iustis vero mala, et quae bona, bonis quidem revera bona esse, malis autem mala. quod igitur interrogabam, consentimusne ego et vos? an quî?

Cl. Partim mihi quidem videmur quodammodo, partim vero non.

Ath. Num igitur fortasse vobis non persuadeo, eum qui sanitatem et divitias et dominatum perpetuo possi-

φέρουσαν καὶ ἀνδρείαν * μετ' ἀθανασίας, καὶ μηδὲν ἄλλο E αὐτῷ τῶν λεγομένων κακῶν ἐγγιγνόμενον *), ἀδικίαν δὲ καὶ ὕβριν ἔχοντα ἐν αὐτῷ μόνον, τὸν οὕτω ζῶντα ἴσως ὑμᾶς οὐ πείθω μὴ οὐκ ἄρα εὐδαίμονα, ἀλλ' ἄθλιον γίγνεσθαι σαφῶς;

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Εἶεν, τί οὖν τὸ μετὰ τοῦτ' εἰπεῖν ἡμᾶς χρεών; ἀνδρεῖος γὰρ δὴ καὶ ἰσχυρὸς καὶ καλὸς καὶ πλούσιος, καὶ ποιῶν ὅ περ ἐπιθυμοῖ τὸν βίον ἅπαντα, οὐχ ὑμῖν δοκεῖ, 662 εἴπερ ἄδικος εἴη καὶ ὑβριστής, ἐξ ἀνάγκης αἰσχρῶς ἂν ζῆν; ἢ τοῦτο μὲν ἴσως ἂν ξυγχωρήσαιτε, τό γε αἰσχρῶς;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τί δέ; τὸ καὶ κακῶς;

ΚΛ. Οὐκ ἂν ἔτι τοῦθ' ὁμοίως.

ΑΘ. Τί δέ; τὸ καὶ ἀηδῶς καὶ μὴ ξυμφερόντως αὐτῷ;

ΚΛ. Καὶ πῶς ἂν ταῦτά γ' ἔτι ξυγχωροῖμεν;

ΑΘ. Ὅπως; εἰ θεὸς ἡμῖν, ὡς ἔοικεν, ὦ φίλοι, δοίη * τις ξυμφωνίαν· ὡς νῦν γε σχεδὸν ἀπᾴδομεν ἀπ' ἀλλήλων. B ἐμοὶ γὰρ δὴ φαίνεται ταῦτα οὕτως ἀναγκαῖα, ὡς οὐδέ, ὦ φίλε Κλεινία, Κρήτη νῆσος σαφῶς· καὶ νομοθέτης ὢν ταύτῃ πειρῴμην ἂν τούς τε ποιητὰς ἀναγκάζειν φθέγγεσθαι καὶ πάντας τοὺς ἐν τῇ πόλει, ζημίαν τε ὀλίγου μεγίστην ἐπιτιθείην ἄν, εἴ τις ἐν τῇ χώρᾳ φθέγξαιτο ὡς εἰσί τινες ἄνθρωποί ποτε πονηροὶ * μέν, ἡδέως δὲ ζῶντες, ἢ λυσιτελοῦντα C μὲν ἄλλα ἐστὶ καὶ κερδαλέα, δικαιότερα δὲ ἄλλα. καὶ πολλὰ ἄττ' ἂν παρὰ τὰ νῦν λεγόμενα ὑπό τε Κρητῶν καὶ Λακεδαιμονίων, ὡς ἔοικε, καὶ δήπου καὶ τῶν ἄλλων ἀνθρώπων διάφορα πείθοιμ' ἂν τοὺς πολίτας μοι φθέγγεσθαι. φέρε γάρ, πρὸς Διός τε καὶ Ἀπόλλωνος, ὦ ἄριστοι τῶν ἀνδρῶν, εἰ τοὺς νομοθετήσαντας ὑμῖν αὐτοὺς τούτους ἐροίμεθα θεούς, Ἆρα ὁ δικαιότατος * βίος ἐστὶν ἥδιστος, ἢ δύ' ἐστόν τινε D βίῳ, οἷν ὁ μὲν ἥδιστος ὢν τυγχάνει, δικαιότατος δ' ἕτερος; εἰ δὴ δύο φαῖεν, ἐροίμεθ' ἂν ἴσως αὐτοὺς πάλιν, εἴπερ ὀρθῶς ἐπανερωτῷμεν, Ποτέρους δ' εὐδαιμονεστέρους χρὴ λέ-

*) ἄλλ. κακῶν εἶναι γιγνόμενον.

deat, addo etiam robur insigne et fortitudinem cum immortalitate, et nihil aliud ex iis quae mala dicantur habeat, iniustitia vero et insolentia sola teneatur, eum igitur qui ita vivat, non beatum esse, sed manifesto miserum?

Cl. Verissime dicis.

Ath. Iam quid deinceps nos dicere oportet? fortis enim et robustus et pulcher et dives omniaque faciens quaecumque cupiat totam per vitam, nonne vobis videtur, si iniustus est et insolens, necessario turpiter vivere? an hoc quidem fortasse conceditis turpiter eum vivere?

Cl. Sane quidem.

Ath. Quid vero? etiam male?

Cl. Hoc iam non pariter.

Ath. Quid? etiam iniucunde nec sibimet ipsi utiliter?

Cl. Et quomodo hoc quoque concedamus?

Ath. Quomodo? si deus nobis, ut videtur, amici, det consensionem; nam nunc quidem inter nos discrepamus; mihi enim videntur haec tam necessaria, quam ne Creta quidem, o bone Clinia, manifesto insula esse; et si legis lator essem, ita conarer poëtas cogere omnesque in urbe versantes dicere poenamque propemodum maximam constituerem, si quis in regione diceret homines quosdam quandoque esse improbos quidem, sed iucunde viventes, vel utilia alia esse et lucrosa, iustiora vero alia. et multa fere ab iis, quae nunc dicuntur a Cretibus et Lacedaemoniis, ut videtur, atque etiam a reliquis hominibus, diversa persuaderem civibus meis ut eloquerentur. agite enim, per Iovem et Apollinem, optimi virorum, si hos ipsos deos qui leges vobis tulerunt interrogaremus: Iustissimane vita est iucundissima, an duae quaedam sunt vitae, quarum iucundissima una, altera iustissima est? quodsi duas esse dicerent, rogaremus fortasse eos rursus, si recte vellemus interrogare:

γειν, τοὺς τὸν δικαιότατον, ἢ τοὺς τὸν ἥδιστον διαβιοῦντας βίον; εἰ μὲν δὴ φαῖεν τοὺς τὸν ἥδιστον, ἄτοπος αὐτῶν ὁ λόγος ἂν γίγνοιτο. βούλομαι δέ μοι μὴ ἐπὶ θεῶν λέγεσθαι τὸ τοιοῦτον, ἀλλ' ἐπὶ πατέρων καὶ νομοθετῶν * μᾶλλον. καί μοι E τὰ ἔμπροσθεν ἠρωτημένα πατέρα τε καὶ νομοθέτην *) ἠρωτήσθω, ὁ δ' εἰπέτω **) ὡς ὁ ζῶν τὸν ἥδιστον βίον ἐστὶ μακαριώτατος. εἶτα μετὰ ταῦτα ἔγωγ' ἂν φαίην Ὦ πάτερ, οὐχ ὡς εὐδαιμονέστατά με ἐβούλου ζῆν; ἀλλ' ἀεὶ διακελευόμενος οὐδὲν ἐπαύου ζῆν με ὡς δικαιότατα. ταύτῃ μὲν οὖν ὁ τιθέμενος εἴτε νομοθέτης εἴτε καὶ πατὴρ ἄτοπος ἄν, οἶμαι, καὶ ἄπορος φαίνοιτο τοῦ ξυμφωνοῦντως ἑαυτῷ λέγειν. εἰ δ' αὖ τὸν δικαιότατον εὐδαιμονέστατον ἀποφαίνοιτο βίον εἶναι, ζητοῖ πού πᾶς ἂν ὁ ἀκούων, οἶμαι, τί ποτ' ἐν αὐτῷ τὸ τῆς ἡδονῆς κρεῖττον ἀγαθόν τε * καὶ καλὸν ὁ νόμος ἐνὸν ἐπαινεῖ; 663 τί γὰρ δὴ δικαίῳ χωριζόμενον ἡδονῆς ἀγαθὸν ἂν γίγνοιτο; φέρε, κλέος τε καὶ ἔπαινος πρὸς ἀνθρώπων τε καὶ θεῶν ἆρ' ἐστὶν ἀγαθὸν μὲν καὶ καλόν, ἀηδὲς δέ, δύσκλεια δὲ τἀναντία; [ἥκιστα, ὦ φίλε νομοθέτα, φήσομεν· ἀλλὰ τὸ μήτε τινὰ ἀδικεῖν μήτε ὑπό τινος ἀδικεῖσθαι μῶν ἀηδὲς μέν, ἀγαθὸν δὲ ἢ καλόν, τὰ δ' ἕτερα ἡδέα μέν, αἰσχρὰ δὲ καὶ κακά;]

ΚΛ. Καὶ πῶς;

ΑΘ. Οὐκοῦν ὁ μὲν μὴ χωρίζων λόγος ἡδύ τε καὶ δίκαιον καὶ ἀγαθόν * τε καὶ καλὸν πιθανός γ', εἰ μηδὲν B ἕτερον, πρὸς μὲν τό ***) τινα ἐθέλειν ζῆν τὸν ὅσιον καὶ δίκαιον βίον, ὥστε νομοθέτῃ γε αἴσχιστος λόγων καὶ ἐναντιώτατος ὃς ἂν μὴ φῇ ταῦτα οὕτως ἔχειν· οὐδεὶς γὰρ ἂν ἑκὼν ἐθέλοι πείθεσθαι πράττειν τοῦτο, ὅτῳ μὴ τὸ χαίρειν τοῦ λυπεῖσθαι πλέον ἕπεται. σκοτοδινιᾶν δὲ τὸ πόῤῥωθεν ὁρώμενον πᾶσί τε, ὡς ἔπος εἰπεῖν, καὶ δὴ καὶ τοῖς παισὶ παρέχει. νομοθέτης δ' ἡμῖν δόξαν εἰς τοὐναντίον τούτου καταστήσει τὸ σκότος ἀφελών, * καὶ πείσει ἀμωσγέπως ἔθε- C

*) ἴσ. πατήρ τε καὶ νομοθέτης.
**) γρ. εἰπάτω.
***) ἄλλ. πρὸς τό.

Utros beatiores oportet dici, eos qui iustissimam, an qui iucundissimam degunt vitam? quodsi dicerent eos qui iucundissimam degant, absurdus eorum esset sermo. nolo autem haec ita dici ac si dii ea pronuncient, sed potius patres et legis latores. itaque quae paullo ante interrogavi e patre et legis latore nunc quaerantur, et dicat hic eum qui iucundissimam vivat vitam esse beatissimum. deinde equidem dicam O pater, non quam beatissime me volebas vivere? adhortari certe numquam me desisti ut viverem quam iustissime. hoc igitur ponens sive legis lator sive etiam pater absurdus, opinor, reperiretur nec sibimet ipsi constans. sin autem iustissimam beatissimam declararet vitam esse, quaereret sine dubio quilibet id audiens, opinor: Quodnam tandem in ea est bonum et pulchrum voluptate praestantius quod lex probat et commendat? ecquid enim iusto bonum erit a voluptate separatum? age, gloria et laus apud homines ac deos estne bona quidem et pulchra, sed iniucunda, infamia vero contra? [minime vero, o care legis lator, dicemus; sed iniuriam inferre neque accipere num iniucundum quidem, at bonum vel pulchrum, reliqua autem iucunda quidem, turpia vero et mala?]

Cl. Quî autem.

Ath. Oratio igitur non separans iucundum et iustum, bonum et pulchrum probabilis est, si nulla alia in re, at hactenus, quod ad vitam nos excitat sanctam et iustam: ut legis latori quidem turpissima orationum maximeque sit contraria quae neget haec sic se habere; nemo enim sua sponte voluerit sibi persuaderi ut quicquam faciat quod non plus laetitiae, quam doloris consequatur. caliginem vero id quod e longinquo intuemur omnibus propemodum atque etiam pueris offundit. quare legis lator nobis iudicium in contrarium eius convertet tenebras dispellens omnique modo persuade-

σι καὶ ἐπαίνοις καὶ λόγοις ὡς ἐσκιαγραφημένα τὰ δίκαιά ἐστι καὶ ἄδικα, καὶ τὰ μὲν ἄδικα τῷ τοῦ δικαίου ἐναντίως φαινόμενα, ἐκ μὲν ἀδίκου καὶ κακοῦ ἑαυτοῦ *) θεωρούμενα ἡδέα, τὰ δὲ δίκαια ἀηδέστατα, ἐκ δὲ δικαίου πάντα τἀναντία παντὶ **) πρὸς ἀμφότερα.

ΚΛ. Φαίνεται.

ΑΘ. Τὴν δ' ἀλήθειαν τῆς κρίσεως ποτέραν κυριωτέραν εἶναι φῶμεν; πότερα τὴν τῆς χείρονος ψυχῆς, ἢ τὴν τῆς βελτίονος;

ΚΛ. * Ἀναγκαῖόν που τὴν τῆς ἀμείνονος. D

ΑΘ. Ἀναγκαῖον ἄρα τὸν ἄδικον βίον οὐ μόνον αἰσχίω καὶ μοχθηρότερον, ἀλλὰ καὶ ἀηδέστερον τῇ ἀληθείᾳ τοῦ δικαίου τε εἶναι καὶ ὁσίου βίου.

ΚΛ. Κινδυνεύει κατά γε τὸν νῦν λόγον, ὦ φίλε.

ΑΘ. Νομοθέτης δὲ οὗ τι καὶ σμικρὸν ὄφελος, εἰ καὶ μὴ τοῦτο ἦν οὕτως ἔχον, ὡς καὶ νῦν αὐτὸ ᾕρηχ' ὁ λόγος ἔχειν, εἴπερ τι καὶ ἄλλο ἐτόλμησεν ἂν ἐπ' ἀγαθῷ ψεύδεσθαι πρὸς τοὺς νέους, ἔστιν ὅ τι τούτου ψεῦδος λυσιτελέστερον ἂν ἐψεύσατό * ποτε καὶ δυνάμενον μᾶλλον, ποιεῖν μὴ βίᾳ, E ἀλλ' ἑκόντας πάντα τὰ δίκαια;

ΚΛ. Καλὸν μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνιμον, ἔοικε μὴν οὐ ῥᾴδιον εἶναι πείθειν.

ΑΘ. Εἶεν, τὸ μὲν τοῦ Σιδωνίου μυθολόγημα ῥᾴδιον ἐγένετο πείθειν, οὕτως ἀπίθανον ὄν, καὶ ἄλλα μυρία;

ΚΛ. Ποῖα;

ΑΘ. Τὸ σπαρέντων ποτὲ ὀδόντων ὁπλίτας ἐξ αὐτῶν φῦναι. καίτοι μέγα γ' ἐστὶ νομοθέτῃ παράδειγμα τοῦ * πεί- 664 σειν ὅ τι ἂν ἐπιχειρῇ τις πείθειν τὰς τῶν νέων ψυχάς. ὥστε οὐδὲν ἄλλο αὐτὸν δεῖ σκοποῦντα ἀνευρίσκειν, ἢ τί πείσας μέγιστον ἀγαθὸν ἐργάσαιτο ἂν πόλιν, τούτου δὲ πέρι πᾶσαν μηχανὴν εὑρίσκειν, ὅντινά ποτε τρόπον ἡ τοιαύτη ξυνοικία πᾶσα περὶ τούτων ἓν καὶ ταὐτὸν ὅτι μάλιστα φθέγγοιτ' ἀεὶ διὰ βίου παντὸς ἔν τε ᾠδαῖς καὶ μύθοις καὶ

*) ἴσ. αὐτοῦ.
**) ἴσ. πάντῃ.

bit consuetudine et laudibus et sermonibus adumbrata esse iusta et iniusta, et iniusta quidem contraria iusti sese exhibere, ab eo autem spectata qui ipse iniustus et malus sit iucunda videri, iusta vero insuavissima, a iusto autem spectata prorsus contraria omnino in utrisque exsistere.

Cl. Videtur.

Ath. Veritatem autem iudicii utram potiorem esse dicamus? deteriorisne animi, an melioris?

Cl. Necessario melioris.

Ath. Iniustam igitur vitam necesse est non solum turpiorem esse atque nequiorem, verum etiam insuaviorem vere iusta sanctaque vita.

Cl. Videtur fere ita ex hac oratione, amice.

Ath. Legis lator vero vel mediocris, etiamsi hoc non sic se haberet, ut nunc ratio probavit, si quid mendacii iuvenibus utilitatis causa dicere sustineret, estne mendacium quod umquam diceret hoc salubrius magisque ad id valens, ut non coacti, sed volentes omnia iusta agerent?

Cl. Pulchra quidem veritas, hospes, et stabilis, videtur tamen haud facilis esse persuasu.

Ath. Itane? Sidonii fabula facilis erat persuasu, licet tam incredibilis fuerit, aliaque innumerabilia?

Cl. Quaenam?

Ath. E dentibus olim humi sparsis ortos esse viros armatos. quamquam magno hoc est legis latori exemplo posse quempiam iuvenum animis quicquid velit persuadere. quocirca nihil aliud eum spectare et excogitare oportet nisi hoc, quid persuadendo maximum bonum civitati afferat, omnique studio rationem invenire qua universa haec societas de illis unum et idem quam maxime eloquatur semper per omnem vitam in canti-

λόγοις. εἰ δ' οὖν ἄλλῃ πῃ δοκεῖ ἢ ταύτῃ, πρὸς ταῦτα οὐ-
δεὶς φθόνος ἀμφισβητῆσαι τῷ λόγῳ.

ΚΛ. * Ἀλλ' οὔ μοι φαίνεται πρός γε ταῦτα δύνασθαι B
ἡμῶν ἀμφισβητῆσαί ποτ' ἂν οὐδέτερος.

ΑΘ. Τὸ μετὰ τοῦτο τοίνυν ἐμὸν ἂν εἴη λέγειν. φημὶ
γὰρ ἅπαντας δεῖν ἐπᾴδειν τρεῖς ὄντας τοὺς χοροὺς ἔτι νέαις
οὔσαις ταῖς ψυχαῖς καὶ ἁπαλαῖς τῶν παίδων, τά τε ἄλλα
καλὰ λέγοντας πάντα ὅσα διεληλύθαμέν τε καὶ ἔτι διέλθοι-
μεν ἄν, τὸ δὲ κεφάλαιον αὐτῶν τοῦτο ἔστω· τὸν αὐτὸν ἥδι-
στόν τε καὶ ἄριστον ὑπὸ θεῶν βίον λέγεσθαι φάσκοντες
ἀληθέστατα * ἐροῦμεν ἅμα καὶ μᾶλλον πείσομεν οὓς δεῖ C
πείθειν, ἢ ἐὰν ἄλλως πως φθεγγώμεθα λέγοντες.

ΚΛ. Ξυγχωρητέον ἃ λέγεις.

ΑΘ. Πρῶτον μὲν τοίνυν ὁ Μουσῶν χορὸς ὁ παιδικὸς
ὀρθότατ' ἂν εἰςίοι πρῶτος τὰ τοιαῦτα εἰς τὸ μέσον ᾀσόμε-
νος ἁπάσῃ σπουδῇ καὶ ὅλῃ τῇ πόλει, δεύτερος δὲ ὁ μέχρι
τριάκοντα ἐτῶν, τόν τε Παιᾶνα ἐπικαλούμενος μάρτυρα τῶν
λεγομένων ἀληθείας πέρι καὶ τοῖς νέοις ἵλεων μετὰ πει-
θοῦς γίγνεσθαι ἐπευχόμενος. * δεῖ δὲ δὴ καὶ ἔτι τρίτους D
τοὺς ὑπὲρ τριάκοντα ἔτη μέχρι τῶν ἑξήκοντα γεγονότας ᾄδειν·
τοὺς δὲ μετὰ ταῦτα (οὐ γὰρ ἔτι δυνατοὶ φέρειν ᾠδάς) μυ-
θολόγους περὶ τῶν αὐτῶν ᾠδῶν *) διὰ θείας φήμης κατα-
λελεῖφθαι.

ΚΛ. Λέγεις δέ, ὦ ξένε, τίνας τούτους τοὺς χοροὺς
τοὺς τρίτους; οὐ γὰρ πάνυ ξυνίεμεν σαφῶς ὅ τι ποτε βού-
λει φράζειν αὐτῶν πέρι.

ΑΘ. Καὶ μὴν εἰσί γε οὗτοι σχεδὸν ὧν χάριν οἱ πλεῖ-
στοι τῶν ἔμπροσθεν ἐῤῥήθησαν λόγων.

ΚΛ. * Οὔπω μεμαθήκαμεν, ἀλλ' ἔτι σαφέστερον πει- E
ρῶ φράζειν.

ΑΘ. Εἴπομεν, εἰ μεμνήμεθα, κατ' ἀρχὰς τῶν λόγων
ὡς ἡ φύσις ἁπάντων τῶν νέων διάπυρος οὖσα ἡσυχίαν οὐχ
οἵα τε ἄγειν οὔτε κατὰ τὸ σῶμα οὔτε κατὰ τὴν φωνὴν εἴη,

*) ἄλλ. ἠθῶν.

bus et fabulis et orationibus. ſi vero aliter videtur quam ita, nihil impedit quominus verbis de hoc disceptemus.

Cl. At neuter noſtrum mihi videtur de hoc umquam disceptaturus eſſe.

Ath. Deinceps igitur meum erit dicere. aio enim omnes debere tres choros novellis adhuc et teneris puerorum animis cantionem adhibere, quum cetera pulchra dicentes omnia quae expoſuimus et adhuc exponemus, tum ſummam eorum quae haec eſto: eandem iucundiſſimam et optimam a diis vitam appellari affirmantes veriſſime dicemus ſimulque magis perſuadebimus quibus nos perſuadere oportet, quam ſi aliam quam ſententiam dicimus.

Cl. Concedendum quod ais.

Ath. Primum igitur Muſarum chorus puerilis ille rectiſſime ingredietur primus haec in commune cantaturus omni ſtudio univerſaeque civitati, ſecundus deinde eorum chorus qui triceſimum annum agunt Paeana dictorum veritatis teſtem invocans precansque ut iuvenibus cum ſuadela ſit propitius. oportet vero etiam tertios qui triceſimum annum transgreſſi ad ſexageſimum pervenerunt canere; eos autem qui deinceps ſequuntur (neque enim iam cantus ferre poſſunt) relinqui oportet de îsdem cantibus per divinum oraculum fabulantes.

Cl. Quosnam, hoſpes, tertios hos choros dicis? non enim ſatis clare intelligimus quid tandem velis de iſtis ſignificare.

Ath. Sunt tamen hi fere quorum cauſa plurimae ſuperiorum orationum ſunt susceptae.

Cl. Nondum perſpeximus, at etiam clarius conare dicere.

Ath. Poſuimus, ſi meminimus, initio orationum naturam omnium novellorum fervidam non poſſe quieſcere neque corpore neque voce, ſed loqui ſemper immode-

φθέγγοιτο δ' ἀεὶ ἀτάκτως καὶ πηδῷ· τάξεως δ' αἴσθησιν τούτων ἀμφοτέρων τῶν ἄλλων μὲν ζώων οὐδὲν ἐφάπτοιτο, ἡ δὲ ἀνθρώπου φύσις ἔχοι μόνη τοῦτο. τῇ δὲ *) τῆς κινήσεως * τάξει ῥυθμὸς ὄνομα εἴη, τῇ δ' αὖ τῆς φωνῆς, 665
τοῦ τε ὀξέος ἅμα καὶ βαρέος ξυγκεραννυμένων, ἁρμονία ὄνομα προσαγορεύοιτο, χορεία δὲ τὸ ξυναμφότερον κληθείη. θεοὺς δὲ ἔφαμεν ἐλεοῦντας ἡμᾶς ξυγχορευτάς τε καὶ χορηγοὺς ἡμῖν δεδωκέναι τόν τε Ἀπόλλωνα καὶ Μούσας, καὶ δὴ καὶ τρίτον ἔφαμεν, εἰ μεμνήμεθα, Διόνυσον.

ΚΛ. Πῶς δ' οὐ μεμνήμεθα;

ΑΘ. Ὁ μὲν τοίνυν τοῦ Ἀπόλλωνος καὶ τῶν Μουσῶν χορὸς εἴρηνται, τὸν δὲ τρίτον καὶ τὸν λοιπὸν * χορὸν ἀνάγ- B
κη τοῦ Διονύσου λέγεσθαι.

ΚΛ. Πῶς δή; λέγε· μάλα γὰρ ἄτοπος γίγνοιτ' ἂν ὥς γ' ἐξαίφνης ἀκούσαντι Διονύσου πρεσβυτῶν χορός, εἰ ἄρα οἱ ὑπὲρ τριάκοντα καὶ πεντήκοντα δὲ γεγονότες ἔτη μέχρι ἑξήκοντα αὐτῷ **) χορεύουσιν.

ΑΘ. Ἀληθέστατα μέντοι λέγεις. λόγου δὲ δεῖ πρὸς ταῦτα, οἶμαι, ὅπῃ τοῦτο εὔλογον οὕτω γιγνόμενον ἂν γίγνοιτο.

ΚΛ. Τί μήν;

ΑΘ. Ἆρ' οὖν ἡμῖν τά γε ἔμπροσθεν ὁμολογεῖται;

ΚΛ. * Τοῦ πέρι; C

ΑΘ. Τοῦ ***) δεῖν πάντα ἄνδρα καὶ παῖδα, ἐλεύθερον καὶ δοῦλον, θῆλύν τε καὶ ἄῤῥενα, καὶ ὅλῃ τῇ πόλει ὅλην τὴν πόλιν αὐτὴν αὐτῇ ἐπᾴδουσαν μὴ παύεσθαί ποτε ταῦτα ἃ διεληλύθαμεν, ἀμωσγέπως ἀεὶ μεταβαλλόμενα καὶ πάντως παρεχόμενα ποικιλίαν, ὥστε ἀπληστίαν εἶναί τινα τῶν ὕμνων τοῖς ᾄδουσι καὶ †) ἡδονήν.

ΚΛ. Πῶς δ' οὐχ ὁμολογοῖτο ἂν δεῖν ταῦτα οὕτω πράττεσθαι;

ΑΘ. Ποῦ δὴ τοὖθ' ἡμῖν τὸ ἄριστον τῆς * πόλεως, D
ἡλικίαις τε καὶ ἅμα φρονήσεσι πιθανώτατον ὂν τῶν ἐν τῇ

*) ἄλλ. δή.
**) ἴσ. αὐτοί.
***) γρ. Τά.
†) ἴσ. καθ'.

rate atque falire; modi autem et ordinis fenfum in utroque reliquorum animantium nullum attingere, fed hominis naturam eum folam habere, et ordini quidem qui in motu fervetur numeri nomen effe, ordini autem in voce, acuto fimul et gravi permixtis, harmoniae nomen effe impofitum, et choream utrumque coniunctum vocari. deos vero diximus miferatione noftri commotos faltationis focios chorique duces nobis dediffe Apollinem et Mufas, atque etiam tertium memoravimus, fi meminimus, Bacchum.

Cl. Quidni meminerimus?

Ath. Et Apollinis quidem Mufarumque chori funt dicti, tertium vero ac reliquum chorum oportet Bacchi appellari.

Cl. Quid ita? dic; admodum enim admirabilis erit extemplo audienti Bacchi feniorum chorus, fi quidem tricefimum annum transgreffi et quinquagefimum usque ad fexagefimum asfequuti eo utuntur.

Ath. Veriffime fane dicis. orationem vero hoc defiderat, opinor, quomodo confentaneum fit ita fieri.

Cl. Quidni?

Ath. Numquid fuperiora inter nos conveniunt?

Cl. Quaenam?

Ath. Oportere quemque virum et puerum, liberum et fervum, marem et feminam, et univerfae civitati univerfam civitatem fibimet ipfi numquam definere ea cantare quae explicavimus quacumque femper ratione mutata omnique varietate temperata, ita ut canentes infatiabili quodam propter voluptatem carminum defiderio teneantur.

Cl. Quidni confentiamus haec ita effe gerenda?

Ath. Ubi vero optima haec nobis civitatis pars, et aetate et prudentia maxime omnium qui in civitate ver-

πόλει, ᾄδον τὰ κάλλιστα μέγιστ' ἂν ἐξεργάζοιτο ἀγαθά; ἢ τοῦτο ἀνοήτως οὕτως ἀφήσομεν, ὃ κυριώτατον ἂν εἴη τῶν καλλίστων τε καὶ ὠφελιμωτάτων ᾠδῶν;

ΚΛ. Ἀλλ' ἀδύνατον τὸ μεθιέναι, ὥς γε τὰ νῦν λεγόμενα.

ΑΘ. Πῶς οὖν πρέπον ἂν εἴη τοῦτο; ὁρᾶτε εἰ τῇδέ πῃ *).

ΚΛ. Πῇ **);

ΑΘ. Πᾶς που γιγνόμενος πρεσβύτερος ὄκνου πρὸς τὰς ᾠδὰς μεστός, καὶ χαίρει τε ἧττον πράττων τοῦτο * καὶ E ἀνάγκης γιγνομένης αἰσχύνοιτ' ἂν μᾶλλον, ὅσῳ πρεσβύτερος καὶ σωφρονέστερος γίγνεται, τόσῳ μᾶλλον· ἆρ' οὐχ οὕτως;

ΚΛ. Οὕτω μὲν οὖν.

ΑΘ. Οὐκοῦν ἐν θεάτρῳ γε καὶ παντοίοις ἀνθρώποις ᾄδειν ἑστὼς ὀρθὸς ἔτι μᾶλλον αἰσχύνοιτ' ἄν· καὶ ταῦτά γ' εἰ καθάπερ οἱ περὶ νίκης χοροὶ ἀγωνιζόμενοι πεφωνασκηκότες ἰσχνοί τε καὶ ἄσιτοι ἀναγκάζοιντο ᾄδειν οἱ τοιοῦτοι, παντάπασί που ἀηδῶς τε καὶ αἰσχυντηλῶς ᾄδοντες ἀπροθύμως ἂν τοῦτ' ἐργάζοιντο.

ΚΛ. Ἀναγκαιότατα μέντοι λέγεις. 666

ΑΘ. Πῶς οὖν αὐτοὺς παραμυθησόμεθα προθύμους εἶναι πρὸς τὰς ᾠδάς; ἆρ' οὖν ***) νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβούμενοι ἕξιν τῶν νέων· μετὰ δὲ τοῦτο οἴνου μὲν ἤδη †) γεύεσθαι τοῦ μετρίου μέχρι τριάκοντα * ἐτῶν, μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, B ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα, καλεῖν τούς τε ἄλλους θεοὺς καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτῶν τελετὴν ἅμα καὶ παιδιάν, ἣν τοῖς ἄλλοις ἀνθρώποις ἐπί-

---

*) γρ. τῇδε. **) γρ. Πῇ δή;
***) γρ. ἆρ' οὐ. †) γρ. δή.

fantur perfuadendi vim habens, quae pulcherrima canens maxima efficiet bona? an hanc tam inconfiderate dimittemus, quae pulcherrimorum et utiliffimorum carminum poteftatem habebit?

Cl. At fieri non poteft ut dimittamus, ut quidem nunc dicta oftendunt.

Ath. Quomodo igitur decenter id fiet? videte an hac fere ratione.

Cl. Quanam?

Ath. Quivis fere fenior cunctationis canendi plenus minusque gaudet hoc faciens et neceffitate coactus tanto magis erubefcit, quanto fenior eft atque modeftior; nonne ita?

Cl. Ita fane.

Ath. Quocirca in theatro et coram hominibus omnis generis canere erectus etiam magis erubefcet; idque fi, quemadmodum chori de victoria certantes, voce fub magiftro exercitata graciles ieiuni hi cogantur cantare, prorfus gravate et verecunde canentes haud prompte id faciant.

Cl. Maxime vero neceffarium eft quod dicis.

Ath. Quomodo igitur eos confolabimur ut prompti fint ad canendum? legemne feremus primum ne pueri usque ad annum duodevicefimum omnino vinum guftent, docentes non oportere id, tamquam ignem igni, corpori et animo infundi, priusquam ad labores incipiant progredi, infanum caventes habitum iuvenum; deinde ut vinum quidem guftent moderate usque ad tricefimum annum, ebrietate autem et vinolentia prorfus iuvenis fe abstineat; quadragefimum vero annum ingreffus in conviviis quum ceteros deos invocet tum etiam Bacchum invitet ad fenum facra fimulque ludum, qui quidem vinum hominibus in univerfum largitus fit

κουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο τὸν οἶνον
φάρμακον, ὥςτ' ἀνηβᾶν ἡμᾶς καὶ δυςθυμίας λήθην γί-
γνεσθαι, μαλακώτερόν τε *) ἐκ σκληροτέρου τὸ * τῆς ψυ- C
χῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα, γιγνόμενον,
καὶ οὕτως εὐπλαστότερον εἶναι; πρῶτον μὲν δὴ διατεθεὶς
οὕτως ἕκαστος ἆρ' οὐκ ἂν ἐθέλοι προθυμότερόν γε **), ἧτ-
τον αἰσχυνόμενος, οὐκ ἐν πολλοῖς, ἀλλ' ἐν μετρίοις, καὶ
οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν οἰκείοις, ᾄδειν τε καὶ ὃ πολλά-
κις εἰρήκαμεν ἐπᾴδειν;

ΚΛ. Καὶ πολύ γε.

ΑΘ. Εἰς μὲν γε τὸ προάγειν τοίνυν αὐτοὺς μετέχειν
ἡμῖν ᾠδῆς οὗτος ὁ τρόπος οὐκ ἂν παντάπασιν ἀσχήμων
* γίγνοιτο. D

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Ποίαν δὲ ᾄσουσιν ***) οἱ ἄνδρες φωνὴν ἢ Μοῦσαν; ἢ δῆλον ὅτι πρέπουσαν αὐτοῖς δεῖ γέ τινα †).

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τίς ἂν οὖν πρέποι θείοις ἀνδράσιν; ἆρ' ἂν ἡ τῶν χορῶν;

ΚΛ. Ἡμεῖς γοῦν, ὦ ξένε, καὶ οἵδε οὐκ ἄλλην ἄν τινα δυναίμεθα ᾠδὴν ἢ ἣν ἐν τοῖς χοροῖς ἐμάθομεν ξυνήθεις ᾄδειν γενόμενοι.

ΑΘ. Εἰκότως γε· ὄντως γὰρ οὐκ ἐπήβολοι γεγόνατε
τῆς καλλίστης ᾠδῆς· στρατοπέδου * γὰρ πολιτείαν ἔχετε, E
ἀλλ' οὐκ ἐν ἄστεσι κατῳκηκότων, ἀλλ' οἷον ἀθρόους πώ-
λους ἐν ἀγέλῃ νεμομένους φορβάδας τοὺς νέους κέκτησθε.
λαβὼν δὲ ὑμῶν οὐδεὶς τὸν αὑτοῦ παρὰ τῶν ξυννόμων σπά-
σας σφόδρα ἀγριαίνοντα καὶ ἀγανακτοῦντα, ἱπποκόμον τε
ἐπέστησεν ἰδίᾳ καὶ παιδεύει ψήχων τε καὶ ἡμερῶν καὶ πάν-
τα προσήκοντα ἀποδιδοὺς τῇ παιδοτροφίᾳ, ὅθεν οὐ μόνον
ἀγαθὸς ἂν στρατιώτης εἴη, πόλιν δὲ καὶ ἄστυ δυνάμενος
* διοικεῖν, ὃν δὴ κατ' ἀρχὰς εἴπομεν τῶν Τυρταίου πολε- 667
μικῶν εἶναι πολεμικώτερον, τέταρτον ἀρετῆς, ἀλλ' οὐ πρῶ-

*) γρ. μαλακώτερον. **) γρ. τε.
***) ἴσ. ἥσουσιν. †) ἴσ. αὐτοῖς δή τινα.

auxiliare ad fenectutis aufteritatem remedium, quo revirefcamus et moeftitiae oblivifcamur animique affectus, ficut ferrum igne coctum, mollior e duriore efficiatur et fic facilior fit ad fingendum? primum igitur ita affectus quisque nonne promptius voluerit, minus erubefcens, non in multis, fed in paucis, non in alienis, fed in familiaribus, canere et quas faepius diximus cantionibus uti?

Cl. Longe vero.

Ath. Hic quidem incitandi modus ut in cantus partem nobis veniant haud fane indecorus erit.

Cl. Haudquaquam.

Ath. Qualem vero mittent viri vocem vel mufam? an patet aliquam fibi decoram?

Cl. Quidni?

Ath. Quaenam igitur deceat divinos viros? chorine mufa?

Cl. Nos certe, hofpes, et hi nullum alium poffimus cantum edere nifi eum quem in choris didicimus et cui asfueti fumus.

Ath. Haud fane mirum; revera enim non asfequuti eftis pulcherrimum cantum; nam caftrenfem habetis civitatem, non urbem incolentium hominum, et iuvenes veftri gregales funt pullorum turbae inftar in grege pafcentis. nemo autem de vobis fuum e contubernalibus eximit admodum ferocientem et reluctantem, equifonem privatim ei praeficit et inftituit ftringens et manfuefaciens omniaque pueri educationi convenientia adhibens, quo non bonus modo miles efficiatur, verum etiam idoneus ad civitatem et urbem adminiftrandam, quem quidem initio diximus Tyrtaei militibus effe magis militarem, quartum virtutis locum, non primum fortitudini

τον τὴν ἀνδρείαν κτῆμα τιμῶντα ἀεὶ καὶ πανταχοῦ ἰδιώταις τε καὶ ξυμπάσῃ πόλει.

ΚΛ. Οὐκ οἶδα ἡμῶν, ὦ ξένε, ὅπῃ πάλιν αὖ τοὺς νομοθέτας φαυλίζεις.

ΑΘ. Οὐκ, ὦ 'γαθέ, προσέχων τούτῳ τὸν νοῦν δρῶ τοῦτο, εἴπερ, ἀλλ᾽ ὁ λόγος ὅπῃ φέρει, ταύτῃ πορευώμεθα, εἰ βούλεσθε. εἰ γὰρ ἔχομεν μοῦσαν τῆς τῶν χορῶν καλλίω * καὶ τῆς ἐν τοῖς κοινοῖς θεάτροις, πειρώμεθα ἀποδοῦναι B τούτοις οὓς φαμεν ἐκείνην μὲν αἰσχύνεσθαι, ζητεῖν δὲ ἥτις καλλίστη ταύτης κοινωνεῖν.

ΚΛ. Πάνυ γε.

ΑΘ. Οὐκοῦν πρῶτον μὲν δεῖ τόδε γε ὑπάρχειν ἅπασιν ὅσοις ξυμπαρέπεταί τις χάρις, ἢ τοῦτο αὐτὸ μόνον αὐτοῦ τὸ σπουδαιότατον εἶναι, ἤ τινα ὀρθότητα, ἢ τὸ τρίτον ὠφέλειαν; οἷον δὴ λέγω ἐδωδῇ μὲν καὶ πόσει καὶ ξυμπάσῃ τροφῇ παρέπεσθαι μὲν τὴν χάριν, ἣν ἡδονὴν ἂν προσείποιμεν, * ἣν δὲ ὀρθότητά τε καὶ ὠφέλειαν, ὅπερ ὑγιεινὸν *) τῶν προσφερομένων λέγομεν ἑκάστοτε, τοῦτ᾽ αὐτὸ εἶναι ἐν αὐτοῖς καὶ τὸ ὀρθότατον. C

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ μὴν καὶ τῇ μαθήσει παρακολουθεῖν μὲν τό γε τῆς χάριτος τὴν ἡδονήν, τὴν δὲ ὀρθότητα καὶ τὴν ὠφέλειαν καὶ τὸ εὖ καὶ τὸ καλῶς τὴν ἀλήθειαν εἶναι τὴν ἀποτελοῦσαν.

ΚΛ. Ἔστιν οὕτως.

ΑΘ. Τί δέ; τῇ τῶν ὁμοίων ἐργασίᾳ, ὅσαι τέχναι εἰκαστικαί, ἆρ᾽ οὐκ, ἂν τοῦτο * ἐξεργάζωνται, τὸ μὲν ἡδονὴν D ἐν αὐτοῖς γίγνεσθαι, παρεπόμενον ἐὰν γίγνηται, χάριν αὐτὸ δικαιότατον ἂν εἴη προσαγορεύειν;

ΚΛ. Ναί.

ΑΘ. Τὴν δέ γε ὀρθότητά που τῶν τοιούτων ἡ ἰσότης ἄν, ὡς ἐπὶ τὸ πᾶν εἰπεῖν, ἐξεργάζοιτο τοῦ τε τοσούτου καὶ τοῦ τοιούτου πρότερον, ἀλλ οὐχ ἡδονή.

---

*) ἴσ. τὸ ὑγιεινόν.

concedens ſemper et ubique tam inter privatos quam in univerſa civitate.

Cl. Neſcio, hoſpes, quomodo rurſus de legis latoribus noſtris detrahas.

Ath. Non, o bone, hoc ſpectans id facio, ſi quidem facio, ſed oratio quo ducat, eo progrediamur, ſi voltis. etenim ſi muſam habemus pulchriorem ea quae in choris communibusque theatris frequentatur, conemur eam tribuere his quos dicimus illius pudere, cupere autem eius quae pulcherrima ſit participes fieri.

Cl. Sane quidem.

Ath. Nonne primum hoc oportet omnibus ſubeſſe rebus cum gratia aliqua coniunctis, ut vel hac ſola, vel recta quadam ratione, vel tertio utilitate praeſtent? velut dico cibo et potui omnique alimento adiunctam eſſe gratiam, quam voluptatem appellemus, de recta vero ratione et utilitate quam vocemus, quod ſalubre dicamus in omnibus quae adhibeantur, id ipſum eſſe in eis etiam rectiſſimum.

Cl. Sane quidem.

Ath. Atque etiam diſciplinam conſequi gratiam, id eſt voluptatem, veritatem autem eſſe rectae rationis et utilitatis et bonae pulchraeque diſciplinae efficientem.

Cl. Eſt vero ita.

Ath. Quid? ſimilium confectioni, quae omnes artes imitatrices complectitur, nonne ſi id accedat quod ſpectent, voluptas, gratiam hoc rectiſſime dicamus?

Cl. Etiam.

Ath. Rectam autem rationem harum rerum, ni fallor, aequalitas, ut ſummatim dicam, efficiat quantitatis et qualitatis prius, non voluptas,

ΚΛ. Καλῶς.

ΑΘ. Οὐκοῦν ἡδονῇ κρίνοιτ' ἂν μόνον ἐκεῖνο ὀρθῶς, ὃ μήτε τινὰ ὠφέλειαν μήτε ἀλήθειαν μήτε ὁμοιότητα ἀπεργαζόμενον παρέχεται, * μηδ' αὖ γε βλάβην, ἀλλ' αὐτοῦ E τούτου μόνου ἕνεκα γίγνοιτο τοῦ ξυμπαρεπομένου τοῖς ἄλλοις, τῆς χάριτος, ἣν δὴ κάλλιστά τις ὀνομάσαι ἂν ἡδονήν, ὅταν μηδὲν αὐτῇ τούτων ἐπακολουθῇ;

ΚΛ. Ἀβλαβῆ λέγεις ἡδονὴν μόνον.

ΑΘ. Ναί, καὶ παιδιάν γε εἶναι τὴν αὐτὴν ταύτην λέγω τότε, ὅταν μήτε τι βλάπτῃ μήτε ὠφελῇ σπουδῆς ἢ λόγου ἄξιον.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ἆρ' οὖν οὐ πᾶσαν μίμησιν φαῖμεν ἂν ἐκ τῶν νῦν λεγομένων ἥκιστα ἡδονῇ προσήκειν κρίνεσθαι καὶ δόξῃ μὴ ἀληθεῖ, * καὶ δὴ καὶ πᾶσαν ἰσότητα; οὐ γὰρ εἴ τῳ δοκεῖ ἢ μή τις *) χαίρει τῳ, τό γε ἴσον ἴσον οὐδὲ τὸ ξύμμετρον ἂν εἴη ξύμμετρον ὅλως, ἀλλὰ τῷ ἀληθεῖ πάντων μάλιστα, ἥκιστα δὲ ὁτῳοῦν ἄλλῳ. 668

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Οὐκοῦν μουσικήν γε πᾶσάν φαμεν εἰκαστικήν τε εἶναι καὶ μιμητικήν;

ΚΛ. Τί μήν;

ΑΘ. Ἥκιστ' ἄρα ὅταν τις μουσικὴν ἡδονῇ φῇ κρίνεσθαι, τοῦτον ἀποδεκτέον τὸν λόγον, καὶ ζητητέον ἥκιστα ταύτην ὡς σπουδαίαν, εἴ τις ἄρα που καὶ * γίγνοιτο, B ἀλλ' ἐκείνην τὴν ἔχουσαν τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Καὶ τούτοις δὴ τοῖς τὴν καλλίστην ᾠδήν τε ζητοῦσι καὶ μοῦσαν ζητητέον, ὡς ἔοικεν, οὐχ ἥτις ἡδεῖα, ἀλλ' ἥτις ὀρθή· μιμήσεως γὰρ ἦν, ὡς ἔφαμεν, ὀρθότης, εἰ τὸ μιμηθὲν ὅσον τε καὶ οἷον ἦν ἀποτελοῖτο.

---

*) Ισ. ἢ εἴ τις.

Cl. Praeclare.

Ath. Nonne voluptate iudicabitur solum illud recte, quod neque utilitatem aliquam neque veritatem neque similitudinem efficit et exhibet, neque contra damnum, sed ad id ipsum solum quod ad reliqua accedit, ad gratiam spectat, quam quidem rectissime quis appellaverit voluptatem, si nihil eam illorum consequatur?

Cl. Innocentem tantum dicis voluptatem.

Ath. Etiam, et ludum quidem esse eandem aio tum, quum neque damni neque utilitatis aliquid afferat quod studio et oratione dignum sit.

Cl. Verissime dicis.

Ath. Nonne igitur quamlibet imitationem sumamus ex his quae nunc dicta sunt minime voluptate esse iudicandam et opinione non vera, atque etiam omnem aequalitatem? neque enim, si cui videatur vel si quis quo delectetur, aequale erit aequale nec mensurae respondens omnino erit respondens, sed vero omnium maxime, minime alio quocumque, iudicandum.

Cl. Est sane ita.

Ath. Nonne musicam quidem omnem dicimus assimilare et imitari?

Cl. Quidni?

Ath. Minime ergo, si quis musicam voluptate dicat iudicari: haec accipienda est oratio, minimeque quaerenda est illa tamquam studio digna, etiamsi exsistat alicubi, sed ea quae similitudinem habet ex pulchri imitatione.

Cl. Verissime.

Ath. Itaque his qui optimum cantum et musam quaerunt quaerendum, ut perspicitur, non quae iucunda, sed quae recta sit; imitationis enim erat, ut diximus, recta ratio, si res imitatione expressa quanta et qualis esset exhiberetur.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ μὴν τοῦτό γε πᾶς ἂν ὁμολογοῖ περὶ τῆς μουσικῆς, ὅτι πάντα τὰ περὶ αὐτήν ἐστι ποιήματα μίμησίς τε καὶ ἀπεικασία· * καὶ τοῦτό γε μῶν οὐκ ἂν ξύμπαντες ὁμολογοῖεν ποιηταί τε καὶ ἀκροαταὶ καὶ ὑποκριταί; C

ΚΛ. Καὶ μάλα.

ΑΘ. Δεῖ δὴ καθ' ἕκαστόν γε, ὡς ἔοικε, γιγνώσκειν τῶν ποιημάτων, ὅ τί ποτ' ἔστι, τὸν μέλλοντα ἐν αὐτῷ μὴ ἁμαρτήσεσθαι· μὴ γὰρ γιγνώσκων τὴν οὐσίαν, τί ποτε βούλεται καὶ ὅτου ποτὲ ἔστιν εἰκὼν ὄντως, σχολῇ τήν γε ὀρθότητα τῆς βουλήσεως ἢ καὶ ἁμαρτίαν αὐτοῦ διαγνώσεται.

ΚΛ. Σχολῇ· πῶς δ' οὔ;

ΑΘ. Ὁ δὲ τὸ ὀρθῶς * μὴ γιγνώσκων ἆρ' ἄν ποτε D τό γε εὖ καὶ τὸ κακῶς δυνατὸς εἴη διαγνῶναι; λέγω δ' οὐ πάνυ σαφῶς, ἀλλ' ὧδε σαφέστερον ἴσως ἂν λεχθείη.

ΚΛ. Πῶς;

ΑΘ. Εἰσὶ δήπου κατὰ τὴν ὄψιν ἡμῖν ἀπεικασίαι μυρίαι.

ΚΛ. Ναί.

ΑΘ. Τί οὖν; εἴ τις ἀγνοοῖ *) τῶν μεμιμημένων ὅ τί ποτ' ἔστιν ἕκαστον τῶν σωμάτων, ἆρ' ἄν ποτε τό γε ὀρθῶς αὐτῶν εἰργασμένων γνοίη; λέγω δὲ τὸ τοιόνδε, οἷον τοὺς ἀριθμοὺς τοῦ σώματος καὶ ἑκάστων τῶν μερῶν τὰς θέσεις * εἰ ἔχει, ὅσοι τ' εἰσὶ καὶ ὁποῖα παρ' ὁποῖα αὐτῶν E κείμενα τὴν προσήκουσαν τάξιν ἀπείληφε, καὶ ἔτι δὴ χρώματά τε καὶ σχήματα, ἢ πάντα ταῦτα τεταραγμένως εἴργασται· μῶν δοκεῖ ταῦτ' ἄν ποτε διαγνῶναί τις τὸ παράπαν ἀγνοῶν ὅ τί ποτ' ἔστι τὸ μεμιμημένον ζῶον;

ΚΛ. Καὶ πῶς;

ΑΘ. Τί δ'; εἰ γιγνώσκοιμεν ὅτι τὸ γεγραμμένον ἢ τὸ πεπλασμένον ἐστὶν ἄνθρωπος, καὶ τὰ μέρη πάντα τὰ * ἑαυ- 669

---

*) ἄλλ. εἴ τις καὶ ἐν τούτοις ἀγνοοῖ.

Cl. Quidni?

Ath. Atqui hoc fane quivis fatebitur de mufica omnia eius opera effe imitationem et adumbrationem; et hoc quidem nonne omnes ad unum fatebuntur poëtae et auditores et actores?

Cl. Etiam.

Ath. Oportet igitur quodque, ut patet, cognofcere poëma quale tandem fit, qui in eo non fit lapfurus; nifi enim cognoverit naturam, quid tandem velit et cuiusnam rei revera fit imago, vix rectam voluntatis eius et confilii rationem vel etiam errorem dignofcet.

Cl. Vix: quidni?

Ath. Qui vero rectum non cognoverit umquamne bonum et malum potuerit perfpicere? loquor autem non fatis clare, at ita clarius fortaffe explicabo.

Cl. Quomodo?

Ath. Sunt fane fecundum vifum nobis adumbrationes innumerabiles.

Cl. Vero.

Ath. Quid igitur? fi quis ignorat quodque corporum imitatione expresforum quidnam fit, num poterit umquam rectam eorum adumbrationem cognofcere? hoc autem dico: an numeros fingularumque partium fitum habeat res adumbrata, quot funt qualesque et ad quales pofitae convenientem nactae funt ordinem, et praeterea colores et formas, an omnia haec perturbate efficta fint, hoc igitur num videtur tibi umquam quis perfpecturus effe, nifi omnino cognoverit quid fit exemplar imitatione expreffum?

Cl. Quî vero poffit?

Ath. Quid igitur? fi cognofcimus pictum vel fictum effe hominem partesque omnes fuas fimulque colo-

τοῦ καὶ χρώματα ἅμα καὶ σχήματα ἀπείληφεν ὑπὸ τῆς τέχνης, ἆρά γε ἀναγκαῖον ἤδη τῷ ταῦτα γνόντι καὶ ἐκεῖνο ἑτοίμως γιγνώσκειν, εἴτε καλὸν εἴτε ὅπῃ ποτὲ ἐλλιπὲς ἂν εἴη κάλλους;

ΚΛ. Πάντες μέντ' ἂν ὡς ἔπος εἰπεῖν, ὦ ξένε, τὰ καλὰ τῶν ζώων ἐγιγνώσκομεν.

ΑΘ. Ὀρθότατα λέγεις. ἆρ' οὖν οὐ περὶ ἑκάστην εἰκόνα καὶ ἐν γραφικῇ καὶ ἐν μουσικῇ καὶ πάντῃ τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι δεῖ ταῦτα τρία ἔχειν, * ὃ B τί ἐστι *) πρῶτον γιγνώσκειν, ἔπειτα ὡς ὀρθῶς, ἔπειθ' ὡς εὖ, τὸ τρίτον, εἴργασται τῶν εἰκόνων ἡτισοῦν ῥήμασί τε καὶ μέλεσι καὶ τοῖς ῥυθμοῖς;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Μὴ τοίνυν ἀπείπωμεν λέγοντες τὸ περὶ τὴν μουσικὴν ᾗ χαλεπόν. ἐπειδὴ γὰρ ὑμνεῖται τὸ περὶ αὐτὴν διαφερόντως ἢ τὰς ἄλλας εἰκόνας, εὐλαβείας δὴ δεῖται πλείστης πασῶν εἰκόνων· ἁμαρτών τε γάρ τις μέγιστ' ἂν βλάπτοιτο, ἤθη κακὰ φιλοφρονούμενος, χαλεπώτατόν * τε αἰ- C σθέσθαι διὰ τὸ τοὺς ποιητὰς φαυλοτέρους εἶναι ποιητὰς αὐτῶν τῶν Μουσῶν· οὐ γὰρ ἂν ἐκεῖναί γε ἐξαμάρτοιέν ποτε τοσοῦτον, ὥστε ῥήματα ἀνδρῶν ποιήσασαι τὸ σχῆμα γυναικῶν καὶ μέλος ἀποδοῦναι, καὶ μέλος ἐλευθέρων αὖ καὶ σχήματα ξυνθεῖσαι ῥυθμοὺς δούλων καὶ ἀνελευθέρων προσαρμόττειν, οὐδ' αὖ ῥυθμοὺς καὶ σχῆμα ἐλευθέριον ὑποθεῖσαι μέλος ἢ λόγον ἐναντίον ἀποδοῦναι τοῖς ῥυθμοῖς· ἔτι δὲ θηρίων φωνὰς * καὶ ἀνθρώπων καὶ ὀργάνων καὶ πάντας D ψόφους εἰς ταὐτὸ οὐκ ἄν ποτε ξυνθεῖεν, ὡς ἕν τι μιμούμεναι. ποιηταὶ δ' ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ ξυγκυκῶντες ἀλόγως γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων ὅσους φησὶν Ὀρφεὺς λαχεῖν ὥραν τῆς τέρψιος· ταῦτά τε γὰρ ὁρῶσι πάντα κυκώμενα, καὶ ἔτι διασπῶσιν οἱ ποιηταὶ ῥυθμὸν μὲν καὶ σχήματα μέλους χωρίς, λόγους ψιλοὺς εἰς μέτρα τιθέντες, μέλος δ' αὖ καὶ ῥυθμὸν

---

*) γρ. ὅ τί ἐστι.

res et formas accepiſſe ab arte, nonne iam hoc cognoſcentem neceſſe etiam illud prompte cognoſcere, pulchrumne ſit an aliqua ratione discedat a pulchritudine?

Cl. Omnes ſane propemodum, hoſpes, pulchritudinem ſimulacrorum cognoſceremus.

Ath. Rectiſſime dicis. nonne igitur cuiusque imaginis vel pictae vel muſica vel quacumque ratione adumbratae qui iudex eſt futurus intelligens tria haec oportet habere, primum cognoſcere, quid ſit, deinde quam recte, tertio quam bene expreſſa ſit imaginum quaeque verbis et modis et numeris?

Cl. Videtur ſane.

Ath. Ne igitur deficiamus dicentes muſica quam difficilis ſit. quoniam enim celebratur eius adumbratio prae ceteris imaginibus, maximam deſiderat omnium imaginum cautionem; nam qui in ea aberrat is maximum facit damnum, mores pravos amplectens, et difficillimum id eſt cognitu quia poëtae viliores ſunt poëtae ipſis Muſis; neque enim hae tantopere umquam aberraverint ut viros loqui facientes mulierum geſtum et modum eis tribuant, et modum liberorum geſtusque componentes numeros ſervorum et illiberalium adhibeant, neque etiam ut numeros et geſtum liberalem ſubiicientes modum vel orationem fingant numerorum contraria; praeterea beſtiarum voces et hominum et inſtrumentorum omnesque ſtrepitus numquam una compoſuerint, tamquam unum quid imitantes. poëtae vero humani valde huiusmodi res implicantes et confundentes temere riſum concitabunt hominum quoscumque ait Orpheus nactos eſſe delectationis florem; haec enim vident omnia confuſa, et adhuc distrahunt poëtae numerum et geſtus a modo, orationes nudas in verſus includentes,

* ἄνευ ῥημάτων, ψιλῇ κιθαρίσει τε καὶ αὐλήσει προσχρώ- E μενοι, ἐν οἷς δὴ παγχάλεπον ἄνευ λόγου γιγνόμενον ῥυθμόν τε καὶ ἁρμονίαν γιγνώσκειν, ὅ τί τε βούλεται καὶ ὅτῳ ἔοικε τῶν ἀξιολόγων μιμημάτων. ἀλλ' ὑπολαβεῖν ἀναγκαῖον ὅτι τὸ τοιοῦτόν γε πολλῆς ἀγροικίας μεστὸν πᾶν, ὁπόσον τάχους τε καὶ ἀπταισίας *) καὶ φωνῆς θηριώδους σφόδρα φίλον, ὥστ' αὐλήσει γε χρῆσθαι καὶ κιθαρίσει, * πλὴν 670 ὅσον ὑπὸ ὄρχησίν τε καὶ ᾠδήν· ψιλῷ δ' ἑκατέρῳ πᾶσά τις ἀμουσία καὶ θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως. ταῦτα μὲν ἔχει ταύτῃ λόγον· ἡμεῖς δέ γε οὐχ ὅ τι μὴ δεῖ ταῖς μούσαις ἡμῶν προσχρῆσθαι τοὺς ἤδη τριακοντούτεις καὶ τῶν πεντήκοντα πέρα γεγονότας σκοπούμεθα, ἀλλ' ὅ τί ποτε δεῖ. τόδε μὲν οὖν ἐκ τούτων ὁ λόγος ἡμῖν δοκεῖ μοι σημαίνειν ἤδη τῆς γε χορικῆς μούσης ὅ τι **) πεπαιδεῦσθαι δεῖ βέλτιον τοὺς πεντηκοντούτεις, * ὅσοισπερ ἂν ᾄδειν B προσήκῃ· τῶν γὰρ ῥυθμῶν καὶ τῶν ἁρμονιῶν ἀναγκαῖον αὐτοῖς ἐστὶν εὐαισθήτως ἔχειν καὶ γιγνώσκειν· ἢ πῶς τις τὴν ὀρθότητα γνώσεται τῶν μελῶν, ᾧ προσῆκεν ἢ μὴ προσῆκε τοῦ δωριστὶ καὶ τοῦ ῥυθμοῦ ὃν ὁ ποιητὴς αὐτῷ προσῆψεν, ὀρθῶς ἢ μή;

ΚΛ. Δῆλον ὡς οὐδαμῶς.

ΑΘ. Γελοῖος γὰρ ὅ γε πολὺς ὄχλος ἡγούμενος ἱκανῶς γιγνώσκειν τό τ' εὐάρμοστον καὶ εὔρυθμον καὶ μή, ὅσοι προσᾴδειν αὐτῶν καὶ βαίνειν ἐν ῥυθμῷ γεγόνασι διηναγκασμένοι· * ὅτι δὲ δρῶσι ταῦτα ἀγνοοῦντες αὐτῶν ἕκαστα, C οὐ ξυλλογίζονται. τὸ δέ που προσήκοντα μὲν ἔχον πᾶν μέλος ὀρθῶς ἔχει, μὴ προσήκοντα δὲ ἡμαρτημένως.

ΚΛ. Ἀναγκαιότατα.

ΑΘ. Τί οὖν; ὁ μηδὲ ὅ τί ποτ' ἔχει γιγνώσκων ἆρα, ὅ τίπερ εἴπομεν, ὡς ὀρθῶς γε αὐτὸ ἔχει, γνώσεταί ποτε ἐν ὁτῳοῦν;

ΚΛ. Καὶ τίς μηχανή;

---

*) ἴσ. π τ ο ή σ ε ω ς.

**) γρ. μ ο ύ σ η ς, ὅ τ ι.

rursusque modum et numerum ab oratione, nudo citharae et tibiae cantu utentes, in quibus perdifficile est numerum ab oratione nudum et harmoniam cognoscere, quid sibi velint et cuinam imitationum memorabilium sint similes. immo arbitremur necesse est, hoc totum multa rusticitate plenum esse, quicquid celeritatem et perturbationem et vocem ferinam vehementer appetat, ita ut tibiae et citharae cantum adhibeat etiam sine saltatione et cantu; utroque autem nudo uti plane inscitia quaedam erit et inanis ostentatio. et haec quidem sic se habent; nos autem non quaerimus quibusnam musis uti non debeant e nostris qui tricesimum iam annum agant et quinquagesimum transgressi sint, sed quibusnam debeant. hoc igitur ex his oratio nostra videtur mihi iam significare quanam musae choricae parte melius institutos esse oporteat annum quinquagesimum agentes, quibus canere conveniat; numeros enim et harmonias necesse est eos acute sentire et cognoscere; an quo pacto quis rectam modorum rationem cognoscat, cui conveniat dorica harmonia et numerus quem poëta ei adiunxerit, rectene adiunxerit necne?

Cl. Nequaquam, ut patet.

Ath. Ridicula enim hominum multitudo satis se arbitrans cognoscere concinnum et numerosum, quicumque eorum cantum sequi et numerose incedere coacti fuerunt, haec autem se facere nihil eorum intelligentes non reputant. quilibet vero modus convenientia habens rectus est, non convenientia autem falsus.

Cl. Maxime id necessarium est.

Ath. Quid igitur? qui ne cognoscit quidem quidnam habeat quidque, num is, id quod diximus, quam recte id habeat, umquam cognoscet?

Cl. Quî fieri potest?

ΑΘ. Τοῦτ' οὖν, ὡς ἔοικεν, ἀνευρίσκομεν αὐτὸ *) νῦν,
ὅτι τοῖς ᾠδοῖς ἡμῖν, οὓς νῦν παρακαλοῦμεν καὶ ἑκόντας
* τινὰ τρόπον ἀναγκάζομεν ᾄδειν, μέχρι γε τοσούτου πε- D
παιδεῦσθαι σχεδὸν ἀναγκαῖον, μέχρι τοῦ δυνατὸν εἶναι ξυν-
ακολουθεῖν ἕκαστον ταῖς τε βάσεσι τῶν ῥυθμῶν καὶ ταῖς
χορδαῖς ταῖς τῶν μελῶν, ἵνα καθορῶντες τάς τε ἁρμονίας
καὶ τοὺς ῥυθμοὺς ἐκλέγεσθαί τε τὰ προςήκοντα οἷοί τ' ὦσιν,
ἃ τοῖς τηλικούτοις τε καὶ τοιούτοις ᾄδειν πρέπον, καὶ οὕ-
τως ᾄδωσι, καὶ ᾄδοντες αὐτοί τε ἡδονὰς τὸ παραχρῆμα
ἀσινεῖς ἥδωνται, καὶ τοῖς νεωτέροις ἡγεμόνες * ἠθῶν χρη- E
στῶν ἀσπασμοῦ προςήκοντος γίγνωνται. μέχρι δὲ τοσούτου
παιδευθέντες ἀκριβεστέραν ἂν παιδείαν τῆς ἐπὶ τὸ πλῆθος
φερούσης εἶεν μετακεχειρισμένοι καὶ τῆς περὶ τοὺς ποιητὰς
αὐτούς· τὸ γὰρ τρίτον οὐδεμία ἀνάγκη ποιητῇ γιγνώσκειν,
εἴτε καλὸν εἴτε μὴ καλὸν τὸ μίμημα, τὸ δ' ἁρμονίας καὶ
ῥυθμοῦ σχεδὸν ἀνάγκη· τοῖς δὲ πάντα τὰ τρία τῆς ἐκλογῆς
ἕνεκα τοῦ καλλίστου καὶ δευτέρου, * ἢ μηδέποτε ἱκανὸν 671
ἐπῳδὸν γίγνεσθαι νέοις πρὸς ἀρετήν. καὶ ὅπερ ὁ λόγος ἐν
ἀρχαῖς ἐβουλήθη, τὴν τῷ τοῦ Διονύσου χορῷ βοήθειαν ἐπι-
δεῖξαι καλῶς λεγομένην, εἰς δύναμιν εἴρηκε. σκοπώμεθα
δὴ εἰ τοῦθ' οὕτω γέγονε. θορυβώδης μέν που ὁ ξύλλογος
ὁ τοιοῦτος ἐξ ἀνάγκης προϊούσης τῆς πόσεως ἐπὶ μᾶλλον
ἀεὶ ξυμβαίνει γιγνόμενος, ὅπερ ὑπεθέμεθα κατ' ἀρχὰς ἀναγ-
καῖον **) γίγνεσθαι περὶ * τῶν νῦν λεγομένων ***). B

ΚΛ. Ἀνάγκη.

ΑΘ. Πᾶς δέ γε αὐτὸς αὐτοῦ κουφότερος αἴρεται καὶ γέγηθέ τε καὶ παῤῥησίας ἐμπίπλαται καὶ ἀνηκουστίας ἐν τῷ τοιούτῳ τῶν πέλας, ἄρχων δ' ἱκανὸς ἀξιοῖ ἑαυτοῦ τε καὶ τῶν ἄλλων γεγονέναι.

ΚΛ. Τί μήν;

ΑΘ. Οὐκοῦν ἔφαμεν, ὅταν γίγνηται ταῦτα, καθάπερ τινὰ σίδηρον, τὰς ψυχὰς τῶν πινόντων διαπύρους γιγνομένας μαλακωτέρας †) γίγνεσθαι καὶ νεωτέρας, ὥστε εὐ-

---

*) γρ. αὐτά. ἄλλ. αὖ τά.
**) γρ. ἀναγκαῖον εἶναι.
***) γρ. γιγνομένων.
†) γρ. μαλθακωτέρας.

Ath. Hoc ipſum ergo, ut patet, invenimus nunc, cantoribus noſtris, quos nunc provocamus ultroque quodammodo cogimus canere, hactenus fere inſtitutos eſſe debere, ut quisque poſſit numerorum pedes modorumque ſonos ſequi, quo harmonias et numeros intelligentes eligere queant convenientia, quae viros tam provecta aetate talesque canere deceat, ita canant canantesque et ipſi voluptates in praesentia innocentes percipiant et iunioribus duces ſe praeſtent ad mores probos convenienter amplexandos. hactenus vero inſtituti accuratiorem ſusceperint deſciplinam ea quae ad vulgus ipſosque poëtas pertinet; tertium enim haud neceſſe eſt poëtam cognoſcere, pulchrane an mala ſit imitatio, harmoniam autem et numerum fere neceſſe eſt; illos vero omnia tria pulcherrimi et ſecundi eligendi cauſa cognoſcere oportet, aliter numquam ſatis poterunt cantionibus iuvenes ad virtutem pellicere. iam quod oratio initio volebat, Bacchi choro defenſionem exhibere bene expoſitam, id pro viribus praeſtitit. videamus iam an hoc ita factum ſit. turbulentus ſine dubio huiusmodi conventus neceſſario magis magisque procedente compotatione evadit, quod quidem poſuimus initio in hoc quod nunc agitur neceſſario evenire.

Cl. Neceſſe id quidem.

Ath. Quivis vero ſe ipſo levior factus tum extollitur et gaudio exſilit et libertate impletur nec proximos audit, ſed moderatorem ſe idoneum exiſtimat et ſui et reliquorum exſiſtere.

Cl. Quidni?

Ath. Nonne diximus, quum hoc fieret, animos bibentium, ferri alicuius inſtar, ferventes molliores exſiſtere atque iuniores, adeo ut faciles ad ducendum ſe

αγώγους ξυμβαίνειν τῷ * δυναμένῳ τε καὶ ἐπισταμένῳ παι- C
δεύειν τε καὶ πλάττειν, καθάπερ ὅτ' ἦσαν νέαι; τοῦτον δ'
εἶναι τὸν πλάστην τὸν αὐτὸν ὥςπερ τότε, τὸν ἀγαθὸν νο-
μοθέτην, οὗ νόμους εἶναι δεῖ ξυμποτικούς, δυναμένους τὸν
εὔελπιν καὶ θαῤῥαλέον ἐκεῖνον γιγνόμενον καὶ ἀναισχυντότε-
ρον τοῦ δέοντος, καὶ οὐκ ἐθέλοντα τάξιν καὶ τὸ κατὰ μέ-
ρος σιγῆς καὶ λόγου καὶ πόσεως καὶ μούσης ὑπομένειν,
ἐθέλειν ποιεῖν πάντα τούτοις τἀναντία, καὶ εἰςιόντι τῷ μὴ
καλῷ θάῤῥει τὸν * κάλλιστον διαμαχόμενον φόβον εἰςπέμ- D
πειν οἷουςτ' εἶναι μετὰ δίκης, ὃν αἰδῶ τε καὶ αἰσχύνην
θεῖον φόβον ὠνομάκαμεν;

ΚΛ. Ἔστι ταῦτα.

ΑΘ. Τούτων δέ γε τῶν νόμων εἶναι νομοφύλακας καὶ
ξυνδημιουργοὺς αὐτοῖς τοὺς ἀθορύβους καὶ νήφοντας τῶν
μὴ νηφόντων στρατηγούς, ὧν δὴ χωρὶς μέθῃ διαμάχεσθαι
δεινότερον ἢ πολεμίοις εἶναι *) μὴ μετὰ ἀρχόντων ἀθορύ-
βων, καὶ τὸν αὖ μὴ δυνάμενον ἐθέλειν πείθεσθαι τούτοις
καὶ τοῖς ἡγεμόσι τοῖς τοῦ Διονύσου, * τοῖς ὑπὲρ ἑξήκοντα E
ἔτη γεγονόσιν, ἴσην καὶ μείζω τὴν αἰσχύνην φέρειν, ἢ τὸν
τοῖς τοῦ Ἄρεος **) ἀπειθοῦντα ἄρχουσιν.

ΚΛ. Ὀρθῶς.

ΑΘ. Οὐκοῦν εἴ γε εἴη τοιαύτη μὲν μέθη, τοιαύτη δὲ
παιδιά, μῶν οὐκ ὠφεληθέντες ἂν οἱ τοιοῦτοι ξυμπόται καὶ
μᾶλλον φίλοι ἢ πρότερον ἀπαλλάττοιντο ἀλλήλων, ἀλλ' οὐχ
ὥςπερ τὰ νῦν ἐχθροί, κατὰ νόμους τε ***) πᾶσαν τὴν * ξυν- 672
ουσίαν ξυγγενόμενοι καὶ ἀκολουθήσαντες, ὁπότε ἀφίκοιν-
το †) οἱ νήφοντες τοῖς μὴ νήφουσιν;

ΚΛ. Ὀρθῶς, εἴ γε δὴ εἴη ἔτι τοιαύτη ††) οἵαν νῦν
λέγεις.

ΑΘ. Μὴ τοίνυν ἐκεῖνό γ' ἔτι τῆς τοῦ Διονύσου δω-
ρεᾶς ψέγωμεν ἁπλῶς, ὡς ἔστι κακὴ καὶ εἰς πόλιν οὐκ ἀξία
παραδέχεσθαι· καὶ γὰρ ἔτι πλείω τις ἂν ἐπεξέλθοι λέγων·

---

*) ἴσ. πολεμεῖν.
**) γρ. Ἄρεως.
***) γρ. δὲ.
†) ἄλλ. ἀφηγοῖντο. ἴσ. ὅπῃ ποτὲ ὑφηγοῖντο.
††) γρ. ἐπὶ τοιαύτη.

praeberent ei qui erudire eos ac fingere poſſet et ſciret, quemadmodum quum novelli fuiſſent? fictorem autem hunc eſſe eundem qui tum, bonum legis latorem, cuius leges eſſe debere convivales, id efficientes ut ille, qui ad magnam ſpem erectus, confidens iuſtoque impudentior evaderet nec ordinem vicesque ſilendi, ſermonis, potationis et muſae ſervare vellet, ultro omnia horum contraria faceret, et confidentiae inhoneſtae inceſſenti honeſtiſſimum adverſarium metum, ut par eſt, immittentes, quem quidem divinum metum pudorem et verecundiam nominavimus?

Cl. Sunt iſta.

Ath. Harum autem legum eſſe cuſtodes lationisque ſocios quietos illos et ſobrios non ſobriorum duces, ſine quibus adverſus ebrietatem pugnare gravius eſſe quam adverſus hoſtes cum ducibus, a tumultu haud alienis, et eum qui non poſſet obedire his ducibusque Bacchi annum iam ſexageſimum transgreſſis, aequalem et maiorem ignominiam accipere, quam qui Martis non pareret ducibus.

Cl. Recte.

Ath. Nonne igitur, ſi talis eſſet ebrietas talisque ludus, utilitatem habentes huiusmodi compotores magisque amici quam prius, non, ut nunc, inimici, inter ſe diſcederent, ex legibus in toto coetu verſantes et ſequentes quocumque ducerent ſobrii non ſobrios?

Cl. Recte, ſi quidem talis eſſet qualem nunc dicis.

Ath. Ne igitur illud iam Bacchi donum vituperemus ſimpliciter quaſi malum ſit nec dignum quod in civitatem recipiatur; nam etiam plura quispiam enume-

ἐπεὶ καὶ τὸ μέγιστον ἀγαθὸν ὃ δωρεῖται λέγειν μὲν ὄκνος
εἰς τοὺς πολλοὺς διὰ τὸ κακῶς τοὺς ἀνθρώπους αὐτὸ * ὑπο- B
λαβεῖν καὶ γνῶναι λεχθέν.

ΚΛ. Τὸ ποῖον δή;

ΑΘ. Λόγος τις ἅμα καὶ φήμη ὑποῤῥεῖ πως, ὡς ὁ θεὸς
οὗτος ὑπὸ τῆς μητρυιᾶς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν
γνώμην, διὸ τάς τε βακχείας καὶ πᾶσαν τὴν μανικὴν ἐμ-
βάλλειν *) χορείαν τιμωρούμενος· ὅθεν καὶ τὸν οἶνον ἐπὶ
τοῦτ' αὐτὸ δεδώρηται. ἐγὼ δὲ τὰ μὲν τοιαῦτα τοῖς ἀσφα-
λὲς ἡγουμένοις εἶναι λέγειν περὶ θεῶν ἀφίημι λέγειν, τὸ δὲ
τοσόνδε οἶδα, ὅτι πᾶν ζῶον, ὅσον αὐτῷ προσήκει * νοῦν C
ἔχειν τελεωθέντι, τοιοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ
φύεται· ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐν ᾧ μήπω κέκτηται τὴν οἰ-
κείαν φρόνησιν, πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως, καὶ
ὅταν ἀκταίνῃ τις, αὐτὸ τάχιστα ἀτάκτως **) αὖ πηδᾷ. ἀνα-
μνησθῶμεν δὲ ὅτι μουσικῆς τε καὶ γυμναστικῆς ἔφαμεν ἀρ-
χὰς ταύτας εἶναι.

ΚΛ. Μεμνήμεθα· τί δ' οὔ;

ΑΘ. Οὐκοῦν καὶ ὅτι τὴν ῥυθμοῦ τε καὶ ἁρμονίας αἴ-
σθησιν τοῖς ἀνθρώποις ἡμῖν ἐνδεδωκέναι * τὴν ἀρχὴν ταύ- D
την ἔφαμεν, Ἀπόλλωνα δὲ καὶ Μούσας καὶ Διόνυσον θε-
ῶν ***) αἰτίους γεγονέναι;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Καὶ δὴ καὶ τὸν οἶνόν γε, ὡς ἔοικεν, ὁ τῶν ἄλ-
λων λόγος, ἵνα μανῶμεν, φησὶν ἐπὶ τιμωρίᾳ τῇ τῶν ἀν-
θρώπων δεδόσθαι, ὁ δὲ νῦν λεγόμενος ὑφ' ἡμῶν φάρμα-
κον ἐπὶ τοὐναντίον φησὶν αἰδοῦς μὲν ψυχῆς κτήσεως ἕνεκα
δεδόσθαι, σώματος δὲ ὑγιείας τε καὶ ἰσχύος.

ΚΛ. Κάλλιστα, ὦ ξένε, τὸν λόγον ἀπεμνημό-
νευκας.

ΑΘ. * Καὶ τὰ μὲν δὴ τῆς χορείας ἡμίσεα διαπε- E

---

*) ἄλλ. ἐμβάλλει. **) γρ. ἀποκτείνῃ τις αὐτὸ τάχιστα, ἀτάκτως κτλ. ἄλλ. ὅταν ἀκταινώσῃ ἑαυτὸ τάχιστα, ἀτάκτως.

***) ἄλλ. τούτων. ἴσ. τούτων τῶν ἀγαθῶν.

rare possit, velut maximum quod largitur bonum, quod tamen in vulgus edere cunctor, quia homines id male accipiunt et intelligunt.

Cl. Quale istud?

Ath. Fabula quaedam et fama influxit nescio quomodo, hunc deum a noverca Iunone de mente et sanitate deturbatum fuisse, quapropter bacchationes omnemque furiosam immiserit ille choream iniuriam ulturus; unde etiam vinum hanc ipsam ob causam largitus sit. et ego quidem haec eis qui tutum putant esse loqui de diis permitto dicere, id autem scio nullum animal umquam nasci talem tantamque intelligentiam habens, quantam ei conveniat habere aetate adulta; hoc igitur tempore quo nondum propriam nactum est prudentiam, quodque insanit et clamat immoderate, et, si quis exsultat, ipsum quoque confestim immoderate salit. recordemur autem musicae et gymnasticae artis haec nos dixisse primordia esse.

Cl. Recordamur; quidni?

Ath. Nonne etiam numeri et harmoniae sensum hominibus nobis iniecisse hoc primordium posuimus, Apollinem autem et Musas et Bacchum horum bonorum fuisse auctores?

Cl. Quidni?

Ath. Atque etiam vinum, ut patet, reliquorum oratio, ut insaniremus, dicit hominum vindicandorum causa tributum esse, quae vero nunc profertur a nobis contra dicit medium esse datum, quo animi pudorem et corporis sanitatem roburque nobis comparemus.

Cl. Pulcherrime, hospes, sermonem nobis in memoriam revocasti.

Ath. Ac dimidia quidem choreae pars absoluta esto,

περάνθω, τὰ δ' ἡμίσεα, ὅπως ἂν ἔτι δοκῇ, περανοῦμεν ἢ καὶ ἐάσομεν.

ΚΛ. Ποῖα δὴ λέγεις, καὶ πῶς ἑκάτερα διαιρῶν;

ΑΘ. Ὅλη μέν που χορεία ὅλη παίδευσις ἦν ἡμῖν, τούτου δ' αὖ τὸ μὲν ῥυθμοί τε καὶ ἁρμονίαι τὸ κατὰ τὴν φωνήν.

ΚΛ. Ναί.

ΑΘ. Τὸ δέ γε κατὰ τὴν τοῦ σώματος κίνησιν ῥυθμὸν μὲν κοινὸν τῇ τῆς φωνῆς εἶχε κινήσει, σχῆμα δὲ ἴδιον, ἐκεῖ
δὲ * μέλος ἡ τῆς φωνῆς κίνησις. 673

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Τὰ μὲν τοίνυν τῆς φωνῆς μέχρι τῆς ψυχῆς πρὸς ἀρετῆς παιδείαν, οὐκ οἶδ' ὅντινα τρόπον, ὠνομάσαμεν μουσικήν.

ΚΛ. Ὀρθῶς μὲν οὖν.

ΑΘ. Τὰ δέ γε τοῦ σώματος, ἃ παιζόντων ὄρχησιν εἴπομεν, ἐὰν μέχρι τῆς τοῦ σώματος ἀρετῆς ἡ τοιαύτη κίνησις γίγνηται, τὴν ἔντεχνον ἀγωγὴν ἐπὶ τὸ τοιοῦτον αὐτοῦ γυμναστικὴν προσείπομεν *).

ΚΛ. Ὀρθότατα.

ΑΘ. Τὸ δὲ τῆς μουσικῆς, * ὃ νῦν δὴ σχεδὸν ἥμισυ B
διεληλυθέναι τῆς χορείας εἴπομεν καὶ διαπεπεράνθαι, καὶ νῦν οὕτως εἰρήσθω, τὸ δὲ ἥμισυ λέγωμεν· ἢ πῶς καὶ πῇ ποιητέον;

ΚΛ. Ὦ ἄριστε, Κρησὶ καὶ Λακεδαιμονίοις διαλεγόμενος, μουσικῆς πέρι διελθόντων ἡμῶν, ἐλλειπόντων δὲ γυμναστικῆς, τί ποτε οἴει σοι πότερον ἡμῶν ἀποκρινεῖσθαι πρὸς ταύτην τὴν ἐρώτησιν;

ΑΘ. Ἀποκεκρίσθαι ἔγωγ' ἄν σε φαίην σχεδὸν ταῦτ' ἐρόμενον σαφῶς, καὶ μανθάνω * ὡς ἐρώτησις οὖσα αὕτη C
τὰ νῦν ἀπόκρισίς τ' ἐστίν, ὡς εἶπον, καὶ ἔτι πρόσταξις διαπεράνασθαι τὰ περὶ γυμναστικῆς.

ΚΛ. Ἄρισθ' ὑπέλαβές τε καὶ οὕτω δὴ ποίει.

---

*) γρ. προσείπωμεν.

dimidiam vero, quomodo adhuc videbitur, absolvemus vel etiam dimittemus.

Cl. Quales dicis, et quomodo utramque distinguens?

Ath. Tota sane chorea tota disciplina erat nobis, huius autem una pars quae voce continetur numeri et harmoniae.

Cl. Etiam.

Ath. Et altera quae corporis motu continetur numerum quidem habebat communem cum vocis motu, gestum autem proprium, ibi vero cantus vocis motus.

Cl. Verissime.

Ath. Vocis igitur conformationem neque ad animum pertinentem virtutisque disciplinam spectantem, nescio quomodo, nominavimus musicam.

Cl. Recte ita.

Ath. De corporis autem motione, quam ludentium saltationem diximus, si usque ad corporis virtutem pertineret, artificiosum eius ad hoc ductum artem gymnasticam appellavimus.

Cl. Rectissime vero.

Ath. Ac musicae quidem pars, quam modo fere dimidium choreae diximus nos explicasse et absolvisse, nunc quoque ita dicatur absoluta esse, alterum vero dimidium exponamus; an quomodo faciundum?

Cl. O vir optime, qui cum Cretibus et Lacedaemoniis sermonem confers, de musica si exposuerimus, artem vero gymnasticam praetermiserimus, quidnam putas tibi alterutrum de nobis responsurum esse ad hanc quaestionem?

Ath. Respondisse equidem te dixerim propemodum haec rogantem aperte, et intelligo quaestionem hanc nunc responsionem esse, ut dixi, et praeterea mandatum ut absolvamus quae ad gymnasticam pertinent.

Cl. Optime intellexisti et ita iam fac.

ΑΘ. Ποιητέον· οὐδὲ γὰρ πάνυ χαλεπόν ἐστιν εἰπεῖν ὑμῖν γε ἀμφοτέροις γνώριμα· πολὺ γὰρ ἐν ταύτῃ τῇ τέχνῃ πλέον ἐμπειρίας ἢ ἐν ἐκείνῃ μετέχετε.

ΚΛ. Σχεδὸν ἀληθῆ λέγεις.

ΑΘ. Οὐκοῦν αὖ ταύτης ἀρχὴ μὲν τῆς παιδιᾶς τὸ κατὰ φύσιν πηδᾶν * εἰθίσθαι πᾶν ζῶον, τὸ δ' ἀνθρώπινον, ὡς D ἔφαμεν, αἴσθησιν λαβὸν τοῦ ῥυθμοῦ ἐγέννησέ τε ὄρχησιν καὶ ἔτεκε, τοῦ δὲ μέλους ὑπομιμνήσκοντος καὶ ἐγείροντος τὸν ῥυθμόν *), κοινωθέντε ἀλλήλοις χορείαν καὶ παιδιὰν ἐτεκέτην.

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Καὶ τὸ μέν, φαμέν, ἤδη διεληλύθαμεν αὐτοῦ, τὸ δὲ πειρασόμεθα ἐφεξῆς διελθεῖν.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἐπὶ τοίνυν τῇ τῆς μέθης χρείᾳ τὸν κολοφῶνα πρῶτον ἐπιθῶμεν, εἰ καὶ * σφῷν ξυνδοκεῖ. E

ΚΛ. Ποῖον δὴ καὶ τίνα λέγεις;

ΑΘ. Εἰ μέν τις πόλις ὡς οὔσης σπουδῆς τῷ ἐπιτηδεύματι τῷ νῦν εἰρημένῳ χρήσεται μετὰ νόμων καὶ τάξεως, ὡς τοῦ σωφρονεῖν ἕνεκα μελέτῃ **) χρωμένη, καὶ τῶν ἄλλων ἡδονῶν μὴ ἀφέξεται ὡσαύτως καὶ κατὰ τὸν αὐτὸν λόγον, τοῦ κρατεῖν αὐτῶν ἕνεκα μηχανωμένη, τοῦτον μὲν τὸν τρόπον ἅπασι τούτοις χρηστέον. εἰ δ' ὡς παιδιᾷ τε καὶ ἐξέσται τῷ βουλομένῳ, καὶ ὅταν βούληται καὶ μεθ' ὧν ἂν βούληται, πίνειν * μετ' ἐπιτηδευμάτων ὡντινωνοῦν ἄλλων, 674 οὐκ ἂν τιθείμην ταύτην τὴν ψῆφον, ὡς δεῖ ποτὲ μέθῃ χρῆσθαι ταύτην τὴν πόλιν ἢ τοῦτον τὸν ἄνδρα, ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν τῷ Καρχηδονίων νόμῳ, μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πώματος, ἀλλ' ὑδροποσίαις ξυγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν μήτε δοῦλον μήτε δούλην γεύεσθαι μηδέποτε, μηδὲ ἄρχοντας * τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσι, μηδ' αὖ κυβερνήτας B

---

*) ἴσ. τὸ δὲ μέλος — τοῦ ῥυθμοῦ.
**) γρ. μελέτης.

Ath. Faciundum vero; neque enim ſane difficile eſt dicere vobis ambobus nota; nam multo magis hanc artem quam illam uſu cognitam habetis.

Cl. Vera ſane dicis.

Ath. Itaque huius quidem ludi origo repetenda eſt a naturali cuiusque animantis conſuetudine ſaliendi, homo autem, ut diximus, ſenſum nactus numeri procreavit ſaltationem atque peperit, cantum vero quum numerus commonefeciſſet et excitaſſet, hi inter ſe conſociati choream et ludum pepererunt.

Cl. Veriſſime.

Ath. Et unum quidem, dicimus, iam perſequuti ſumus, alterum vero deinceps conabimur perſequi.

Cl. Sane quidem.

Ath. Ebrietatis igitur uſui primum finem conſtituamus, ſi vobis quoque videatur.

Cl. Qualem et quem tandem dicis?

Ath. Si quae civitas inſtituto nunc dicto ut ſerio utitur, ſicut legum et ordinis ratio poſtulat, temperantiae cauſa hanc quaſi exercitationem adhibens, nec a reliquis voluptatibus ſe abstinebit eodem modo et eadem ex ratione, id agens ut eas ſuperet, hoc ſane modo omnibus his utendum; ſin autem ut re ludicra et cuilibet volenti licebit, quando et quibuscum voluerit, bibere, inſtitutis aliis quibuscumque adiunctis, non ego hanc ſententiam feram ut umquam licere cenſeam huic civitati vel huic viro ebrietati indulgere, ſed etiam magis quam Cretum et Lacedaemoniorum uſum ſuffragio meo comprobarem Carthaginienſium legem, quae haec eſt ut numquam aliquis in caſtris hunc potum guſtet, ſed aquam bibat totum hoc tempus, et in urbe neque ſervus neque ſerva umquam eum guſtet, neque magiſtratus eum annum quem poteſtatem gerant, neque etiam gubernato-

μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου γεύεσθαι το παραπαι, μηδ' ὅςτις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται, μηδέ γε μεθ' ἡμέραν μηδένα τὸ παράπαν, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ καὶ γυνή. καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος, ὥςτε * κατὰ τὸν λόγον τοῦτον οὐδ' C ἀμπέλων ἂν πολλῶν δέοι οὐδ' ἥτινι πόλει, τακτὰ δὲ τά τ' ἄλλα ἂν εἴη γεωργήματα καὶ πᾶσα ἡ δίαιτα, καὶ δὴ τά γε περὶ οἶνον σχεδὸν ἁπάντων ἐμμετρώτατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. Οὗτος, ὦ ξένοι, ἡμῖν, εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ῥηθέντι εἰρήσθω.

ΚΛ. Καλῶς, καὶ ξυνδοκεῖ.

---

res neque iudices munere fungentes vinum omnino gustent, nec qui consultaturus in consilium aliquod grave se conferat, neque interdiu quisquam omnino, nisi corporis exercitatio vel morbi ratio postulet, neque etiam noctu, si cogitet liberos procreare vir vel etiam mulier. et alia quamplura quispiam dixerit, in quibus rationem et legem habentibus rectam non bibendum vinum: ut ex hac ratione nec vineis multis indigeat ulla civitas, et quum reliquus agri cultus universaque victus ratio constituta sint, tum etiam vini usus omnium fere moderatissimus sit atque paucissimus. Hic, o hospites, nobis, si placet, finis orationi de vino susceptae esto allatus.

Cl. Bene vero, et placet.

LIBER TERTIUS.

Rerum civilium initia indagaturus ex infinito tempore infinitas exſtitiſſe civitates dicit Atheniensis, quas variis in caſibus et converſionibus fortuna vehementer exercuerit. Quippe multiplices fuerunt generis humani interitus, velut per eluviones, morbos, alia. Iam ſi eluvionem ponimus interitus cauſam aliquando fuiſſe, paucos ex illa evaſiſſe homines eosque montanos patet, qui a commercio cum reliquis ſecluſi, plurimarum artium ac rerum rudes fuerint neceſſe eſt. Artes igitur, quae una cum hominibus in planitie et prope mare habitantibus deperditae erant, innumerabilibus demum poſt ſeculis ſunt denuo inventae (679). Homines autem illi, quum a reliquorum ſocietate intercluſi eſſent (etenim neque vehicula habebant, quibus vel terra vel mari cum aliis congrederentur, et metalla aliaque commercii et artium inſtrumenta interciderant), et rerum quas vita deſiderat abundantiam natura eis ſuppeditaret, ſeditionem ac bellum prorſus neſciebant; itaque ſimpliciſſimam ſanctiſſimamque degebant vitam (681). Et quum litterarum quoque inſcii eſſent, non leges eis ſcriptae erant quas ſequerentur, ſed inſtituta moresque patrii. Civitatis igitur forma, qua homines illi ſeparatim viventes utebantur, patrum familias erat gubernatio. Singulas deinde familias, quum e montium altitudine in camporum planitiem deſcenderent et in maiorem confluerent ſocietatem, ſuum quamque gubernatorem ſuaque attuliſſe inſtituta probabile eſt (682). Iam eligebantur, qui diverſa illa inſtituta examinarent, et quae maxime probaſſent populi ducibus proponerent, iique legum latores vocabantur, qui, ſi plures magiſtratus deſignaſſent, optimatum imperium, quae ariſtocratia vocatur, ſin unum

creassent, unius principatum, quae monarchia dicitur, constituebant. Et hac quidem ratione, hominibus paullatim ex Idae montis altitudine in planitiem demigrantibus, Troia condita est, cui quum Achivi bellum intulissent, multae Graeciam seditiones ac turbae vexarunt (684). Deinde Heraclidae a Pelopidis expulsi, quum in Peloponnesum revertissent, tres civitates doricas condiderunt, Lacedaemoniam, Argivam et Messeniam, quae sociali foedere amicitiam inter se iungentes iureiurando interposito paciscebantur ut, si qua legibus constitutis adversatura esset, auxilio inter se contra istam iuvarent. Praeterea rex et populus mutuis se legum vinculis obstrinxerunt. Et haec quidem civitatis forma quarta erat (686). Optima vero haec, quam diuturnam fore augurari debuisses, rei publicae constitutio, civitatibus Argiva et Messenia dissolutis, mox dilapsa est. Cuius quidem rei causa non a regum inscitia, sed a morum depravatione repeti debet, id est ab extrema illa inscitia, quae in cupiditatis et rationis discordia cernitur, et tam in singulis hominibus invenitur, quum cupiditates rationi repugnant, quam in civitatibus, quum populus neque principibus civitatis neque legibus obedit (691). Recta videlicet et urbem et domum gubernandi ratio haec est, ut parentes natis, nobiles ignobilibus, seniores iunioribus, domini servis, fortiores imbecillioribus et sapientes insipientibus imperent. Maioris deinde potestatis appetitio et cupiditatum cum ratione dissensio, qua civitatum illarum principes se duci passi sunt, detrimentum attulit urbibus doricis (692). Quae quidem quum in unam non essent conflatae, factum est, ut Argiva et Messenia Lacedaemoniae, quae meliorem eamque ex reliquis mixtam temperatamque rei publicae formam nacta erat, adversarentur; quod in bello maxime Persico apparuit (696). Etenim duae sunt civitatis formae primariae, e quibus reliquae manant, imperium regale (monarchia) et libera res publica (democratia); illud apud Persas maxime

floruit, et haec apud Athenienses; civitas autem nulla potest bene constituta dici, nisi utriusque est formae particeps. Ac Persarum quidem imperium, regum educatione neglecta (velut Cyri, Cambysis et Xerxis), degeneravit; quippe virtute spreta luxuriae et divitiis omnia tribuerunt: quod a vera civitatis constitutione abhorret, quae temperantiae tantam debet auctoritatem tribuere, ut ex ea et honores et poenas constituat. Temperantia est enim id, quod, licet per se neque honoris neque ignominiae compos sit, tamen eis ad quae accedit dignitatem affert, eis vero a quibus abest turpitudinem infligit. Honores autem et ignominias in civitate bene constituta accurate esse definita oportet, haud minus ac bona, quorum tres sunt species (spectant enim bona ad animum, ad corpus et ad opes); horum ordo ne turbetur, legum latori inprimis cavendum est (699). Atheniensium contra res publica, quam pristinis temporibus turpitudinis verecundia et religiosa in leges observantia temperaverant, exemplum est civitatis nimia licentia depravatae. Quae quidem licentia, ex musicae corruptione exorta, postquam multitudo, cuius delectationem poëtae musicique aucupabantur, iudicis partes sibi vindicaverat, longius serpens tantum invaluit, ut etiam sapientiam multitudo sibi arrogaret impudentiaeque totam se traderet (701). Ita denique factum est, ut non solum nec ducibus nec legibus obediret, verum etiam fidem, iusiurandum ipsosque deos contemneret. — Quae hactenus disputata sunt, huc spectant ut sententiam probent atque illustrent, tam civitatis quam hominum singulorum salutem libertate, concordia et sapientia contineri. Quibus quidem expositis Clinias, cui tradita erat provincia colonorum Cretensium in urbem a Magneticus derelictam deducendorum legumque iis dandarum, Atheniensem et Megillum orat, ut civitatis imaginem dicendo effingant, ad cuius tamquam exemplaris similitudinem urbem a se instaurandam constituat.

Γ.

676 Ταῦτα μὲν οὖν δὴ ταύτῃ· πολιτείας δ' ἀρχὴν τίνα ποτὲ φῶμεν γεγονέναι; μῶν οὐκ ἐνθένδε τις ἂν αὐτὴν ῥᾷστά τε καὶ κάλλιστα κατίδοι;

ΚΛ. Πόθεν;

ΑΘ. Ὅθεν καὶ τὴν τῶν πόλεων ἐπίδοσιν εἰς ἀρετὴν μεταβαινουσῶν *) ἅμα καὶ κακίαν ἑκάστοτε θεατέον.

ΚΛ. Λέγεις δὲ πόθεν;

ΑΘ. Οἶμαι μὲν ἀπὸ χρόνου μήκους τε καὶ ἀπειρίας

B * καὶ τῶν μεταβολῶν ἐν τῷ τοιούτῳ.

III.

Haec quidem hactenus; rei publicae vero principium quodnam dicamus exſtitiſſe? nonne hinc quispiam id facillime et pulcherrime conſpiciat?

Cl. Unde?

Ath. Unde etiam civitatum incrementum in virtutem vel vitioſitatem ſe convertentium usquequaque ſpectandum.

Cl. Dicis autem unde?

Ath. Arbitror quidem inde a longitudine et infinitate temporis mutationibusque interea factis.

*) γρ. μεταβαίνουσαν.

ΚΛ. Πῶς λέγεις;

ΑΘ. Φέρε, ἀφ' οὗ πόλεις τ' εἰσὶ καὶ ἄνθρωποι πολιτευόμενοι, δοκεῖς ἄν ποτε κατανοῆσαι χρόνου πλῆθος ὅσον γέγονεν;

ΚΛ. Οὔκουν ῥᾴδιόν γε οὐδαμῶς.

ΑΘ. Τὸ δέ *) γε, ὡς ἄπειρόν **) τι καὶ ἀμήχανον ἂν εἴη.

ΚΛ. Πάνυ μὲν οὖν τοῦτό γε.

ΑΘ. Μῶν οὖν οὐ μυρίαι μὲν ἐπὶ μυρίαις ἡμῖν γεγόνασι πόλεις ἐν τούτῳ τῷ χρόνῳ, κατὰ τὸν αὐτὸν δὲ τοῦ πλήθους λόγον οὐκ ἐλάττους ἐφθαρμέναι, πεπολιτευμέναι * δ' αὖ πάσας πολιτείας πολλάκις ἑκασταχοῦ, καὶ τοτὲ μὲν C ἐξ ἐλαττόνων μείζους, τοτὲ δὲ ἐκ μειζόνων ἐλάττους, καὶ χείρους ἐκ βελτιόνων γεγόνασι καὶ βελτίους ἐκ χειρόνων;

ΚΛ. Αναγκαῖον.

ΑΘ. Ταύτης δὴ περὶ ***) λάβωμεν, εἰ δυναίμεθα, τῆς μεταβολῆς τὴν αἰτίαν· τάχα γὰρ ἂν ἴσως δείξειεν ἡμῖν τὴν πρώτην τῶν πολιτειῶν γένεσιν καὶ μετάβασιν.

ΚΛ. Εὖ λέγεις, καὶ προθυμεῖσθαι δεῖ σὲ μὲν ὃ διανοεῖ περὶ αὐτῶν ἀποφαινόμενον, ἡμᾶς δὲ ξυνεπομένους.

ΑΘ. Ἆρ' οὖν * ὑμῖν οἱ παλαιοὶ λόγοι ἀλήθειαν ἔχειν 677 τινὰ δοκοῦσιν;

ΚΛ. Ποῖοι δή;

ΑΘ. Τὸ πολλὰς ἀνθρώπων φθορὰς γεγονέναι κατακλυσμοῖς τε καὶ νόσοις καὶ ἄλλοις πολλοῖς, ἐν οἷς βραχύ τι τῶν ἀνθρώπων λείπεσθαι γένος †).

ΚΛ. Πάνυ μὲν οὖν πιθανὸν τὸ τοιοῦτον πᾶν παντί.

ΑΘ. Φέρε δή, νοήσωμεν μίαν τῶν πολλῶν ταύτην τὴν τῷ κατακλυσμῷ ποτὲ γενομένην.

ΚΛ. Τὸ ποῖόν τι περὶ αὐτῆς διανοηθέντες;

---

*) ἴσ. Τόδε γε. **) ἄλλ. ἄπλετόν τι.
***) γρ. πέρι. †) ἴσ. τὸ γένος.

Cl. Quomodo ais?

Ath. Age ex quo civitates ſint hominesque rem publicam adminiſtrantes putasne umquam te perſpecturum eſſe quam longum praeterierit temporis ſpatium?

Cl. Minime id quidem facile.

Ath. Hoc autem, infinitum et immenſum quoddam fuiſſe.

Cl. Sane hoc quidem.

Ath. Nonne innumerabiles nobis exſtiterunt civitates per hoc tempus, et ſecundum eandem infinitatis rationem non pauciores perierunt, omnes ſaepenumero rei publicae formas expertae, et modo e minoribus maiores, modo e maioribus minores, et deteriores e melioribus melioresque e deterioribus factae ſunt?

Cl. Neceſſarium eſt.

Ath. Huius igitur, ſi poſſimus, mutationis cauſam percipiamus; forſitan enim patefaciat nobis primam civitatum originem et converſionem.

Cl. Bene dicis, et promptum oportet te quidem eſſe ad declarandum quid de illis ſentias, nos vero ad ſequendum.

Ath. Num igitur vobis veteres narrationes veritatem habere aliquam videntur?

Cl. Quales iſtae?

Ath. Multos hominum interitus accidiſſe eluvionibus et morbis et aliis multis, in quibus exiguum quoddam hominum relictum fuerit genus.

Cl. Sane quidem probabile hoc omne omnibus.

Ath. Agedum, cogitemus unum ex multis illis qui eluvione olim acciderit.

Cl. Quidnam in eo conſiderantes?

ΑΘ. * Ὡς οἱ τότε περιφυγόντες τὴν φθορὰν σχεδὸν B ὄρειοί τινες ἂν εἶεν νομῆς ἐν κορυφαῖς που, σμικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων διασεσωσμένα γένους.

ΚΛ. Δῆλον.

ΑΘ. Καὶ δὴ τοὺς τοιούτους γε ἀνάγκη που τῶν ἄλλων ἀπείρους εἶναι τεχνῶν καὶ τῶν ἐν τοῖς ἄστεσι πρὸς ἀλλήλους μηχανῶν εἴς τε πλεονεξίας καὶ φιλονεικίας, καὶ ὁπόσ' ἄλλα κακουργήματα πρὸς ἀλλήλους ἐπινοοῦσιν.

ΚΛ. Εἰκὸς γοῦν.

ΑΘ. Θῶμεν δὴ τὰς ἐν τοῖς * πεδίοις πόλεις καὶ πρὸς C θαλάττῃ κατοικούσας ἄρδην ἐν τῷ τότε χρόνῳ διαφθείρεσθαι;

ΚΛ. Θῶμεν.

ΑΘ. Οὐκοῦν ὄργανά τε πάντα ἀπόλλυσθαι, καὶ εἴ τι τέχνης ἦν ἐχόμενον σπουδαίας *) εὑρημένον ἢ πολιτικῆς ἢ καὶ σοφίας τινὸς ἑτέρας, πάντα ἔῤῥειν ταῦτα ἐν τῷ τότε χρόνῳ φήσομεν;

ΚΛ. Πῶς γὰρ ἄν, ὦ ἄριστε, εἴ γε ἔμενε τάδε οὕτω τὸν πάντα χρόνον ὡς νῦν διακεκόσμηται, καινὸν ἀνευρίσκετό ποτε καὶ ὁτιοῦν; [τοῦ ὅ τι * μὲν γὰρ] μυριάκις μύ- D ρια ἔτη διελάνθανεν ἄρα τοὺς τότε, χίλια δ' ἀφ' οὗ γέγονεν ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ καταφανῆ [γέγονε], τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει, τὰ δὲ περὶ μουσικὴν Μαρσύᾳ καὶ Ὀλύμπῳ, περὶ λύραν δὲ Ἀμφίονι, τὰ δ' ἄλλα ἄλλοις πάμπολλα, ὡς ἔπος εἰπεῖν, χθὲς καὶ πρώην γεγονότα.

ΑΘ. Ἆρ' οἶσθ', ὦ Κλεινία, τὸν φίλον ὅτι παρέλιπες, τὸν ἀτεχνῶς χθὲς γενόμενον;

ΚΛ. Μῶν φράζεις Ἐπιμενίδην;

ΑΘ. * Ναὶ τοῦτον· πολὺ γὰρ ὑμῖν ὑπερεπήδησε τῷ E μηχανήματι τοὺς ξύμπαντας, ὦ φίλε, ὃ λόγῳ μὲν Ἡσίοδος ἐμαντεύετο πάλαι, τῷ δ' ἔργῳ ἐκεῖνος ἀπετέλεσεν, ὡς ὑμεῖς φατέ.

---

*) ἄλλ. σπουδαίως.

Ath. Eos qui tum perniciem effugerint fere montanos quosdam fuisse pastores in verticibus alicubi, exigua semina humani generis conservata.

Cl. Perspicuum id quidem.

Ath. Atque hi quidem quum ceterarum imperiti fuerint artium necesse est tum fraudum quas cives lucri et contentionis causa inter se admittunt et quaecumque alia maleficia inter se excogitant.

Cl. Consentaneum certe.

Ath. Ponamus igitur urbes in campo et ad mare conditas funditus illo tempore deletas esse?

Cl. Ponamus vero.

Ath. Nonne igitur instrumenta quoque omnia interiisse, et, si quid inventum fuisset ad artem pertinens insignem vel ad civilem vel ad aliam quam prudentiam, omnia haec concidisse id temporis dicemus?

Cl. Quomodo enim, vir optime, si mansissent haec ita omne per tempus quemadmodum nunc disposita sunt, novi quid umquam inveniri potuisset? innumerabilia igitur secula latuerant homines illius aetatis, millia vero vel duo millia annorum intercesserunt, quum alia Daedalus patefaceret, alia Orpheus alia Palamedes, musicam Marsyas et Olympus, lyram Amphion, et cetera alii permulta, quae fere haud ita pridem exstiterunt.

Ath. Scin' vero, o Clinia, amicum te praetermisisse, revera nuper exortum?

Cl. Num dicis Epimenidem?

Ath. Etiam hunc; longe enim vobis superavit invento illo ad unum omnes, amice, quod verbis quidem Hesiodus divinaverat iamdudum, re autem ille absolvit, ut vos dicitis.

ΚΛ. Φαμὲν γὰρ οὖν.

ΑΘ. Οὐκοῦν οὕτω δὴ λέγομεν *) ἔχειν τότε, ὅτε ἐγένετο ἡ φθορά, τὰ περὶ τοὺς ἀνθρώπους πράγματα, μυρίαν μέν τινα φοβερὰν ἐρημίαν, γῆς δ' ἀφθόνου πλῆθος πάμπολυ, ζώων δὲ τῶν ἄλλων ἐῤῥόντων βουκόλι' ἄττα, καὶ εἴ τί που αἰγῶν περιλειφθὲν ἐτύγχανε γένος, σπάνια καὶ ταῦτα νέμουσιν * εἶναι ζῆν τότε κατ' ἀρχάς. 678

ΚΛ. Τί μήν;

ΑΘ. Πόλεως δὲ καὶ πολιτείας πέρι καὶ νομοθεσίας, ὧν νῦν ὁ λόγος ἡμῖν παρέστηκεν, ἆρ', ὡς ἔπος εἰπεῖν, οἰόμεθα καὶ μνήμην εἶναι τὸ παράπαν;

ΚΛ. Οὐδαμῶς.

ΑΘ. Οὐκοῦν ἐξ ἐκείνων τῶν διακειμένων οὕτω τὰ νῦν γέγονεν ἡμῖν ξύμπαντα, πόλεις τε καὶ πολιτεῖαι καὶ τέχναι καὶ νόμοι καὶ πολλὴ μὲν πονηρία, πολλὴ δὲ καὶ ἀρετή;

ΚΛ. Πῶς λέγεις;

ΑΘ. Ἆρ' οἰόμεθα, ὦ θαυμάσιε, * τοὺς τότε ἀπείρους B ὄντας πολλῶν μὲν καλῶν τῶν κατὰ τὰ ἄστη, πολλῶν δὲ καὶ τῶν ἐναντίων τελέους πρὸς ἀρετὴν ἢ καὶ πρὸς κακίαν γεγονέναι;

ΚΛ. Καλῶς εἶπες, καὶ μανθάνομεν ὃ λέγεις.

ΑΘ. Οὐκοῦν προϊόντος μὲν τοῦ χρόνου, πληθύοντος δ' ἡμῶν τοῦ γένους, εἰς πάντα τὰ νῦν καθεστηκότα προελήλυθεν ἅπαντα;

ΚΛ. Ὀρθότατα.

ΑΘ. Οὐκ ἐξαίφνης γε, ὡς εἰκός, κατὰ σμικρὸν δὲ ἐν παμπόλλῳ τινὶ χρόνῳ.

ΚΛ. Καὶ μάλα * πρέπει τοῦθ' οὕτως. C

ΑΘ. Ἐκ γὰρ τῶν ὑψηλῶν εἰς τὰ πεδία καταβαίνειν, οἶμαι, πᾶσι φόβος ἔναυλος ἐγεγόνει.

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Ἆρ' οὐκ ἄσμενοι μὲν ἑαυτοὺς ἑώρων δι' ὀλιγότη-

---

*) γρ. λέγωμεν.

Cl. Dicimus vero.

Ath. Ita igitur ponimus, quum interitus accidiffet, fe habuiffe res humanas, immenfam quandam horribilemque folitudinem exftitiffe, terrae fecundae vim permagnam, animalibus reliquis exftinctis boum armenta aliqua et fi quod caprarum relictum fuerit genus, eaque pauca ad vitam fustentandam pafcentibus id temporis fuiffe initio.

Cl. Quidni?

Ath. Urbis autem et civitatis et legum lationis, de quibus nunc oratio nobis fuscepta eft, putamusne vel memoriam fere ullam omnino fuiffe?

Cl. Nequaquam vero.

Ath. Nonne ex illis ita comparatis noftra profecta funt omnia, et urbes et civitates et artes et leges et multa quidem improbitas, multa vero etiam virtus?

Cl. Quomodo dicis?

Ath. Num arbitramur, vir admirabilis, homines illius aetatis imperitos multorum quidem bonorum in urbibus confpicuorum, multorum vero etiam contrariorum perfectos ad virtutem vel etiam vitiofitatem fuiffe?

Cl. Bene loqueris, et intelligimus quod dicis.

Ath. Nonne tempore progrediente noftroque genere increbrefcente, in praesentem rerum ftatum omnia processerunt?

Cl. Rectiffime.

Ath. Non ftatim quidem, ut patet, fed paullatim longo quodam temporis fpatio.

Cl. Sane hoc ita confentaneum.

Ath. Quominus enim e locis excelfis in campos defcenderent, opinor, metus eos impediebat recens.

Cl. Quidni?

Ath. Nonne cum voluptate quidem inter fe vide-

τα ἐν τοῖς περὶ ἐκεῖνον τὸν χρόνον, πορεῖα δέ, ὥςτ' ἐπ' ἀλλήλους τότε πορεύεσθαι κατὰ γῆν ἢ κατὰ θάλατταν, σὺν ταῖς τέχναις, ὡς ἔπος εἰπεῖν, πάντα σχεδὸν ἀπολώλει; ξυμμίσγειν οὖν ἀλλήλοις οὐκ ἦν, οἶμαι, σφόδρα δυνατόν· σίδηρος γὰρ καὶ χαλκὸς * καὶ πάντα τὰ μεταλλεῖα ξυγκεχυμένα ἠφάνιστο, ὥςτε ἀπορία πᾶσα ἦν τοῦ ἀνακαθαίρεσθαι τὰ τοιαῦτα, δρυοτομίας τε εἶχον σπάνιν. εἰ γάρ πού τι καὶ περιγεγονὸς ἦν ὄργανον ἐν ὄρεσι, ταῦτα μέντοι *) ταχὺ κατατριβέντα ἠφάνιστο, ἄλλα δ' οὐκ ἔμελλε γενήσεσθαι, πρὶν πάλιν ἡ τῶν μεταλλέων ἀφίκοιτο εἰς ἀνθρώπους τέχνη. D

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Γενεαῖς δὴ πόσαις ὕστερον οἰόμεθα τοῦθ' οὕτω γεγονέναι;

ΚΛ. Δῆλον ὅτι παμπόλλαις * τισίν. E

ΑΘ. Οὐκοῦν καὶ τέχναι ὅσαιπερ σιδήρου δέονται καὶ χαλκοῦ καὶ τῶν τοιούτων ἁπάντων, τὸν αὐτὸν χρόνον καὶ ἔτι πλείονα ἠφανισμέναι ἂν εἶεν ἐν τῷ τότε;

ΚΛ. Τί μήν;

ΑΘ. Καὶ τοίνυν στάσις ἅμα καὶ πόλεμος ἀπολώλει κατὰ τὸν τότε χρόνον πολλαχῇ.

ΚΛ. Πῶς;

ΑΘ. Πρῶτον μὲν ἠγάπων καὶ ἐφιλοφρονοῦντο ἀλλήλους δι' ἐρημίαν, ἔπειτα οὐ περιμάχητος ἦν αὐτοῖς ἡ τροφή· * νομῆς γὰρ οὐκ ἦν σπάνις, εἰ μή τισι κατ' ἀρχὰς 679
ἴσως, ᾗ δὴ τὸ πλεῖστον διέζων ἐν τῷ τότε χρόνῳ· γάλακτος γὰρ καὶ κρεῶν οὐδαμῶς ἐνδεεῖς ἦσαν, ἔτι δὲ θηρεύοντες οὐ φαύλην οὐδ' ὀλίγην τροφὴν παρείχοντο· καὶ μὴν ἀμπεχόνης γε καὶ στρωμνῆς καὶ οἰκήσεων καὶ σκευῶν ἐμπύρων τε καὶ ἀπύρων εὐπόρουν· αἱ πλαστικαὶ γὰρ καὶ ὅσαι πλεκτικαὶ τῶν τεχνῶν οὐδὲν προςδέονται σιδήρου. ταῦτα δὲ πάντα **) τούτω τὼ τέχνα θεὸς ἔδωκε * πορίζειν τοῖς ἀν- B
θρώποις, ἵν', ὁπότε εἰς τὴν τοιαύτην ἀπορίαν ἔλθοιεν, ἔχοι βλάστην καὶ ἐπίδοσιν τὸ τῶν ἀνθρώπων γένος. πένη-

---

*) γρ. μὲν.
**) Ισ. σιδήρου, ταῦτα δὲ πάντα.

bant propter paucitatem hominum illo tempore, vehicula autem, quibus terra vel mari tunc congrederentur, cum artibus omnia propemodum interierant? societatem igitur iungere, opinor, non sane eis licebat; ferrum enim et aes et omnia metalla confusa evanuerant magnam ut eorum secretio difficultatem haberet, et materiae caedendae inopia eis erat. nam etiamsi quod instrumentum restiterat in montibus, cito tamen haec contrita evanuerant, alia vero non poterant prius exsistere quam metallicorum ars ad homines revertisset.

Cl. Quî enim?

Ath. Quot igitur aetatibus post censemus hoc ita factum esse?

Cl. Patet permultis post.

Ath. Nonne igitur artes quoque quaecumque ferro indigent et aere omnibusque eiusdem generis, idem et longius etiam tempus tum evanuerint?

Cl. Quidni?

Ath. Itaque seditio simulque bellum ubique eo tempore interciderant.

Cl. Quo pacto?

Ath. Primum quidem diligebant inter se et benivole accipiebant propter solitudinem, deinde non certandum eis erat de alimento; pascuorum enim nulla erat inopia, nisi fortasse initio quibusdam, quibus quidem maximam partem tum se sustentabant; etenim lactis et carnium minime penuria erat, et praeterea venando neque vile neque exiguum sibi comparabant alimentum; quin etiam vestimento et stragulis et habitationibus et vasibus tam igni admovendis tam non admovendis abundabant; artes enim fingendi et texendi ferro minime indigent. haec autem omnia ut suppeditarent has artes deus dedit hominibus, quo in talem inopiam incidens humanum genus sese propagaret et progressionem faceret. ac pau-

τες μὲν δὴ διὰ τὸ τοιοῦτον σφόδρα οὐκ ἦσαν, οὐδ᾽ ὑπὸ πενίας ἀναγκαζόμενοι διάφοροι ἑαυτοῖς ἐγίγνοντο· πλούσιοι δ᾽ οὐκ ἄν ποτ᾽ ἐγένοντο ἄχρυσοί τε καὶ ἀνάργυροι ὄντες, ὃ τότε ἐν ἐκείνοις παρῆν, ᾗ *) δ᾽ ἄν ποτε ξυνοικίᾳ μήτε πλοῦτος ξυνοικῇ μήτε πενία, σχεδὸν ἐν ταύτῃ δικαιότατα ἤθη γίγνοιτ᾽ ἄν· οὔτε γὰρ * ὕβρις οὔτ᾽ ἀδικία, ζῆλοί τε C αὖ καὶ φθόνοι οὐκ ἐγγίγνονται. ἀγαθοὶ μὲν δὴ διὰ ταῦτά τε ἦσαν καὶ διὰ τὴν λεγομένην εὐήθειαν· ἃ γὰρ ἤκουον καλὰ καὶ αἰσχρά, εὐήθεις ὄντες ἡγοῦντο ἀληθέστατα λέγεσθαι καὶ ἐπείθοντο· ψεῦδος γὰρ ὑπονοεῖν οὐδεὶς ἠπίστατο διὰ σοφίαν, ὥσπερ τὰ νῦν, ἀλλὰ περὶ θεῶν τε καὶ ἀνθρώπων τὰ λεγόμενα ἀληθῆ νομίζοντες ἔζων κατὰ ταῦτα· διόπερ ἦσαν τοιοῦτοι παντάπασιν, οἵους αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν.

ΚΛ. * Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτω ταῦτα ξυνδοκεῖ. D

ΑΘ. Οὐκοῦν εἴπομεν **) ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν, καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον, αὐτοῦ δίκαι καὶ στάσεις λεγόμεναι, λόγοις ἔργοις τε μεμηχανημέναι πάσας * μηχανὰς εἰς τὸ κα- E κουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ ξύμπαντα δικαιότεροι· τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν.

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Λελέχθω δὴ ταῦτα ἡμῖν καὶ τὰ τούτοις ξυνεπόμενα ἔτι πάντα εἰρήσθω τοῦδ᾽ ἕνεκα, ἵνα νοήσωμεν τοῖς * τότε νόμων τίς ποτ᾽ ἦν χρεία καὶ τίς ἦν νομοθέτης 680 αὐτοῖς.

ΚΛ. Καὶ καλῶς γε εἴρηκας.

ΑΘ. Ἆρ᾽ οὖν ἐκεῖνοι μὲν οὔτ᾽ ἐδέοντο νομοθετῶν οὔτε

---

*) γρ. ὄντες· ὃ — παρῆν. ᾗ.
**) γρ. εἴπωμεν.

peres quidem hanc ob caufam non fane erant, nec a paupertate coacti inter fe disfidebant; nec umquam divites fieri poterant quippe neque aurum neque argentum habentes. hoc vero tunc apud illos praefto erat: in quacumque civitate neque divitiae neque paupertas reperiuntur, in hac fere iuftiffimi florent mores; neque enim infolentia neque iniuftitia, neque etiam aemulationes invidiaeque in ea nafcuntur. boni igitur et his de caufis et propter fimplicitatem quae dicitur erant; quae enim audiebant mala et turpia, ea pro fimplicitate fua arbitrabantur veriffima dici et perfuadebantur; namque mendacium fuspicari, quod fapientiae eft nunc vigentis, nemo fciebat, fed de diis et hominibus quae dicebantur vera exiftimantes ad haec vitam fuam conformabant; quocirca tales plane erant quales nos modo defcripfimus.

Cl. Mihi quidem et huic ita haec videntur.

Ath. Diximus vero, homines multas aetates hoc modo viventes eis qui ante eluvionem fuerint et eis qui nunc fint rudiores quidem et imperitiores quum ad reliquas artes fuiffe tum ad bellicas omnesque quae terra marique nunc exercentur et quaecumque in urbe tantum factitantur, ubi iudicia et feditiones dicuntur et re verbisque omnes adhibent machinas ad maleficia et iniurias mutuas inferendas, fimpliciores autem et fortiores fimulque temperantiores omnibusque partibus iuftiores; cuius quidem rei caufam iam explicavimus.

Cl. Recte dicis.

Ath. Dicta igitur haec nobis funto et quae deinceps fequuntur omnia exponentur hanc ob caufam, ut cognofcamus, quinam hominibus illius aetatis legum erat ufus et quis erat legum lator.

Cl. Ac bene quidem dixifti.

Ath. Iam illi quidem neque indigebant legum lato-

πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον· οὐδὲ γὰρ γράμματα ἔστι πω τοῖς ἐν τούτῳ τῷ μέρει τῆς περιόδου γεγονόσιν, ἀλλ' ἔθεσι καὶ τοῖς λεγομένοις πατρίοις νόμοις ἑπόμενοι ζῶσιν.

ΚΛ. Εἰκὸς γοῦν.

ΑΘ. Πολιτείας δέ γε ἤδη καὶ τρόπος ἔστι τις οὗτος.

ΚΛ. Τίς;

ΑΘ. * Δοκοῦσι μοι πάντες τὴν ἐν τούτῳ τῷ χρόνῳ B πολιτείαν δυναστείαν καλεῖν, ἣ καὶ νῦν ἔτι πολλαχοῦ καὶ ἐν Ἕλλησι καὶ κατὰ βαρβάρους ἐστί· λέγει δ' αὐτήν που καὶ Ὅμηρος γεγονέναι περὶ τὴν τῶν Κυκλώπων οἴκησιν εἰπὼν

Τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
Ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
Ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
* Παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν. C

ΚΛ. Ἔοικέ γε ὁ ποιητὴς ὑμῖν οὗτος γεγονέναι χαρίεις· καὶ γὰρ δὴ καὶ ἄλλα αὐτοῦ διεληλύθαμεν μάλ' ἀστεῖα, οὐ μὴν πολλά γε· οὐ γὰρ σφόδρα χρώμεθα οἱ Κρῆτες τοῖς ξενικοῖς ποιήμασιν.

ΜΕ. Ἡμεῖς δ' αὖ χρώμεθα μέν, καὶ ἔοικέ γε κρατεῖν τῶν τοιούτων ποιητῶν, οὐ μήν τι *) Λακωνικόν γε, ἀλλά τινα μᾶλλον βίον * Ἰωνικὸν διεξέρχεται ἑκάστοτε. νῦν μὴν D εὖ τῷ σῷ λόγῳ ἔοικε μαρτυρεῖν, τὸ ἀρχαῖον αὐτῶν ἐπὶ τὴν ἀγριότητα διὰ μυθολογίας ἐπανενεγκών.

ΑΘ. Ναί· ξυμμαρτυρεῖ **) γάρ· καὶ λάβωμέν γε αὐτὸν μηνυτὴν ὅτι τοιαῦται πολιτεῖαι γίγνονταί ποτε.

ΚΛ. Καλῶς.

ΑΘ. Μῶν οὖν οὐκ ***) ἐκ τούτων τῶν κατὰ μίαν οἴκησιν καὶ κατὰ γένος διεσπαρμένων ὑπὸ ἀπορίας τῆς ἐν ταῖς φθοραῖς, ἐν οἷς τὸ πρεσβύτατον ἄρχει διὰ τὸ τὴν

---

*) ἄλλ. μέντοι.
**) γρ. ΚΛ. Ναί. ΑΘ. Ξυμμαρτυρεῖ κτλ.
***) γρ. Μῶν οὐκ.

ribus neque solebat illis temporibus tale quid fieri; nondum enim litterae sunt hominibus illius saeculi, sed moribus et legibus quae dicuntur patriis obtemperantes vivunt.

Cl. Consentaneum vero.

Ath. Civitatis vero iam ratio est fere haec.

Cl. Quaenam?

Ath. Videntur mihi omnes civitatem hoc tempore vigentem dominationem vocare, quae nunc quoque passim et in Graecis et apud barbaros exstat; dicit vero etiam Homerus in Cyclopum habitatione eam fuisse canens *His neque fora sunt consiliaria neque iura, sed excelsorum illi montium incolunt cacumina in antris cavis, et ius dicit quisque natis uxoribusque, nihil vero inter se curant.*

Cl. Videtur sane hic poëta vester fuisse scitus; nam alia quoque eius persequimur admodum lepida, neque tamen multa; non enim valde utimur Cretes externis poëmatis.

Me. Nos autem utimur quidem, et videtur sane ille superare huiusmodi poëtas, neutiquam tamen Laconicam, sed potius Ionicam quandam ubique adumbrat vitam. nunc vero bene orationem tuam videtur confirmare, quum pristinum illorum statum ad agrestem vivendi rationem quam fabula ponit revocaverit.

Ath. Etiam; testimonio enim suo confirmat; et accipiamus eum auctorem, huiusmodi civitates quandoque exsistere.

Cl. Praeclare.

Ath. Nonne ex dispersis illis exsistunt per singulas domos et familias popter hominum defectum ex eluvione ortum, in quibus aetate maxime provectus principatum

* ἀρχὴν αὐτοῖς ἐκ πατρὸς καὶ μητρὸς γεγονέναι, οἷς ἑπόμενοι καθάπερ ὄρνιθες ἀγέλην μίαν ποιήσουσι, πατρονομούμενοι καὶ βασιλείαν πασῶν δικαιοτάτην βασιλευόμενοι; E

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Μετὰ δὲ ταῦτά γε εἰς τὸ κοινὸν μείζους ποιοῦντες πόλεις πλείους ξυνέρχονται, καὶ ἐπὶ γεωργίας τὰς ἐν ταῖς ὑπωρείαις τρέπονται πρώτας, περιβόλους * τε αἱμασιώδεις τινάς, τειχῶν ἐρύματα, τῶν θηρίων ἕνεκα ποιοῦνται, μίαν οἰκίαν αὖ κοινὴν καὶ μεγάλην ἀποτελοῦντες. 681

ΚΛ. Τὸ γοῦν εἰκὸς ταῦθ' οὕτω γίγνεσθαι.

ΑΘ. Τί δὲ τόδε; ἆρα οὐκ εἰκός;

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Τῶν οἰκήσεων τούτων μειζόνων αὐξανομένων ἐκ τῶν ἐλαττόνων καὶ πρώτων ἑκάστην τῶν σμικρῶν παρεῖναι κατὰ γένος ἔχουσαν τόν τε πρεσβύτατον ἄρχοντα καὶ αὐτῆς ἔθη ἄττα ἴδια * διὰ τὸ χωρὶς ἀλλήλων οἰκεῖν, ἕτερα ἀφ' ἑτέρων ὄντων τῶν γεννητόρων τε καὶ θρεψάντων, ἃ εἰθίσθησαν περὶ θεούς τε καὶ ἑαυτούς, κοσμιωτέρων μὲν κοσμιώτερα καὶ ἀνδρικῶν ἀνδρικώτερα· καὶ κατὰ τρόπον οὕτως ἑκάστους τὰς αὐτῶν αναιρέσεις *) εἰς τοὺς παῖδας ἀποτυπουμένους καὶ παίδων παῖδας, ὃ λέγομεν, ἥκειν ἔχοντας ἰδίους νόμους εἰς τὴν μείζονα ξυνοικίαν. B

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. * Καὶ μὴν τούς γε αὑτῶν νόμους ἀρέσκειν ἑκάστοις ἀναγκαῖόν που, τοὺς δὲ τῶν ἄλλων ὑστέρους. C

ΚΛ. Οὕτως.

ΑΘ. Ἀρχῇ δὴ νομοθεσίας οἷον ἐμβάντες ἐλάθομεν, ὡς ἔοικεν.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὸ γοῦν μετὰ ταῦτα ἀναγκαῖον αἱρεῖσθαι τοὺς ξυνελθόντας τούτους κοινούς τινας ἑαυτῶν, οἳ δὴ τὰ πάντων ἰδόντες νόμιμα, τά σφισιν ἀρέσκοντα αὐτῶν μάλιστα

---

*) ἴσ. αἱρέσεις.

obtinet, propterea quod principatus eis a patre et matre contigit, quos ſequentes avium inſtar gregem unum efficient, paterna gubernatione fruentes regnumque habentes omnium iuſtiſſimum.

Cl. Sane quidem.

Ath. Deinde vero plures congregati in commune maiores reddunt civitates, et ad agriculturam primum in iugis montium ſe convertunt, ſeptaque e lapidibus compoſita quaedam, muri munimenta, propter feras conficiunt, unam domum communem et magnam abſolventes.

Cl. Conſentaneum vero hoc ita fieri.

Ath. Quid vero hoc? an non conſentaneum?

Cl. Quidnam?

Ath. Habitationes hae dum adeo creſcant ut e minoribus primisque maiores fiant, quamque parvarum adeſſe ſecundum genus habentem moderatorem aetate maxime provectum ſuosque quosdam proprios mores propter ſeparatam a reliquis quam degat vitam, alios ab aliis traditos genitoribus et educatoribus, quibus asſueti ſint et ad deos et ad ſemet ipſos, a temperantioribus temperantiores et a fortibus fortiores; et, ut par eſt, quosque ita inſtituta ſua in natis imprimentes natorumque natis, quod dicimus, venire propriis inſtructos moribus in maiorem communitatem.

Cl. Quidni?

Ath. Iam vero ſuae cuique leges probentur neceſſe eſt, reliquorum legibus poſthabitis.

Cl. Ita.

Ath. Principium igitur legum lationis inſcii quaſi, ut videtur, ingreſſi ſumus.

Cl. Sane quidem.

Ath. Deinceps neceſſe eſt eos qui convenerint communes quosdam eligere qui omnium leges perſpectas habentes eas quae maxime ſibi probentur in commune

εἰς τὸ κοινὸν τοῖς ἡγεμόσι καὶ ἀγαγοῦσι τοὺς δήμους οἷον βασιλεῦσι * φανερὰ δείξαντες ἑλέσθαι τε δόντες, αὐτοὶ μὲν D νομοθέται κληθήσονται, τοὺς δὲ ἄρχοντας καταστήσαντες, ἀριστοκρατίαν τινὰ ἐκ τῶν δυναστειῶν ποιήσαντες ἢ καί τινα βασιλείαν, ἐν ταύτῃ τῇ μεταβολῇ τῆς πολιτείας οἰκήσουσιν.

ΚΛ. Ἐφεξῆς γοῦν ἂν οὕτω τε καὶ ταύτῃ γίγνοιτο.

ΑΘ. Τρίτον τοίνυν εἴπωμεν ἔτι πολιτείας σχῆμά γιγνόμενον, ἐν ᾧ δὴ πάντα εἴδη καὶ παθήματα πολιτειῶν καὶ ἅμα πόλεων ξυμπίπτει γίγνεσθαι.

ΚΛ. * Τὸ ποῖον δὴ τοῦτο; E

ΑΘ. Ὃ μετὰ τὸ δεύτερον καὶ Ὅμηρος ἐπεσημήνατο, λέγων τὸ τρίτον οὕτω γεγονέναι· κτίσσε δὲ Δαρδανίην γάρ πού φησιν,

ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
Ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκουν πολυπιδάκου Ἴδης.

* λέγει γὰρ δὴ ταῦτα τὰ ἔπη καὶ ἐκεῖνα ἃ περὶ τῶν Κυ- 682
κλώπων εἴρηκε κατὰ θεόν πως εἰρημένα καὶ κατὰ φύσιν· θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν *) ὂν γένος ὑμνῳδοῦν πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων ξύν τισι Χάρισι καὶ Μούσαις ἐφάπτεται ἑκάστοτε.

ΚΛ. Καὶ μάλα.

ΑΘ. Εἰς δὴ τὸ πρόσθεν προέλθωμεν ἔτι τοῦ νῦν ἐπελθόντος ἡμῖν μύθου· τάχα γὰρ ἂν σημήνειε τι τῆς ἡμετέρας πέρι βουλήσεως. οὐκοῦν χρή;

ΚΛ. * Πάνυ μὲν οὖν. B

ΑΘ. Κατῳκίσθη δή, φαμέν, ἐκ τῶν ὑψηλῶν εἰς μέγα τε καὶ καλὸν πεδίον Ἴλιον, ἐπὶ λόφον τινὰ οὐχ ὑψηλὸν καὶ ἔχοντα ποταμοὺς πολλοὺς ἄνωθεν ἐκ τῆς Ἴδης ὡρμημένους.

ΚΛ. Φασὶ γοῦν.

---

*) γρ. ποιητικὸν ἐνθεαστικόν.

praefectis ducibusque populi, tamquam regibus, proferant earumque eligendarum optionem dent. atque hi quidem ipsi legum latores appellabuntur, illos vero moderatores constituentes optimatum gubernationem quandam vel etiam regnum aliquod e potestatibus conflabunt et in hac civitatis conversione habitabunt.

Cl. Deinceps sane ita et hac ratione fiet.

Ath. Tertiam vero iam dicamus rei publicae formam, in qua quidem omnes species et affectiones civitatum simulque urbium concurrunt.

Cl. Qualem istam?

Ath. Quam post secundam Homerus quoque significavit, dicens tertiam ita exstitisse: *condidit Dardaniam*, dicit enim, *quum nondum Ilium sacrum in campo exstructum esset, urbs hominum articulatim loquentium, sed adhuc iuga Idae fontibus scaturientis incolerent.* dicit enim et hos versus et illos quos de Cyclopibus fudit divinitus quodammodo et naturae convenienter; etenim divinum quum etiam poëticum sit genus, in carminibus suis multa vere facta Gratiis et Musis adiutricibus passim assequitur.

Cl. Sane quidem.

Ath. Fabulam igitur nunc in memoriam reductam ulterius persequamur; forsitan enim indicet aliquid eorum quae spectamus. nonne oportet?

Cl. Etiam.

Ath. Conditum est, dicimus, Ilium deductis colonis a montis iugis in campi planitiem, in colle quodam non excelso multosque habente fluvios ex Idae cacumine manantes.

Cl. Dicunt vero.

ΑΘ. Ἆρ' οὖν οὐκ ἐν πολλοῖς τισὶ χρόνοις τοῖς μετὰ τὸν κατακλυσμὸν τοῦτο οἰόμεθα γεγονέναι;

ΚΛ. Πῶς δ' οὐκ ἐν πολλοῖς;

ΑΘ. Δεινὴ γοῦν ἔοικεν αὐτοῖς λήθη τότε παρεῖναι τῆς νῦν λεγομένης φθορᾶς, ὅθ' * οὕτως ὑπὸ ποταμοὺς πολλοὺς C
καὶ ἐκ τῶν ὑψηλῶν ῥέοντας πόλιν ὑπέθεσαν, πιστεύσαντες οὐ σφόδρα ὑψηλοῖς τισὶ λόφοις.

ΚΛ. Δῆλον οὖν ὡς παντάπασί τινα *) μακρὸν ἀπεῖχον χρόνον τοῦ τοιούτου πάθους.

ΑΘ. Καὶ ἄλλαι γε, οἶμαι, πόλεις τότε κατῴκουν ἤδη πολλαὶ πληθυόντων τῶν ἀνθρώπων.

ΚΛ. Τί μήν;

ΑΘ. Αἵ γέ που καὶ ἐπεστρατεύσαντο αὐτῇ, καὶ κατὰ θάλατταν δὲ ἴσως, ἀφόβως ἤδη πάντων χρωμένων τῇ θαλάττῃ.

ΚΛ. * Φαίνεται. D

ΑΘ. Δέκα δ' ἔτη που μείναντες Ἀχαιοὶ τὴν Τροίαν ἀνάστατον ἐποίησαν.

ΚΛ. Καὶ μάλα.

ΑΘ. Οὐκοῦν ἐν τούτῳ τῷ χρόνῳ, ὄντι δεκέτει, ὃν τὸ Ἴλιον ἐπολιορκεῖτο, τὰ τῶν πολιορκούντων ἑκάστων οἴκοι κακὰ πολλὰ ξυνέβαινε γιγνόμενα περὶ τὰς στάσεις τῶν νέων, οἳ καὶ ἀφικομένους τοὺς στρατιώτας εἰς τὰς αὑτων πόλεις τε καὶ οἰκίας οὐ καλῶς οὐδ' ἐν δίκῃ ὑπεδέξαντο, ἀλλ' ὥστε θανάτους τε καὶ σφαγὰς * καὶ φυγὰς γενέσθαι παμπόλλας· E
οἳ πάλιν ἐκπεσόντες κατῆλθον μεταβαλόντες ὄνομα, Δωριεῖς ἀντ' Ἀχαιῶν κληθέντες διὰ τὸ τὸν ξυλλέξαντα εἶναι τοὺς τότε φυγάδας **) Δωριέα. καὶ δὴ ταῦτά γε ἤδη πάνθ' ὑμεῖς, ὦ Λακεδαιμόνιοι, τἀντεῦθεν μυθολογεῖτε καὶ διαπεραίνετε.

ΜΕ. Τί μήν;

ΑΘ. Ὅθεν δὴ κατ' ἀρχὰς ἐξετραπόμεθα περὶ νόμων διαλεγόμενοι, περιπεσόντες μουσικῇ τε καὶ ταῖς μέθαις, νῦν

---

*) γρ. τι.

**) Lib. Voss. τὰς τότε φυγάς.

Ath. At nonne multo post eluvionem hoc censemus factum esse?

Cl. Quidni multo?

Ath. Incredibilis sane eos videtur oblivio cepisse calamitatis nunc dictae, siquidem ita ad fluvios multos, et e locis editis manantes urbem condiderunt, confidentes collibus quibusdam non sane excelsis.

Cl. Perspicuum est plane longe eos absuisse a calamitate illa.

Ath. Et aliae quoque, opinor, urbes tum iam incolas habuerunt hominum numero increscente.

Cl. Quidni?

Ath. Quae quidem sine dubio etiam adversus Ilium bellum gesserunt, idque fortasse mari, quum sine timore iam omnes mari uterentur.

Cl. Patet vero.

Ath. Decem autem annos quum obsedissent Achivi Troiam everterunt.

Cl. Sane quidem.

Ath. Inter hoc autem decem annorum spatium quo Troia oppugnata est, res domesticae obsessorum fere omnium multis modis perturbatae sunt iuvenum seditionibus, qui etiam reversos milites in urbes suas et domos non bene nec iuste receperunt, sed ita ut mortes et caedes et exilia consequerentur permulta; qui expulsi redierunt mutato nomine, Dores pro Achivis appellati, quia Doriensis erat qui exsules illius temporis collegerat. et haec quidem iam omnia vos, Lacedaemonii, quae deinceps sequuta sunt narratis et persequimini.

Me. Quidni?

Ath. Unde igitur ab initio declinavit oratio de legibus suscepta, quum in musicam et ebrietatem incidisset, eo

ἐπὶ τὰ αὐτὰ πάλιν ἀφίγμεθα ὥσπερ κατὰ θεόν, καὶ ὁ λόγος
ἡμῖν οἷον λαβὴν ἀποδίδωσιν· ἥκει γὰρ ἐπὶ τὴν εἰς Λακε-
δαίμονα κατοίκισιν * αὐτήν, ἣν ὑμεῖς ὀρθῶς ἔφατε κατοι- 683
κεῖσθαι *) καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις. νῦν οὖν το-
σόνδε πλεονεκτοῦμεν τῇ πλάνῃ τοῦ λόγου, διὰ πολιτειῶν
τινῶν καὶ κατοικισμῶν διεξελθόντες· ἐθεασάμεθα πρώτην τε
καὶ δευτέραν καὶ τρίτην πόλιν, ἀλλήλων, ὡς οἰόμεθα, ταῖς
κατοικίσεσιν ἐχομένας ἐν χρόνου τινὸς μήκεσιν ἀπλέτοις.
νῦν δὲ δὴ τετάρτη τις ἡμῖν αὕτη πόλις, εἰ δὲ βούλεσθε,
ἔθνος ἥκει κατοικιζόμενόν τέ ποτε καὶ νῦν κατῳκισμένον·
* ἐξ ὧν ἁπάντων εἴ τι ξυνεῖναι δυνάμεθα τί τε καλῶς ἢ B
μὴ κατῳκίσθη, καὶ ποῖοι νόμοι σώζουσιν αὐτῶν τὰ σωζόμε-
να καὶ ποῖοι φθείρουσι τὰ φθειρόμενα, καὶ ἀντὶ ποίων
ποῖα μετατεθέντα εὐδαίμονα πόλιν ἀπεργάζοιτ' ἂν **), ὦ
Μέγιλλέ τε καὶ Κλεινία, ταῦτα δὴ πάλιν οἷον ἐξ ἀρχῆς
ἡμῖν λεκτέον, εἰ μή τι τοῖς εἰρημένοις ἐγκαλοῦμεν λόγοις.

ΜΕ. Εἰ γοῦν, ὦ ξένε, τις ἡμῖν ὑπόσχοιτο θεὸς ὡς,
ἐὰν ἐπιχειρήσωμεν τὸ δεύτερον τῇ τῆς νομοθεσίας * σκέψει, C
τῶν νῦν εἰρημένων λόγων οὐ χείρους οὐδ' ἐλάττους ἀκου-
σόμεθα, μακρὰν ἂν ἔλθοιμι ἔγωγε, καί μοι βραχὺ ***) ἂν
δόξειεν ἡ νῦν παροῦσα ἡμέρα γίγνεσθαι· καίτοι σχεδόν γ'
ἐστὶν ἡ ἐκ θερινῶν εἰς τὰ χειμερινὰ τοῦ θεοῦ τρεπομένου.

ΑΘ. Χρὴ δὴ ταῦτα, ὡς ἔοικε, σκοπεῖν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Γενώμεθα δὴ ταῖς διανοίαις ἐν τῷ τότε χρόνῳ,
ὅτε Λακεδαίμων μὲν καὶ Ἄργος καὶ Μεσσήνη καὶ τὰ μετὰ
τούτων ὑποχείρια τοῖς * προγόνοις ὑμῶν, ὦ Μέγιλλε, ἱκα- D
νῶς ἐγεγόνει· τὸ δὲ δὴ μετὰ τοῦτο ἔδοξεν αὐτοῖς, ὥς γε
λέγεται τὸ τοῦ μύθου, τριχῇ τὸ στράτευμα διανείμαντας
τρεῖς πόλεις κατοικίζειν, Ἄργος, Μεσσήνην, Λακεδαίμονα.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Καὶ βασιλεὺς μὲν Ἄργους Τήμενος ἐγίγνετο, Μεσ-

---

*) ἴσ. κατῳκίσθαι.
**) γρ. ἀπεργάζοιντ' ἄν.
***) ἄλλ. βραχεῖ'.

nunc revocatur quasi divinitus, et velut ansam nobis dat; venit enim ad ipsam Lacedaemonem conditam, quam vos recte dicitis îsdem atque Cretam legibus constitutam esse. nunc igitur tantum profecimus orationis digressione, quum de civitatibus quibusdam rerumque publicarum constitutionibus exponeremus: spectavimus primam et secundam et tertiam civitatem, constitutiones habentes, ut arbitramur, inter se aptas per immensum quoddam temporis spatium. nunc vero quarta nobis venit haec urbs, vel, si voltis, gens, tunc condita et nunc constituta: ex quibus quidem omnibus si quid concludere potuerimus quid bene necne constitutum fuerit, quales leges conservent ea quae conserventur et quales corrumpant ea quae corrumpantur, et pro quibus quaenam substitutae beatam efficiant civitatem, o Megille et Clinia, haec rursus tamquam ab initio nobis exponenda, nisi quid in sermonibus adhuc collatis offendimus.

Me. Immo, o hospes, si quis nobis polliceretur deus, nos iterum instituta de legibus ferendis quaestione sermonibus nunc prolatis neque deteriores neque pauciores esse audituros, longum equidem iter libenter facerem, et brevis mihi videretur praesens dies esse; quamquam is fere est quo a solstitio ad brumam deus convertitur.

Ath. Oportet sane, ut videtur, haec indagari.

Me. Ita plane.

Ath. Complectamur igitur cogitatione tempus illud, quo Lacedaemon et Argos et Messene hisque coniuncta maiorum vestrorum, o Megille, imperio subiecta satis erant; deinde vero visum est eis, ut fabula narrat tripartito exercitum dividere trisque urbes condere, Argos, Messenen, Lacedaemonem.

Me. Sane quidem.

Ath. Ac rex quidem Argorum Temenus est factus,

σήνης δὲ Κρεσφόντης, Λακεδαίμονος δὲ Προκλῆς καὶ Εὐρυσθένης.

ΜΕ. Πῶς γὰρ οὔ;

ΑΘ. Πάντες *) δὴ τούτοις ὤμοσαν οἱ τότε βοηθήσειν, ἐάν τις * τὴν βασιλείαν αὐτῶν διαφθείρῃ. E

ΜΕ. Τί μήν;

ΑΘ. Βασιλεία δὲ καταλύεται, ὦ πρὸς Διός, ἤ καί τις ἀρχὴ πώποτε κατελύθη μῶν ὑπό τινων ἄλλων ἢ σφῶν αὐτῶν; ἢ νῦν δὴ μὲν ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις οὕτω ταῦτ' ἐτίθεμεν, νῦν δ' ἐπιλελήσμεθα;

ΜΕ. Καὶ πῶς;

ΑΘ. Οὐκοῦν νῦν δὴ μᾶλλον βεβαιωσόμεθα τὸ τοιοῦτον· περιτυχόντες γὰρ ἔργοις γενομένοις, ὡς ἔοικεν, ἐπὶ τὸν αὐτὸν λόγον ἐληλύθαμεν, ὥςτε οὐ περὶ κενόν τι ζητήσομεν τὸν * αὐτὸν λόγον, ἀλλὰ περὶ γεγονός τε καὶ ἔχον ἀλήθειαν. γέγονε δὲ **) τάδε· βασιλεῖαι τρεῖς βασιλευομέναις πόλεσι τριτταῖς ὤμοσαν ἀλλήλαις ἑκάτεραι, κατὰ νόμους οὓς ἔθεντο τοῦ τε ἄρχειν καὶ ἄρχεσθαι κοινούς, οἱ μὲν μὴ βιαιοτέραν τὴν ἀρχὴν ποιήσεσθαι προϊόντος τοῦ χρόνου καὶ γένους, οἱ δὲ ταῦτα ἐμπεδούντων τῶν ἀρχόντων μήτε αὐτοὶ τὰς βασιλείας ποτὲ καταλύσειν μήτ' ἐπιτρέψειν ἐπιχειροῦσιν ἑτέροις, βοηθήσειν δὲ βασιλῆς τε βασιλεῦσιν * ἀδικουμένοις καὶ δήμοις καὶ δῆμοι δήμοις καὶ βασιλεῦσιν ἀδικουμένοις. ἆρ' οὐχ οὕτως; 684 B

ΜΕ. Οὕτω μὲν οὖν.

ΑΘ. Οὐκοῦν τό γε μέγιστον ταῖς καταστάσεσι τῶν πολιτειῶν ὑπῆρχε ταῖς ἐν ταῖς τρισὶ πόλεσι νομοθετουμέναις, εἴτε οἱ βασιλῆς ἐνομοθέτουν εἴτ' ἄλλοι τινές;

ΜΕ. Ποῖον;

ΑΘ. Τὸ βοηθοὺς ***) εἶναι τὰς δύο ἐπὶ τὴν μίαν ἀεὶ πόλιν, τὴν τοῖς τεθεῖσι νόμοις ἀπειθοῦσαν.

---

*) ἄλλ. Καὶ πάντες.
**) γρ. δή.
***) ἄλλ. βοηθούς γε.

Meſſenes Cresphontes, Lacedaemonis vero Procles et Euryſthenes.

Me. Ita plane.

Ath. Omnes autem iuraverunt qui tum erant his ſe auxilium eſſe laturos, ſi quis eorum regnum violaret.

Me. Etiam.

Ath. Regnum vero ſolvitur, per deos, vel principatus aliquis umquam ſolutus eſt num ab aliis, quam ab ipſis regentibus? an paullo ante quidem de hac re verba facientes ita hoc poſueramus, nunc vero obliti ſumus?

Me. Quî tandem?

Ath. Ergo nunc quidem magis hoc confirmabimus; incidentes enim in res quae factae ſunt, ut patet, ad eandem orationem redîmus, ut non in vano quoquam verſatura ſit eadem oratio, ſed in re geſta vereque facta. factum autem hoc eſt: regna tria et civitates tres iusiurandum inter ſe dederunt, ſecundum leges quas de imperando et parendo ſanxerant communes, reges quidem, ſe non violentius reddituros eſſe imperium procedente tempore et genere, ſubiecti vero, ſi conſtanter ſervarent reges iusiurandum, ſe neque ipſos regiam poteſtatem umquam diſſoluturos neque permiſſuros eſſe aliis id adorientibus, ſed reges auxilium laturos eſſe regibus et populo iniuriam patientibus et populum populo regibusque iniuriam accipientibus. nonne ita?

Me. Iſto modo ſe res habet.

Ath. Nonne id quidem quod maximi eſt momenti rerum publicarum conſtitutionibus in tribus illis civitatibus lege ſancitis obtigit, ſive reges ſanxerunt ſive alii quidam?

Me. Quidnam?

Ath. Hoc quod auxilio ſe iuvabant duae ſemper civitates adverſus unam legibus latis non obedientem.

ΜΕ. Δῆλον.

ΑΘ. Καὶ μὴν τοῦτό γε οἱ πολλοὶ προςτάττουσι * τοῖς C νομοθέταις, ὅπως τοιούτους θήσουσι τοὺς νόμους οὓς ἑκόντες οἱ δῆμοι καὶ τὰ πλήθη δέξονται, καθάπερ ἂν εἴ τις γυμνασταῖς ἢ ἰατροῖς προςτάττοι μεθ' ἡδονῆς θεραπεύειν τε καὶ ἰᾶσθαι τὰ θεραπευόμενα σώματα.

ΜΕ. Παντάπασι μὲν οὖν.

ΑΘ. Τὸ δέ γ' ἐστὶν ἀγαπητὸν πολλάκις εἰ καί τις μετὰ λύπης μὴ μεγάλης δύναιτο εὐεκτικά τε καὶ ὑγιῆ σώματα ἀπεργάζεσθαι.

ΜΕ. Τί μήν;

ΑΘ. Καὶ τόδε γε ἔτι τοῖς τότε ὑπῆρχεν * οὐ σμικρὸν D εἰς ῥαστώνην τῆς θέσεως τῶν νόμων.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Οὐκ ἦν τοῖς νομοθέταις ἡ μεγίστη τῶν μέμψεων, ἰσότητα αὐτοῖς τινὰ κατασκευάζουσι τῆς οὐσίας, ἥπερ ἐν ἄλλαις νομοθετουμέναις πόλεσι πολλαῖς γίγνεται, ἐάν τις ζητῇ γῆς τε κτῆσιν κινεῖν καὶ χρεῶν διάλυσιν, ὁρῶν ὡς οὐκ ἂν δύναιτο ἄνευ τούτων γενέσθαι ποτὲ τὸ ἴσον ἱκανῶς· ὡς ἐπιχειροῦντι δὴ νομοθέτῃ κινεῖν τῶν τοιούτων τι πᾶς ἀπαντᾷ λέγων μὴ κινεῖν τὰ ἀκίνητα, * καὶ ἐπαρᾶται γῆς τε ἀνα- E δασμοὺς εἰςηγούμενον καὶ χρεῶν ἀποκοπάς, ὥςτ' εἰς ἀπορίαν καθίστασθαι πάντα ἄνδρα. τοῖς δὲ δὴ Δωριεῦσι καὶ τοῦθ' οὕτως ὑπῆρχε καλῶς καὶ ἀνεμεσήτως, γῆν τε ἀναμφιςβητήτως διανέμεσθαι, καὶ χρέα μεγάλα καὶ παλαιὰ οὐκ ἦν.

ΜΕ. Ἀληθῆ.

ΑΘ. Πῇ δή ποτε οὖν, ὦ ἄριστοι, κακῶς οὕτως αὐτοῖς ἐχώρησεν ἡ κατοίκισίς τε καὶ νομοθεσία;

ΜΕ. * Πῶς δή, καὶ τί μεμφόμενος αὐτῶν λέγεις; 685

ΑΘ. Ὅτι τριῶν γενομένων τῶν οἰκήσεων τὰ δύο αὐτῶν μέρη ταχὺ τήν τε πολιτείαν καὶ τοὺς νόμους διέφθειρε, τὸ δὲ ἓν μόνον ἔμεινε, τὸ τῆς ὑμετέρας πόλεως.

Me. Patet vero.

Ath. Et hoc quidem plerique praecipiunt legum latoribus ut tales ferant leges, quas ultro populus et multitudo accipiant, velut fi quis exercitiorum magiftris vel medicis praecipiat ut cum voluptate curent et fanent corpora curationi fuae tradita.

Me. Prorfus fe ita res habet.

Ath. Saepius tamen in hoc acquiefcendum eft, fi quis cum dolore non ita magno poffit bene habentia et fana corpora efficere.

Me. Quidni?

Ath. Etiam hoc praeterea illis obtigit quod haud parvum momentum habet ad leges facilius fcribendas.

Me. Quidnam?

Ath. Non incurrebant legum latores maximam in reprehenfionem aequalitatem quandam bonorum civibus conftituentes, quae quidem in aliis multis urbibus legibus inftructis contingit, fi quis inftituat agrorum poffeffionem movere novasque tabulas facere, intelligens non poffe fine his umquam aequalitatem fatis parari; nam inftituenti legis latori tale quid movere quivis occurrit adhortans ne moveat non movenda, et deteftatur agrorum divifiones novasque tabulas fuadentem: ut confilii inopia quivis afficiatur. Doribus autem hoc quoque praeclare et fine ulla offenfione licebat, agros fine ulla controverfia distribuere, nec magnum vetusque aes alienum habebant.

Me. Vera.

Ath. Quo igitur pacto, viri optimi, tam male eis ceffit civitatis conftitutio legumque latio?

Me. Quo tandem modo, et in qua re eos reprehendens hoc dicis?

Ath. In hoc quod, quum tres fuiffent civitates, duae earum partes brevi et rem publicam et leges corruperunt, et una fola permanfit, veftra civitas.

ΜΕ. Οὐ πάνυ ῥάδιον ἐρωτᾷς.

ΑΘ. Ἀλλὰ μὴν δεῖ γε ἡμᾶς τοῦτο ἐν τῷ νῦν σκοποῦντας καὶ ἐξετάζοντας περὶ νόμων, παίζοντας παιδιὰν πρεσβυτικὴν σώφρονα *), διελθεῖν τὴν ὁδὸν ἀλύπως, ὡς ἔφαμεν ἡνίκα ἠρχόμεθα * πορεύεσθαι. B

ΜΕ. Τί μήν; καὶ ποιητέον γε ὡς λέγεις.

ΑΘ. Τίνα οὖν ἂν σκέψιν κάλλιω ποιησαίμεθα περὶ νόμων ἢ τούτων οἳ ταύτας διακεκοσμήκασιν; ἢ πόλεων πέρι τίνων εὐδοκιμωτέρων τε καὶ μειζόνων κατοικίσεων σκοποίμεθ' ἄν;

ΜΕ. Οὐ ῥάδιον ἀντὶ τούτων ἑτέρας λέγειν.

ΑΘ. Οὐκοῦν ὅτι μὲν διενοοῦντό γε οἱ τότε τὴν κατασκευὴν ταύτην οὐ Πελοποννήσῳ μόνον ἔσεσθαι βοηθὸν ἱκανήν, σχεδὸν δῆλον, ἀλλὰ καὶ * τοῖς Ἕλλησι πᾶσιν, εἴ τις C τῶν βαρβάρων αὐτοὺς ἀδικοῖ, καθάπερ οἱ περὶ τὸ Ἴλιον οἰκοῦντες τότε, πιστεύοντες τῇ τῶν Ἀσσυρίων δυνάμει τῇ περὶ Νῖνον γενομένῃ, θρασυνόμενοι τὸν πόλεμον ἤγειραν τὸν ἐπὶ Τροίαν· ἦν γὰρ ἔτι τὸ τῆς ἀρχῆς ἐκείνης σχῆμα τὸ σωζόμενον οὐ σμικρόν· καθάπερ νῦν τὸν μέγαν βασιλέα φοβούμεθα ἡμεῖς, καὶ τότε ἐκείνην τὴν ξυσταθεῖσαν ξύνταξιν ἐδέδισαν οἱ τότε. μέγα γὰρ ἔγκλημα πρὸς αὐτοὺς ἡ τῆς Τροίας ἅλωσις * τὸ δεύτερον ἐγεγόνει· τῆς ἀρχῆς γὰρ τῆς D ἐκείνων ἦν μόριον. πρὸς δὴ ταῦτα πάντα ἡ τοῦ στρατοπέδου τοῦ τότε διανεμηθεῖσα εἰς τρεῖς πόλεις κατασκευὴ μία ὑπὸ βασιλέων ἀδελφῶν, παίδων Ἡρακλέους, καλῶς ἐδόκει ἀνευρημένη καὶ κατακεκοσμημένη καὶ διαφερόντως τῆς ἐπὶ τὴν Τροίαν ἀφικομένης. πρῶτον μὲν γὰρ τοὺς Ἡρακλείδας τῶν Πελοπιδῶν ἀμείνους ἡγοῦντο ἀρχόντων ἄρχοντας ἔχειν, ἔπειτ' αὖ τὸ στρατόπεδον * τοῦτο τοῦ ἐπὶ Τροίαν E ἀφικομένου διαφέρειν πρὸς ἀρετήν· νενικηκέναι γὰρ τούτους, ἡττᾶσθαι **) δ' ὑπὸ τούτων ἐκείνους, Ἀχαιοὺς ὄντας ὑπὸ Δωριέων. ἆρ' οὐχ οὕτως οἰόμεθα καὶ τῇ διανοίᾳ ταύτῃ κατασκευάζεσθαι τοὺς τότε;

---

*) ἴσ. καὶ σώφρονα.
**) ἴσ. ἡττῆσθαι.

Me. Non fane facile eft quod interrogas.

Ath. At oportet nos quidem hoc nunc quaerentes et explorantes de legibus per ludum fenilem et modeftum iter conficere fine moleftia, ut diximus, quum inciperemus proficifci.

Me. Quidni? ac faciundum quidem ut dicis.

Ath. Num igitur pulchriorem de legibus quaeftionem inftituere poffimus quam de his quae civitates illas in ordinem adduxerunt? an de quibusnam civitatibus clarioribus maioribusque quaeftionem poffimus habere?

Me. Non facile pro his alias dicere.

Ath. Perfpicuum igitur fere eft, cogitaffe illos apparatum illum non Peloponnefo tantum fatis fore auxilio, fed etiam Graecis omnibus, fi quis barbarorum eis iniuriam inferret, quemadmodum qui circum Ilium tum habitabant, freti Affyriorum potentia per Ninum comparata audacter bellum commoverunt adverfus Troiam; erat enim fplendor imperii illius dum adhuc florebat haud exiguus; et quemadmodum nos nunc magnum regem timemus, ita etiam tunc illius aetatis homines poteftatem illam coniunctam reformidabant; magno enim eis crimini erat fecunda Troiae expugnatio; imperii videlicet illorum pars erat. propter haec omnia exercitus illius apparatus unus in tris tum civitates distributus a regibus fratribus, Herculis filiis, praeclare videbatur inventus et difpofitus effe multo magis quam is qui Troiam invaferat. primum enim Heraclidas Pelopidis meliores arbitrabantur fe ducibus duces habere, deinde etiam exercitum hunc illi Troiam adorto praeftare virtute; viciffe enim hos, fuperatos vero effe ab his illos, Achivos a Doribus. nonne ita cenfemus et hac cogitatione illos adductos fefe armaviffe?

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Οὐκοῦν καὶ τὸ βεβαίως οἴεσθαι ταῦθ' ἕξειν εἰκὸς
αὐτοὺς * καὶ χρόνον τινὰ ἂν πολὺν μένειν, ἅτε κεκοινω- 686
νηκότας μὲν πολλῶν πόνων καὶ κινδύνων ἀλλήλοις, ὑπὸ γέ-
νους δὲ ἑνὸς τῶν βασιλέων ἀδελφῶν ὄντων διακεκοσμημέ-
νους, πρὸς τούτοις δ' ἔτι καὶ πολλοῖς μάντεσι κεχρημένους
εἶναι τοῖς τε ἄλλοις καὶ τῷ Δελφικῷ Ἀπόλλωνι;

ΜΕ. Πῶς δ' οὐκ εἰκός;

ΑΘ. Ταῦτα δὴ τὰ μεγάλα οὕτω προσδοκώμενα διέπτα-
το, ὡς ἔοικε, τότε ταχύ, πλήν, ὅπερ εἴπομεν νῦν δή, σμι-
κροῦ μέρους τοῦ περὶ τὸν ὑμέτερον τόπον· καὶ * τοῦτο B
δὴ πρὸς τὰ δύο μέρη πολεμοῦν οὐ πώποτε πέπαυται μέχρι
τὰ νῦν *)· ἐπεὶ γενομένη γε ἡ τότε διάνοια καὶ ξυμφωνή-
σασα εἰς ἓν ἀνυπόστατον ἄν τινα δύναμιν ἔσχε κατὰ πό-
λεμον.

ΜΕ. Πῶς γὰρ οὔ;

ΑΘ. Πῶς οὖν καὶ πῇ διώλετο; ἆρ' οὐκ ἄξιον ἐπισκο-
πεῖν, τηλικοῦτον καὶ τοιοῦτον ξύστημα ἥτις ποτὲ τύχη διέ-
φθειρεν;

ΜΕ. Σχολῇ γὰρ οὖν δή τις ἂν ἄλλο σκοπῶν ἢ νόμους
ἢ πολιτείας * ἄλλας θεάσαιτο σωζούσας καλὰ καὶ μεγάλα C
πράγματα ἢ καὶ τοὐναντίον διαφθειρούσας τὸ παράπαν, εἰ
ἀμελήσειε τούτων.

ΑΘ. Τοῦτο μὲν ἄρα, ὡς ἔοικεν, εὐτυχῶς πως ἐμβεβή-
καμέν γε εἴς τινα σκέψιν ἱκανήν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἆρ' οὖν, ὦ θαυμάσιε, λελήθαμεν ἄνθρωποι πάν-
τες, καὶ τὰ νῦν δὴ ἡμεῖς, οἰόμενοι μὲν ἑκάστοτέ τι καλὸν
ὁρᾶν πρᾶγμα γενόμενον καὶ θαυμαστὰ ἂν ἐργασάμενον, εἴ
τις ἄρα ἠπιστήθη καλῶς αὐτῷ χρήσασθαι * κατά τινα τρό- D
πον, τὸ δὲ νῦν γε ἡμεῖς τάχ' ἂν ἴσως περὶ τοῦτο αὐτὸ
οὔτ' ὀρθῶς διανοοίμεθα οὔτε κατὰ φύσιν, καὶ δὴ καὶ

---

*) ἄλλ. τοῦ νῦν.

Me. Sane quidem.

Ath. Nonne consentaneum est eos etiam putasse stabilem fore hunc rerum statum longumque tempus duraturum esse, quippe qui multorum laborum et periculorum communitate inter se coniuncti, ab uno genere regum eorumque fratrum in ordinem adducti praetereaque multis vatibus usi fuerint quum ceteris tum Delphico Apolline?

Me. Quidni consentaneum?

Ath. Haec igitur quae tam magnam commoverant exspectationem evanuerunt, ut liquet, tunc brevi tempore, excepta, quod modo diximus, exigua parte, vestra regione; et haec quidem adversus duas illas partes numquam desivit adhuc bellum gerere; etenim animus qui tunc erat, in unum si coniunctus fuisset et conspirasset, invictam bello reddidisset eorum potestatem.

Me. Quidni?

Ath. Quomodo igitur et qua de causa perit? annon quaestione dignum est tantam talemque vim coniunctam quaenam fortuna dissolverit?

Me. Vix ac ne vix quidem aliorsum quisquam spectans leges vel civitates alias invenerit praeclaras magnasque res servantes vel contra perdentes omnino, has si neglexerit.

Ath. Iccirco feliciter, ut patet, quodammodo incidimus in quaestionem quandam idoneam.

Me. Sane quidem.

Ath. Profecto, vir admirabilis, fallimur homines omnes, et nunc quidem nos, arbitrantes semper pulchram nos videre rem futuram et mira quaedam effecturam, si quis bene scivisset ea uti aliquo modo, ac nunc quidem nos forsitan de hoc ipso non recte sentiamus

περὶ τὰ ἄλλα πάντες πάντα περὶ ὧν ἂν οὕτω διανοηθῶσιν.

ΜΕ. Λέγεις δὲ δή τί; καὶ περὶ τίνος σοι φῶμεν μάλιστ' εἰρῆσθαι τοῦτον τὸν λόγον;

ΑΘ. Ὦ 'γαθέ, καὶ αὐτὸς ἐμαυτοῦ νῦν δὴ κατεγέλασα· ἀποβλέψας γὰρ πρὸς τοῦτον τὸν στόλον οὗ πέρι διαλεγόμεθα, ἔδοξέ μοι πάγκαλός τε εἶναι καὶ θαυμαστὸν κτῆμα παραπεσεῖν τοῖς Ἕλλησιν, ὅπερ εἶπον, εἴ τις ἄρα αὐτῷ * τότε E καλῶς ἐχρήσατο.

ΜΕ. Οὐκοῦν εὖ καὶ ἐχόντως νοῦν σύ τε πάντα εἶπες καὶ ἐπῃνέσαμεν ἡμεῖς;

ΑΘ. Ἴσως· ἐννοῶ γε μὴν ὡς πᾶς, ὃς ἂν ἴδῃ τι μέγα καὶ δύναμιν ἔχον πολλὴν καὶ ῥώμην, εὐθὺς ἔπαθε τοῦτο, ὡς, εἴπερ ἐπίσταιτο ὁ κεκτημένος αὐτῷ χρῆσθαι τοιούτῳ τε ὄντι καὶ τηλικούτῳ, θαυμάστ' ἂν καὶ πολλὰ κατεργασάμενος εὐδαιμονοῖ.

ΜΕ. * Οὐκοῦν ὀρθὸν καὶ τοῦτο; ἢ πῶς λέγεις; 687

ΑΘ. Σκόπει δὴ ποῖ βλέπων ὁ τὸν ἔπαινον τοῦτον περὶ ἑκάστου τιθέμενος ὀρθῶς λέγει· πρῶτον δὲ περὶ αὐτοῦ τοῦ νῦν λεγομένου, πῶς, εἰ κατὰ τρόπον ἠπιστήθησαν τάξαι τὸ στρατόπεδον οἱ τότε διακοσμοῦντες, τοῦ καιροῦ πῶς ἂν ἔτυχον; ἆρ' οὐκ εἰ ξυνέστησάν τε ἀσφαλῶς αὐτὸ διέσωζόν τε εἰς τὸν ἀεὶ χρόνον, ὥστε αὐτούς τε *) ἐλευθέρους εἶναι καὶ ἄλλων ἄρχοντας ὧν βουληθεῖεν, καὶ ὅλως ἐν ἀνθρώποις * πᾶσι B καὶ Ἕλλησι καὶ βαρβάροις πράττειν ὅ τι ἐπιθυμοῖεν αὐτοί τε καὶ οἱ ἔκγονοι; μῶν οὐ τούτων χάριν ἐπιθυμοῖεν ἂν **);

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Ἆρ' οὖν καὶ ὃς ἂν ἰδὼν πλοῦτον μέγαν ἢ τιμὰς διαφερούσας γένους ἢ καὶ ὁτιοῦν τῶν τοιούτων εἴπῃ ταὐτὰ ταῦτα, πρὸς τοῦτο βλέπων εἶπεν, ὡς διὰ τοῦτο αὐτῷ γενησόμενα ὧν ἂν ἐπιθυμῇ πάντα ἢ τὰ πλεῖστα καὶ ὅσα ἀξιώτατα λόγου;

---

*) γρ. γε.
**) ἴσ. ἐπαινοῖεν ἄν;

neque naturae convenienter, atque etiam in reliquis omnibus omnes de quibus ita iudicent.

Me. Dicis autem quidnam? et quorſum maxime ſpectare tibi dicamus hanc orationem?

Ath. O bone, me ipſe nunc deriſi; intuenti enim mihi hunc exercitum de quo agimus viſus eſt oppido pulcher eſſe, et admirabilem rem nacturos fuiſſe Graecos, id quod dixi, ſi quis eo tum recte uſus fuiſſet.

Me. Nonne bene et prudenter tu omnia dixiſti et nos probavimus?

Ath. Fortaſſe; cogito tamen quemlibet, qui magnum quiddam viderit multaque vi ac robore praeditum, ſtatim ita affici ut dicat, ſi ſciret poſſeſſor tali tantoque bono uti, admirabilia et multa eum effecturum eſſe beatumque fore.

Me. Nonne hoc quoque rectum? an quomodo ais?

Ath. Vide dum quorſum ſpectans is qui hanc de utroque laudem proferat recte dicat; primum de quo nunc agimus, quomodo, ſi rite ſciviſſent ordinare exercitum qui tum praefecti fuerunt, opportunitatem eſſent nacti? nonne ſi conſtituiſſent eum tuto et in omne tempus conſervaſſent ita ut ipſi et liberi eſſent et duces aliorum quorumcumque vellent, omninoque apud homines omnes tam Graecos quam barbaros facerent quicquid cuperent et ipſi et poſteri? nonne hanc ob cauſam laudem illam proferant?

Me. Sane quidem.

Ath. Nonne etiam qui divitias magnas honoresque inſignes generis vel aliud quid tale ſpectans eadem haec dixerit, huc ſpectans dixerit, quod per illa ſe nacturum eſſe putet quae cupiat omnia vel plurima maximeque conſpicua?

ΜΕ. Ἔοικε γοῦν.

ΑΘ. Φέρε δή, πάντων ἀνθρώπων * ἔστι κοινὸν ἐπιθύμημα ἕν τι τὸ νῦν ὑπὸ τοῦ λόγου δηλούμενον, ὡς αὐτός φησιν ὁ λόγος; C

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Τὸ κατὰ τὴν τῆς αὐτοῦ ψυχῆς ἐπίταξιν τὰ γιγνόμενα γίγνεσθαι, μάλιστα μὲν ἅπαντα, εἰ δὲ μή, τά γε ἀνθρώπινα;

ΜΕ. Τί μήν;

ΑΘ. Οὐκοῦν, ἐπείπερ βουλόμεθα πάντες τὸ τοιοῦτον ἀεὶ παῖδές τε ὄντες καὶ ἄνδρες καὶ πρεσβῦται, τοῦτ' αὐτὸ καὶ εὐχοίμεθ' ἂν *) ἀναγκαίως διὰ τέλους;

ΜΕ. Πῶς δ' οὔ;

ΑΘ. * Καὶ μὴν τοῖς γε φίλοις που ξυνευχοίμεθ' ἂν D ταῦτα ἅπερ ἐκεῖνοι ἑαυτοῖς.

ΜΕ. Τί μήν;

ΑΘ. Φίλος μὲν υἱὸς πατρί, παῖς ὢν ἀνδρί.

ΜΕ. Πῶς δ' οὔ;

ΑΘ. Καὶ μὴν ὧν γ' ὁ παῖς εὔχεται ἑαυτῷ γίγνεσθαι, πολλὰ ὁ πατὴρ ἀπεύξαιτ' ἂν τοῖς θεοῖς μηδαμῶς κατὰ τὰς τοῦ υἱέος εὐχὰς γίγνεσθαι.

ΜΕ. Ὅταν ἀνόητος ὢν καὶ ἔτι νέος εὔχηται, λέγεις;

ΑΘ. Καὶ ὅταν γε ὁ πατὴρ ὢν γέρων ἢ καὶ σφόδρα νεανίας, μηδὲν τῶν καλῶν καὶ τῶν δικαίων * γιγνώσκων, E εὔχηται μάλα προθύμως ἐν παθήμασιν ἀδελφοῖς ὧν τοῖς γενομένοις Θησεῖ πρὸς τὸν δυστυχῶς τελευτήσαντα Ἱππόλυτον, ὁ δὲ παῖς γιγνώσκῃ, τότε, δοκεῖς, παῖς πατρὶ ξυνεύξεται;

ΜΕ. Μανθάνω ὃ λέγεις· λέγειν γάρ μοι δοκεῖς ὡς οὐ τοῦτο εὐκταῖον **) οὐδὲ ἐπεικτέον, ἕπεσθαι πάντα τῇ ἑαυτοῦ βουλήσει, τὴν βούλησιν δὲ μηδὲν μᾶλλον τῇ ἑαυτοῦ φρονήσει· τοῦτο δὲ καὶ πόλιν καὶ ἕνα ἡμῶν ἕκαστον καὶ εὔχεσθαι δεῖν καὶ σπεύδειν, ὅπως νοῦν ἕξει.

---

*) γρ. εὐχόμεθα.
**) ἄλλ. εὐκτέον.

Me. Consentaneum certe.

Ath. Age dum, omniumne hominum communis est appetitio una quaedam quam oratio nunc declaravit, ut ipsa ait oratio?

Me. Quaenam?

Ath. Haec ut ex animi sententia fiant, maxime quidem omnia, sin minus, humana?

Me. Quidni?

Ath. Nonne igitur, quum velimus omnes hoc semper et pueri et viri et senes, id ipsum non possumus non precari perpetuo?

Me. Maxime.

Ath. Et amicis quidem, ni fallor, eadem precamur quae sibi ipsi.

Me. Quidni?

Ath. Amicus vero filius patri, puer viro.

Me. Etiam.

Ath. Attamen eorum quae puer precatur ut sibi contingant multa pater deprecabitur a diis ne ullo modo ex votis filii fiant.

Me. Quando insipiens ille et iuvenis adhuc precetur, dicis?

Ath. Etiam quum pater sive senex sive admodum iuvenis, nihil pulchrorum et iustorum cognoscens, precatus fuerit admodum prompte similiter affectus atque Theseus in Hippolytum infelici morti obiectum, et filius cognoverit, tumne putas filium patri esse assensurum?

Me. Intelligo quid dicas; dicere enim mihi videris non hoc optandum esse neque urgendum, ut omnia voluntatem nostram sequantur, nequaquam vero voluntas prudentiam nostram; immo hoc et civitatem et nostrum unumquemque et precari oportere et appetere, ut sapientiam nanciscatur.

ΑΘ. * Ναί· καὶ δὴ καὶ πολιτικόν γε ἄνδρα νομοθέ- 688
την *) ὡς ἀεὶ δεῖ πρὸς τοῦτα βλέποντα τιθέναι τὰς τάξεις
τῶν νόμων, αὐτός τε ἐμνήσθην καὶ ὑμᾶς ἐπαναμιμνήσκω,
κατ' ἀρχάς, εἰ μεμνήμεθα, τὰ λεχθέντα, ὅτι τὸ μὲν σφῷν
ἦν παρακέλευμα ὡς χρεὼν εἴη τὸν ἀγαθὸν νομοθέτην πάν-
τα πολέμου χάριν τὰ νόμιμα τιθέναι, τὸ δὲ ἐμὸν ἔλεγον ὅτι
τοῦτο μὲν πρὸς μίαν ἀρετήν, οὐσῶν τεττάρων, κελεύοι τί-
θεσθαι τοὺς νόμους, δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν βλέπειν,
* μάλιστα δὲ καὶ πρὸς πρώτην τὴν τῆς ξυμπάσης ἡγεμόνα B
ἀρετῆς· φρόνησις δ' εἴη τοῦτο καὶ νοῦς καὶ δόξα μετ' ἔρω-
τός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης. ἥκει δὴ πάλιν ὁ
λόγος εἰς ταὐτόν, καὶ ὁ λέγων ἐγὼ νῦν λέγω πάλιν ἅπερ
τότε, εἰ μὲν βούλεσθε, ὡς παίζων, εἰ δ' **), ὡς σπουδάζων.
ὅτι δή φημι εὐχῇ χρῆσθαι σφαλερὸν εἶναι νοῦν μὴ κεκτη-
μένον, ἀλλὰ τἀναντία ταῖς βουλήσεσίν οἱ γίγνεσθαι, σπου-
δάζοντα δ' εἴ με τιθέναι * βούλεσθε, τίθετε· πάνυ γὰρ C
οὖν προσδοκῶ νῦν ὑμᾶς εὑρήσειν τῷ λόγῳ ἑπομένους, ὃν
ὀλίγον ἔμπροσθεν προὐθέμεθα, τῆς τῶν βασιλειῶν ***) τε
φθορᾶς καὶ ὅλου τοῦ διανοήματος οὐ δειλίαν οὖσαν τὴν
αἰτίαν, οὐδ' ὅτι τὰ περὶ τὸν πόλεμον οὐκ ἠπίσταντο ἄρ-
χοντές τε καὶ οὓς προσῆκεν ἄρχεσθαι, τῇ λοιπῇ δὲ πάσῃ
κακίᾳ διεφθαρμένα, καὶ μάλιστα τῇ περὶ τὰ μέγιστα τῶν
ἀνθρωπίνων πραγμάτων ἀμαθίᾳ. ταῦτ' οὖν ὡς * οὕτω D
γέγονε περὶ τὰ τότε καὶ νῦν, εἴ που γίγνεται, καὶ ἐς τὸν
ἔπειτα χρόνον οὐκ ἄλλως ξυμβήσεται, ἐὰν βούλησθε, πει-
ράσομαι ἰὼν κατὰ τὸν ἑξῆς λόγον ἀνευρίσκειν τε καὶ ὑμῖν
δηλοῦν κατὰ δύναμιν ὡς οὖσι φίλοις.

ΚΛ. Λόγῳ μὲν τοίνυν σε, ὦ ξένε, ἐπαινεῖν ἐπαχθέ-
στερον, ἔργῳ δὲ σφόδρα ἐπαινεσόμεθα· προθύμως γὰρ τοῖς
λεγομένοις ἐπακολουθήσομεν, ἐν οἷς ὅ γε ἐλευθέρως ἐπαι-
νῶν †) καὶ μὴ μάλιστά ἐστι καταφανής.

ΜΕ. * Ἄριστ', ὦ Κλεινία, καὶ ποιῶμεν ἃ λέγεις. E

ΚΛ. Ἔσται ταῦτα, ἐὰν θεὸς ἐθέλῃ· λέγε μόνον.

---

*) ἴσ. καὶ νομοθέτην. **) γρ. εἶθ'.
***) γρ. βασιλέων. †) γρ. ἐλεύθερος ἐπαίνων.

Ath. Vero; atque etiam civilem virum et legis latorem semper hoc spectantem debere leges constituere, et ipse memini et vobis in memoriam revoco quae ab initio, si recordamur, dicta sunt, vestram quidem postulationem hanc fuisse, bono legis latori omnes esse leges belli causa ferendas. me vero contra monuisse illam iubere unius virtutis causa, quum quattuor sint, leges ferri, oportere autem has ad omnem spectare virtutem, maxime vero ad primam universae ducem virtutis; atque prudentiam hanc esse et rationem et iudicium cum amore et cupiditate illa sequente. eodem igitur oratio redit et dicens ego nunc dico rursus quae tum, si vultis, tamquam per ludum et iocum, sin autem, tamquam serio. quod igitur dico precibus uti periculosum esse si mente sis captus, sed melius esse si contraria voluntatis eveniant, serio me hoc ponere si vultis, ponite; plane enim spero fore ut nunc orationem sequentes quam paullo supra protulimus inveniatis regnorum totiusque instituti interitus non ignaviam fuisse causam neque hoc quod duces et quos oportuerit duci rerum militarium imperiti fuerint, sed universa reliqua vitiositate corrupta illa esse, maxime vero rerum humanarum gravissimarum inscitia. hoc igitur ita factum esse tunc et nunc fieri, sicubi fiat, et in posterum tempus non aliter eventurum esse, si vultis, conabor orationem deinceps persequens eruere vobisque patefacere quantum potuero quippe amicis.

Cl. Verbis quidem te, hospes laudare molestius fuerit, re autem valde laudabimus; prompto enim animo verba tua sequemur, qua quidem ratione, qui liberaliter laudat qui non, maxime est manifestus.

Me. Optime, o Clinia, et faciamus quod dicis.

Cl. Erunt ista, si deus voluerit; dic modo.

ΑΘ. Φαμὲν δή νυν *), καθ' ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου, τὴν μεγίστην ἀμαθίαν τότε ἐκείνην τὴν δύναμιν ἀπολέσαι, καὶ νῦν ταὐτὸν τοῦτο πεφυκέναι ποιεῖν, ὥςτε τόν γε νομοθέτην, εἰ τοῦθ' οὕτως ἔχει, πειρατέον ταῖς πόλεσι φρόνησιν μὲν ὅσην δυνατὸν ἐμποιεῖν, τὴν δ' ἄνοιαν **) ὅτι μάλιστα ἐξαιρεῖν.

ΚΛ. Δῆλον.

ΑΘ. * Τίς οὖν ἡ μεγίστη δικαίως ἂν λέγοιτο ἀμαθία; 689
σκοπεῖτε εἰ ξυνδόξει καὶ σφῷν λεγόμενον· ἐγὼ μὲν δὴ τὴν τοιάνδε τίθεμαι.

ΚΛ. Ποίαν;

ΑΘ. Τὴν ὅταν τῷ τι δόξαν καλὸν ἢ ἀγαθὸν εἶναι μὴ φιλῇ τοῦτο, ἀλλὰ μισῇ, τὸ δὲ πονηρὸν καὶ ἄδικον δοκοῦν εἶναι φιλῇ τε καὶ ἀσπάζηται· ταύτην τὴν διαφωνίαν λύπης τε καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην, μεγίστην δὲ, ὅτι τοῦ πλήθους ἐστὶ τῆς ψυχῆς· τὸ γὰρ λυπούμενον * καὶ ἡδόμενον αὐτῆς, ὅπερ B
δῆμός τε καὶ πλῆθος πόλεώς ἐστιν, ὅταν οὖν ἐπιστήμαις ἢ δόξαις ἢ λόγῳ ἐναντιῶται, τοῖς φύσει ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν ***) προςαγορεύω, πόλεώς τε, ὅταν ἄρχουσι καὶ νόμοις μὴ πείθηται τὸ πλῆθος, ταὐτὸν δὴ καὶ †) ἑνὸς ἀνδρός, ὁπόταν καλοὶ ἐν ψυχῇ λόγοι ἐνόντες μηδὲν ποιῶσι πλέον, ἀλλὰ δὴ τούτοις πᾶν τοὐναντίον. ταύτας πάσας ἀμαθίας τὰς πλημμελεστάτας * ἔγωγ' ἂν θείην πόλεώς τε καὶ C
ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλ' οὐ τὰς τῶν δημιουργῶν, εἰ ἄρα μου ††) καταμανθάνετε, ὦ ξένοι, ὃ λέγω.

ΚΛ. Μανθάνομέν τε, ὦ φίλε, καὶ ξυγχωροῦμεν ἃ λέγεις.

ΑΘ. Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς ταῦτ' ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς * ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα, D

---

*) γρ. δὴ νῦν. **) ἴσ. ἄγνοιαν. ***) ἴσ. ἄγνοιαν.
†) ἄλλ. ταὐτόν, καὶ δὴ καί. ††) γρ. ἄρ' ἐμοῦ.

Ath. Contendimus igitur, reliquam orationem ratione et via persequentes, summam inscitiam vim illam pristinam dissolvisse, et nunc idem hoc solere facere: ut legis lator, si res se sic habeat, conari debeat civitatibus quam maximam possit prudentiam iniicere, inscitiam vero quam maxime eximere.

Cl. Patet vero.

Ath. Quaenam igitur maxima iure dici poterit inscitia? videte an vobis quoque videatur quod dico; equidem hanc pono.

Cl. Qualem istam?

Ath. Si quis quod pulchrum vel bonum sibi videatur id non diligat, sed odio habeat, pravum vero et iniustum quod videatur diligat et amplexetur: hanc dissensionem inter dolorem et voluptatem cum iudicio rationi consentaneo inscitiam aio esse extremam, maximam vero, quia in animi multitudine consistit; pars enim eius quae dolore et voluptate afficitur idem est quod populus et multitudo civitatis. quando igitur scientiis vel iudiciis vel rationi, natura principatum tenentibus, adversatur animus, haec appello inscitiam, tam civitatis, si moderatoribus et legibus multitudo non paret, quam unius viri, quum pulchrae in animo insunt orationes, nihil vero proficiunt, sed plane contrarium. has omnes inscitias pessimas equidem posuerim civitatis et uniuscuiusque civium, non opificum imperitias, si intelligitis, hospites, quod dico.

Cl. Intelligimus, amice, et concedimus quae dicis.

Ath. Hoc igitur ita constitutum et dictum esto, civibus rerum illarum ignaris nihil committendum esse quod cum magistratus munere coniunctum sit, immo eos ut inscitos reprehendendos esse, etiamsi artis ratiocinandi plane periti et in omnibus exercitati sint quae

τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπιστῶνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσι. πῶς γὰρ ἄν, ὦ φίλοι, ἄνευ ξυμφωνίας γένοιτ᾽ ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος; οὐκ ἔστιν, ἀλλ᾽ ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν μεγίστη δικαιότατ᾽ ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγον ζῶν μέτοχος, ὁ δ᾽ ἀπολειπόμενος οἰκοφθόρος καὶ περὶ πόλιν οὐδαμῇ σωτήρ, ἀλλὰ πᾶν τοὐναντίον
ἀμαθαίνων * εἰς ταῦτα ἑκάστοτε φανεῖται. ταῦτα μὲν οὖν, E
καθάπερ εἴπομεν ἄρτι, λελεγμένα τεθήτω ταύτῃ.

ΚΛ. Κείσθω γὰρ οὖν.

ΑΘ. Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ἐν ταῖς πόλεσιν εἶναί που.

ΚΛ. Τί μήν;

ΑΘ. * Εἶεν, ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν καὶ ἄρ- 690
χεσθαι ποῖά ἐστι καὶ πόσα, ἔν τε πόλεσι μεγάλαις καὶ σμικραῖς ἔν τε οἰκίαις ὡσαύτως; ἆρ᾽ οὐχὶ ἓν μὲν τό τε πατρὸς καὶ μητρός, καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη;

ΚΛ. Καὶ μάλα.

ΑΘ. Τούτῳ δέ γε ἑπόμενον γενναίους ἀγεννῶν ἄρχειν· καὶ τρίτον ἔτι τούτοις ξυνέπεται τὸ πρεσβυτέρους μὲν ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι.

ΚΛ. Τί μήν;

ΑΘ. * Τέταρτον δ᾽ αὖ δούλους μὲν ἄρχεσθαι, δεσπό- B
τας δὲ ἄρχειν.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Πέμπτον γε, οἶμαι, τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἥττω δὲ ἄρχεσθαι.

ΚΛ. Μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας.

ΑΘ. Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζώοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον, ὡς ἔοικεν, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε

recondita habeantur et ad celeritatem ingenii acuendam pertineant, eos vero qui contra se habeant et sapientes appellandos, etiamsi, ut in proverbio est, neque litteras neque natare didicerint, et magistratus his quippe prudentibus tradendos esse. quomodo enim, amici, sine consensione vel tenuissima prudentiae species exsistat? fieri non potest; immo pulcherrima et summa consensionum summa rectissime dicetur sapientia, cuius quidem compos est qui rationi convenienter vivit, expers vero domum pessumdat nulloque modo civitatis servator, sed plane contra in his insipiens semper reperietur. et haec quidem quemadmodum diximus modo, posita sunto ita.

Cl. Posita vero sunto.

Ath. Imperantes autem et obedientes necesse est sine dubio in civitatibus esse.

Cl. Quidni?

Ath. Iam vero rationes imperandi et parendi quales sunt et quot, in civitatibus magnis parvisque et in domibus pariter? nonne una est illa patris et matris, et in universum recta ubique erit ratio haec qua parentes natis imperant?

Cl. Sane quidem.

Ath. Hanc vero sequitur ea qua generosi ignobilibus imperant; et tertia adhuc has excipit qua seniores imperare oportet, iuniores vero parere.

Cl. Quidni?

Ath. Quarta est haec qua servi parent domini vero imperant.

Cl. Maxime.

Ath. Quinta, opinor, qua superior imperat, inferior obedit.

Cl. Plane necessarium dicis imperium.

Ath. Ac plurimum quidem in omnibus animantibus naturaeque conveniens, ut Thebanus dixit quondam Pindarus. maxima tamen, ut videtur, haec erit ratio quae sequi ignorantem iubet, intelligentem vero ducere

καὶ * ἄρχειν. καίτοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχήν, ἀλλ' οὐ βίαιον πεφυκυῖαν. C

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινὰ λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν καὶ λαχόντα μὲν ἄρχειν, δυσκληροῦντα δὲ ἄρχεσθαι ἀπιόντα τὸ δικαιότατον εἶναί φαμεν.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ὁρᾷς δή, φαῖμεν * ἄν, ὦ νομοθέτα, πρός τινα D παίζοντες τῶν ἐπὶ νόμων θέσιν ἰόντων ῥαδίως, ὅσα ἐστὶ πρὸς ἄρχοντας ἀξιώματα καὶ ὅτι *) πεφυκότα πρὸς ἄλληλα ἐναντίως; νῦν γὰρ δὴ στάσεων πηγήν τινα ἀνευρήκαμεν ἡμεῖς, ἣν δεῖ σε θεραπεύειν. πρῶτον δὲ μεθ' ἡμῶν ἀνάσκεψαι πῶς τε καὶ τί παρὰ ταῦτα ἁμαρτόντες οἱ περί τε Ἄργος καὶ Μεσσήνην βασιλῆς αὑτοὺς ἅμα καὶ τὴν τῶν Ἑλλήνων δύναμιν οὖσαν θαυμαστὴν ἐν τῷ τότε χρόνῳ διέφθειραν. * ἆρ' οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα E λέγοντα ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐστὶ πλέον, ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δ' ἥμισυ μέτριον, τότε τὸ μέτριον τοῦ ἀμέτρου πλέον ἡγησάμενον **), ἄμεινον ὂν χείρονος;

ΚΛ. Ὀρθότατά γε.

ΑΘ. Πότερον οὖν οἰόμεθα περὶ βασιλέας τοῦτ' ἐγγιγνόμενον ἑκάστοτε διαφθείρειν πρότερον ἢ ἐν τοῖσι δήμοις;

ΚΛ. Τὸ μὲν εἰκὸς * καὶ τὸ πολὺ βασιλέων τοῦτο εἶναι 691 νόσημα ὑπερηφάνως ζώντων διὰ τρυφάς.

ΑΘ. Οὐκοῦν δῆλον ὡς πρῶτον τοῦτο οἱ τότε βασιλῆς ἔσχον τὸ πλεονεκτεῖν τῶν τεθέντων νόμων, καὶ ὃ λόγῳ τε καὶ ὅρκῳ ἐπῄνεσαν, οὐ ξυνεφώνησαν αὑτοῖς, ἀλλ' ἡ διαφωνία, ὡς ἡμεῖς φαμέν, οὖσα ἀμαθία μεγίστη, δοκοῦσα δὲ

---

*) γρ. ὅσα.

**) ἄλλ. ἡγήσατο.

et imperare. quamquam hoc quidem, o Pindare ſapientiſſime, equidem fere non dixerim praeter naturam eſſe, ſed naturae convenire hoc legis in voluntarios imperium, non violentum eſſe.

Cl. Rectiſſime dicis.

Ath. Diis porro gratum et fortunatum aliquod dicentes ſeptimum imperium in ſortem quandam adducimus, et ſorte ductum imperare, ſortis vero expertem diſcedere et parere iuſtiſſimum eſſe dicimus.

Cl. Veriſſime dicis.

Ath. Viden' igitur, legis lator (ita dixerimus per ludum alicui eorum qui ad legis lationem facile aggrediuntur) quot ſint rationes imperandi parendique et natura inter ſe contrarias eſſe? nunc enim ſeditionum fontem aliquem invenimus, de quo oportet te curam adhibere. ac primum quidem nobiſcum conſidera quomodo et quid in his peccantes Argorum et Meſſenes reges ſemet ipſos ſimulque Graecorum vim id temporis admirandam everterint. nonne ignorantes Heſiodum rectiſſime dicere dimidium ſaepius plus eſſe quam totum, quum videlicet totum ſumere perniciosum ſit, dimidium vero modeſtum, tum moderatum immoderato plus eſſe, quippe melius deteriore.

Cl. Ac rectiſſime quidem.

Ath. Cenſemusne vero hoc ſi fiat regibus ſemper eſſe prius pernicioſum quam populo?

Cl. Conſentaneum quidem hunc maximam partem regum eſſe morbum propter luxuriam ſuperbe viventium.

Ath. Nonne perſpicuum eſt primum reges illos cupiditate laboraſſe leges auctoritate ſuperandi, nec quod verbis et iureiurando comprobaſſent, in eo inter ſe concinuiſſe, ſed disſenſionem, quam nos dicimus maximam

σοφία, πάντ᾽ ἐκεῖνα διὰ πλημμέλειαν καὶ ἀμουσίαν τὴν πικρὰν διέφθειρεν;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Εἶεν, τί δὴ τὸν νομοθέτην * ἔδει τότε τιθέντα B εὐλαβηθῆναι τούτου περὶ τοῦ πάθους τῆς γενέσεως; ἄρ᾽, ὦ πρὸς θεῶν, νῦν μὲν οὐδὲν σοφὸν τοῦτο γνῶναι οὐδ᾽ εἰπεῖν χαλεπόν, εἰ δὲ προϊδεῖν ἦν τότε, σοφώτερος ἂν ἦν ἡμῶν ὁ προϊδών;

ΜΕ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Εἰς τὸ γεγονὸς παρ᾽ ὑμῖν, ὦ Μέγιλλε, ἔστι νῦν γε κατιδόντα γνῶναι, καὶ γνόντα εἰπεῖν ῥᾴδιον, ὃ τότε ἔδει γίγνεσθαι.

ΜΕ. Σαφέστερον ἔτι λέγε.

ΑΘ. Τὸ τοίνυν σαφέστατον ἂν εἴη τὸ τοιόνδε.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. * Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι δύναμιν C παρεὶς τὸ μέτριον, πλοίοις τε ἱστία καὶ σώμασι τροφὴν καὶ ψυχαῖς ἀρχάς, ἀνατρέπεταί που πάντα καὶ ἐξυβρίζοντα τὰ μὲν εἰς νόσους θεῖ, τὰ δ᾽ εἰς ἔκγονον ὕβρεως ἀδικίαν. τί οὖν δή ποτε λέγομεν; ἆρά γε τὸ τοιόνδε, ὡς οὐκ ἔστ᾽, ὦ φίλοι ἄνδρες, θνητῆς ψυχῆς φύσις ἥτις ποτὲ δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν νέα καὶ ἀνυπεύθυνος, ὥςτε μὴ τῆς μεγίστης νόσου ἀνοίας *) * πληρωθεῖσα αὐτῆς D τὴν διάνοιαν μῖσος ἔχειν πρὸς τῶν ἐγγύτατα φίλων, ὃ γενόμενον ταχὺ διέφθειρεν αὐτὴν καὶ πᾶσαν τὴν δύναμιν ἠφάνισεν αὐτῆς. τοῦτ᾽ οὖν εὐλαβηθῆναι γνόντας τὸ μέτριον μεγάλων νομοθετῶν. ὡς οὖν δὴ τὸ τότε **) γενόμενον νῦν ἔστι μετριώτατα τοπάσαι, τόδ᾽ ἔοικεν εἶναι.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Θεός, οἶμαι, κηδόμενος ὑμῶν τις, ὃς τὰ μέλλοντα προορῶν, δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν ἐκ μονογενοῦς, * εἰς τὸ μέτριον μᾶλλον ξυνέστειλε, E

---

*) ἴσ. ἀγνοίας.

**) γρ. δὴ τότε.

infcitiam, licet fapientia videatur effe, omnia illa propter nequitiam et imperitiam amaram corrupiffe?

Cl. Videtur certe.

Ath. Iam quid legis latorem oportebat tum fancire quo caveret ne morbus ille oriretur? num, per deos, nunc quidem nequaquam fapientiae eft hoc cognofcere neque dictu difficile, tunc vero fi provideri potuiffet, fapientior fuiffet nobis is qui providiffet?

Me. Quidnam dicis?

Ath. In hoc quod apud vos, Megille, factum eft licet nunc intuenti cognofcere et quum cognoverit facile dicere quod tunc oportuit fieri.

Me. Clarius etiam expone.

Ath. Clariffimum igitur hoc erit.

Me. Quidnam?

Ath. Si quis maiorem dat minoribus poteftatem negligens id quod moderatum eft, navibus vela, corporibus alimentum et animis imperia, evertuntur fane omnia et ad infolentiam elata partim in morbos incurrunt partim in progeniem infolentiae iniuftitiam. quid tandem dicimus? hoc fane, nullam effe, o viri dilecti, animi humani naturam, quae maximum umquam poffit in hominibus imperium ferre iuvenis et ab arbitris libera, quin maximo morbo, infcitia, animum fuum replens proximorum amicorum odia in fe convertat, quod quidem fi contingat, brevi tempore eam corrumpere omnemque eius poteftatem disfolvere. hoc igitur cavere eius quod moderati eft cognitione magnorum eft legis latorum. itaque prout de eo quod tunc factum eft nunc fatis certo coniicere licet, haec eius ratio videtur fuiffe.

Me. Quaenam?

Ath. Deus quidem, ut arbitror, vos curans, qui futura providens geminamque vobis ferens regum ftirpem ex unigena in moderationem magis contraxit, et

καὶ μετὰ τοῦτο ἔτι φύσις τις ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει, κατιδοῦσα ὑμῶν τὴν ἀρχὴν φλεγμαίνουσαν ἔτι, μίγνυσι τὴν κατὰ γῆρας σώφρονα δύναμιν τῇ κατὰ γένος * αὐθάδει ῥώμῃ, τὴν τῶν ὀκτὼ καὶ εἴκοσι γερόντων ἰσό- 692
ψηφον εἰς τὰ μέγιστα τῇ τῶν βασιλέων ποιήσασα δυνάμει. ὁ δὲ τρίτος σωτὴρ ὑμῖν ἔτι σπαργῶσαν καὶ θυμουμένην τὴν ἀρχὴν ὁρῶν οἷον ψάλιον ἐνέβαλεν αὐτῇ τὴν τῶν ἐφόρων δύναμιν, ἐγγὺς τῆς κληρωτῆς ἀγαγὼν δυνάμεως. καὶ κατὰ δὴ τοῦτον τὸν λόγον ἡ βασιλεία παρ' ὑμῖν, ἐξ ὧν ἔδει, ξύμμικτος γενομένη καὶ μέτρον ἔχουσα, σωθεῖσα αὐτὴ σωτηρίας τοῖς ἄλλοις γέγονεν αἰτία· * ἐπεὶ ἐπί γε Τημένῳ καὶ B
Κρεσφόντῃ καὶ τοῖς τότε νομοθέταις, οἵτινες ἄρα ἦσαν νομοθετοῦντες, οὐδ' ἡ Ἀριστοδήμου μερὶς ἐσώθη ποτ' ἄν· οὐ γὰρ ἱκανῶς ἦσαν νομοθεσίας ἔμπειροι· σχεδὸν γὰρ οὐκ ἄν ποτ' ᾠήθησαν ὅρκοις μετριάσαι ψυχὴν νέαν λαβοῦσαν ἀρχήν, ἐξ ἧς δυνατὸν ἦν τυραννίδα γενέσθαι. νῦν δ' ὁ θεὸς ἔδειξεν οἵαν ἔδει καὶ δεῖ δὴ τὴν μενοῦσαν *) μάλιστα ἀρχὴν γίγνεσθαι. τὸ δὲ παρ' ἡμῶν γιγνώσκεσθαι ταῦτα, ὅπερ εἶπον * ἔμπροσθεν, νῦν μὲν γενόμενον οὐδὲν σοφόν· C
ἐκ γὰρ παραδείγματος ὁρᾶν γεγονότος οὐδὲν χαλεπόν. εἰ δ' ἦν τις προορῶν τότε ταῦτα καὶ δυνάμενος μετριάσαι τὰς ἀρχὰς καὶ μίαν ἐκ τριῶν ποιῆσαι, τά τε νοηθέντα ἂν καλὰ τότε πάντα ἀπέσωσε, καὶ οὐκ ἄν ποτε ὁ Περσικὸς ἐπὶ τὴν Ἑλλάδα οὐδ' ἄλλος οὐδεὶς ἂν στόλος ὥρμησε, καταφρονήσας ὡς ὄντων ἡμῶν βραχέος ἀξίων.

ΚΛ. Ἀληθῆ λέγεις.

ΑΘ. Αἰσχρῶς γοῦν ἠμύναντο * αὐτούς, ὦ Κλεινία· D
τὸ δ' αἰσχρὸν λέγω οὐχ ὡς οὐ νικῶντές γε οἱ τότε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καλὰς νενικήκασι μάχας, ἀλλ' ὅ φημι αἰσχρὸν τότ' εἶναι, τόδε λέγω τὸ πρῶτον μὲν ἐκείνων τῶν πόλεων τριῶν οὐσῶν μίαν ὑπὲρ τῆς Ἑλλάδος ἀμῦναι, τὼ δὲ δύο κακῶς οὕτως εἶναι διεφθαρμένω **), ὥστε ἡ μὲν καὶ Λακεδαίμονα διεκώλυεν ἐπαμύνειν αὐτῇ, πολεμοῦσα

---

*) γρ. μὲν οὖσαν.
**) ἄλλ. διεφθαρμένα.

et deinde etiam natura quaedam humana cum divina quadam vi permixta, imperium vestrum quum vidisset adhuc inflammatum, temperavit prudentem senectutis vim cum superbo generis robore, duodetriginta senum potestatem maximis in rebus regum potentiae aequans: tertius dein servator imperium vestrum adhuc exsultans ac fervidum videns quasi frenum iniecit ephororum vim, prope ad potestatem sorte lectam eam ducens. et hac quidem ratione regnum apud vos e quibus oportebat temperatum modumque nactum et ipsum servatum est et reliquis salutis fuit causa; alioquin per Temenum et Cresphontem eosque qui tunc erant legis latores, ne Aristodemi quidem pars umquam servari potuisset; neque enim satis legum ferendarum periti erant; nam aliter fere numquam sperassent fore ut iureiurando compescerent animum iuvenilem imperium suscipientem, ex quo facile tyrannis poterat nasci. nunc autem deus ostendit quale debuerit atque etiam debeat imperium esse maxime duraturum. quod quidem nunc a nobis cognosci, ut supra dixi, postquam factum est, nihil habet sapientiae: nam ex facto perspicere exemplo non est difficile. si vero quis tunc haec providisset et imperio temperare unumque e tribus facere potuisset, omnia tunc praeclare inventa servasset nec umquam Persicus neque alius quis exercitus Graeciam adortus esset despiciens nos tamquam parvi pretii homines.

Cl. Vera dicis.

Ath. Turpiter vero illos propulsarunt, o Clinia; turpe autem dico non hoc intelligens, homines id temporis non praeclaras terra marique pugnando victorias reportasse, sed quod dico turpe tunc fuisse, hoc intelligo primum, quod, quum tres essent civitates, una tantum Graeciam defenderit, duae vero ita depravatae fuerint, ut una etiam Lacedaemonem impediret quominus auxi-

αὐτῇ κατὰ κράτος, ἡ δ' αὖ πρωτεύουσα ἐν τοῖς τότε χρό-
νοις τοῖς περὶ * τὴν διανομήν, ἡ περὶ τὸ Ἄργος, παρακα- E
λουμένη ἀμύνειν τὸν βάρβαρον οὔθ' ὑπήκουσεν οὔτ' ἤμυ-
νε. πολλὰ δὲ λέγων ἄν τις τὰ τότε γενόμενα περὶ ἐκεῖνον
τὸν πόλεμον τῆς Ἑλλάδος οὐδαμῶς εὐσχήμονα ἂν κατηγο-
ροῖ· οὐδ' αὖ ἀμύνασθαι τήν γε Ἑλλάδα λέγων ὀρθῶς ἂν
λέγοι, ἀλλ' εἰ μὴ τό τε Ἀθηναίων καὶ τὸ Λακεδαιμονίων
κοινῇ διανόημα * ἤμυνε τὴν ἐπιοῦσαν δουλείαν, σχεδὸν ἂν 693
ἤδη πάντ' ἦν μεμιγμένα τὰ τῶν Ἑλλήνων γένη ἐν ἀλλήλοις
καὶ βαρβαρικὰ *) ἐν Ἕλλησι καὶ Ἑλληνικὰ ἐν βαρβάροις,
καθάπερ, ὧν Πέρσαι τυραννοῦσι τὰ νῦν, διαπεφορημένα καὶ
ξυμπεφορημένα κακῶς ἐσπαρμένα κατοικεῖται. ταῦτ', ὦ
Κλεινία καὶ Μέγιλλε, ἔχομεν ἐπιτιμᾶν τοῖς τε πάλαι πολι-
τικοῖς λεγομένοις καὶ νομοθέταις καὶ τοῖς νῦν, ἵνα τὰς
αἰτίας αὐτῶν ἀναζητοῦντες ἀνευρίσκωμεν * τί παρὰ ταῦτα B
ἔδει πράττειν ἄλλο· οἷον δὴ καὶ τὸ παρὸν εἴπομεν, ὡς
ἄρα οὐ δεῖ μεγάλας ἀρχὰς οὐδ' αὖ ἀμίκτους νομοθετεῖν,
διανοηθέντας τὸ τοιόνδε, ὅτι τὴν πόλιν ἐλευθέραν τε εἶναι
δεῖ καὶ ἔμφρονα καὶ ἑαυτῇ φίλην, καὶ τὸν νομοθετοῦντα
πρὸς ταῦτα βλέποντα δεῖ νομοθετεῖν. μὴ θαυμάσωμεν δὲ
εἰ πολλάκις ἤδη προθέμενοι ἄττα εἰρήκαμεν ὅτι πρὸς ταῦτα
δεῖ νομοθετεῖν βλέποντα τὸν νομοθέτην, τὰ δὲ προτεθέντα
* οὐ ταὐτὰ ἡμῖν φαίνεται ἑκάστοτε· ἀλλ' ἀναλογίζεσθαι C
χρή, ὅταν πρὸς τὸ σωφρονεῖν φῶμεν δεῖν βλέπειν ἢ πρὸς
φρόνησιν ἢ φιλίαν, ὡς ἔσθ' οὗτος ὁ σκοπὸς οὐχ ἕτερος,
ἀλλ' ὁ αὐτός· καὶ ἄλλα δὴ πολλὰ ἡμᾶς **) τοιαῦτα ἂν γί-
γνηται ῥήματα, μὴ διαταραττέτω.

ΚΛ. Πειρασόμεθα ποιεῖν οὕτως ἐπανιόντες τοὺς λό-
γους· καὶ νῦν δὴ τὸ περὶ τῆς φιλίας τε καὶ φρονήσεως καὶ
ἐλευθερίας, πρὸς ὅ τι βουλόμενος ἔμελλες λέγειν δεῖν στο-
χάζεσθαι * τὸν νομοθέτην, λέγε. D

ΑΘ. Ἄκουσον δή νυν ***). εἰσὶ πολιτειῶν οἷον μητέ-
ρες δύο τινές, ἐξ ὧν τὰς ἄλλας γεγονέναι λέγων ἄν τις ὀρ-

---

*) ἄλλ. βάρβαρα.
**) γρ. ὑμᾶς.
***) γρ. δὴ νῦν.

lium ferret, acerrimum cum ea bellum gerens; altera vero, Argos, quae primas tenebat illis distributionis temporibus, ad propulſandum barbarum provocata neque audiret neque propulſaret. multa vero quis de iis exponens quae tum in bello illo facta ſunt obiicere poſſit Graeciae minime decora; neque etiam qui Graeciam dicat ſeſe defendiſſe recte dicat, immo, niſi Athenienſium et Lacedaemoniorum commune conſilium propulſaſſet ſervitutem imminentem, omnia fere iam permixta eſſent Graecorum genera inter ſe et barbarica cum Graecis et Graeca cum barbaricis, quemadmodum ea, in quae Perſae nunc dominantur, distractione et confuſione male diſperſa ſunt. haec, o Clinia et Megille, habemus reprehendere tam in priſcis qui dicuntur civilibus viris legisque latoribus quam in eis qui nunc ſunt, ut cauſas eorum exquirentes inveniamus quid aliud praeter haec debuiſſet fieri; velut quod nunc diximus, non oportere magna neque mera conſtitui legibus imperia, hoc reputantes, civitatem liberam eſſe debere et prudentem ſibique amicam, et legis latorem hoc ſpectantem oportere leges ferre. ne autem miremur, ſi ſaepius iam proponentes aliqua dixerimus haec reſpicienda eſſe legis latori in legibus dandis, propoſita vero non eadem ſemper nobis videantur; ſed reputare debemus, ſi temperantiam dicamus ei ſpectandam eſſe vel prudentiam vel amicitiam, hunc finem non diverſum eſſe, ſed eundem; et alia multa ſi uſurpentur vocabula, ne perturbemini.

Cl. Conabimur ita facere ſermones repetentes; ac nunc quidem de amicitia et prudentia et libertate, quid dicere volueris ſpectandum eſſe legis latori, explica.

Ath. Audi igitur. ſunt rerum publicarum quaſi matres duae quaedam, ex quibus reliquas exſiſtere di-

θῶς λέγοι· καὶ τὴν μὲν προσαγορεύειν μοναρχίαν ὀρθόν, τὴν δ' αὖ δημοκρατίαν· καὶ τῆς μὲν τὸ Περσῶν γένος ἄκρον ἔχειν, τῆς δὲ ἡμᾶς. αἱ δ' ἄλλαι σχεδὸν ἅπασαι, καθάπερ εἶπον, ἐκ τούτων εἰσὶ διαπεποικιλμέναι. δεῖ δὴ οὖν καὶ ἀναγκαῖον μεταλαβεῖν ἀμφοῖν τούτοιν, εἴπερ ἐλευθερία τ' ἔσται καὶ φιλία μετὰ φρονήσεως· * ὃ δὴ βούλεται ἡμῖν E ὁ λόγος προστάττειν, λέγων ὡς οὐκ ἄν ποτε τούτων πόλις ἄμοιρος γενομένη πολιτευθῆναι δύναιτ' ἂν καλῶς.

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Ἡ μὲν τοίνυν τὸ μοναρχικόν, ἡ δὲ τὸ ἐλεύθερον ἀγαπήσασα μειζόνως, ἢ ἔδει, μόνον, οὐδετέρα τὰ μέτρια κέκτηται τούτων· αἱ δὲ ὑμέτεραι, ἥ τε Λακωνικὴ καὶ Κρητική, μᾶλλον· Ἀθηναῖοι δὲ καὶ Πέρσαι τὸ μὲν πάλαι * οὕ- 694 τω πως, τὸ νῦν δὲ ἧττον, τὰ δ' αἴτια διέλθωμεν· ἢ γάρ;

ΚΛ. Πάντως, εἴ γέ που μέλλομεν ὃ προὐθέμεθα περαίνειν.

ΑΘ. Ἀκούωμεν δή. Πέρσαι γὰρ ὅτε μὲν τὸ μέτριον μᾶλλον δουλείας τε καὶ ἐλευθερίας ἦγον ἐπὶ Κύρου, πρῶτον μὲν αὐτοὶ ἐλεύθεροι ἐγένοντο, ἔπειτα δὲ ἄλλων πολλῶν δεσπόται· ἐλευθερίας γὰρ ἄρχοντες μεταδιδόντες ἀρχομένοις καὶ ἐπὶ τὸ ἴσον ἄγοντες μᾶλλον φίλοι τε ἦσαν στρατιῶται στρατηγοῖς καὶ προθύμους * αὐτοὺς ἐν τοῖς κινδύνοις πα- B ρείχοντο, καὶ εἴ τις αὖ φρόνιμος ἦν ἐν αὐτοῖς καὶ βουλεύειν δυνατός, οὐ φθονεροῦ τοῦ βασιλέως ὄντος, διδόντος δὲ παῤῥησίαν καὶ τιμῶντος τούς τι *) δυναμένους ξυμβουλεύειν, κοινὴν τὴν τοῦ φρονεῖν εἰς τὸ μέσον παρείχετο δύναμιν, καὶ πάντα δὴ τότε ἐπέδωκεν αὐτοῖς δι' ἐλευθερίαν τε καὶ φιλίαν καὶ νοῦ κοινωνίαν.

ΚΛ. Ἔοικέ γέ πως τὰ λεγόμενα οὕτω γεγονέναι.

ΑΘ. Πῇ δὴ οὖν ποτὲ ἀπώλετο ἐπὶ * Καμβύσου καὶ C πάλιν ἐπὶ Δαρείου σχεδὸν ἐσώθη; βούλεσθε οἷον μαντείᾳ διανοηθέντες χρώμεθα;

---

*) γρ. εἴτι. ἄλλ. ξῖς τι.

cens recte quispiam dixerit. et unam quidem appellari dominatum rectum est, alteram vero populi principatum; in illius fastigio stare Persarum genus, in huius nos. reliquae autem omnes fere, quemadmodum dixi, ex his sunt varie compositae. iam oportet et necesse est ambarum illarum participem esse civitatem, si libertatem et amicitiam cum prudentia habitura sit; quod quidem volt nobis oratio praecipere, dicens numquam civitatem horum expertem bene posse gubernari.

Cl. Quî enim possit?

Ath. Una igitur quum dominatum, altera vero libertatem solam magis, quam oportuit, amplexa sit, neutra harum moderationem adepta est; vestrae autem Laconica et Cretica, magis; Athenienses et Persae olim quidem hoc fere pacto, nunc autem minus. causas vero persequamur; nonne?

Cl. Plane, siquidem volumus id quod propositum nobis est absolvere.

Ath. Audiamus igitur. Persae enim quum servitutis et libertatis modum magis haberent Cyro regnante, primum ipsi liberi erant, deinde aliorum multorum domini; libertatem enim quum duces impertirent imperio subiectis et ad aequalitatem eam magis adducerent, amici erant milites imperatoribus promptosque se in periculis praestabant, et si quis in eis prudens esset consilioque valeret, rege non invidente, sed libertatem concedente et honoribus afficiente consilii dandi peritos, communem prudentiae facultatem in medium afferebat, et omnia tum apud eos progressus habuerunt propter libertatem et amicitiam et intelligentiae communionem.

Cl. Videntur quodammodo quae dicuntur ita facta esse.

Ath. Quonam igitur pacto interierunt Cambyse regnante rursusque Dario regnante fere servata sunt? vultisne divinationem quasi cogitando adhibeamus?

ΚΛ. Φέρει γοῦν ἡμῖν σκέψιν τοῦτο ἐφ᾽ ὅπερ ὡρμήκαμεν.

ΑΘ. Μαντεύομαι δή νυν *) περί γε Κύρου τὰ μὲν ἄλλ᾽ αὐτὸν στρατηγόν τε ἀγαθὸν εἶναι καὶ φιλόπολιν, παιδείας δὲ ὀρθῆς οὐχ ἧφθαι τὸ παράπαν οἰκονομίᾳ τε οὐδὲν **) τὸν νοῦν προςεσχηκέναι.

ΚΛ. Πῶς δὴ τὸ τοιοῦτον φῶμεν;

ΑΘ. Ἔοικεν ἐκ νέου στρατεύεσθαι διὰ * βίου, ταῖς D
γυναιξὶ παραδοὺς τοὺς παῖδας τρέφειν· αἱ δὲ ὡς εὐδαίμονας αὐτοὺς ἐκ τῶν παίδων εὐθὺς καὶ μακαρίους ***) γεγονότας καὶ ἐπιδεεῖς ὄντας τούτων οὐδενὸς ἔτρεφον· κωλύουσαι δὲ ὡς οὖσιν ἱκανῶς εὐδαίμοσι μήτε αὐτοῖς ἐναντιοῦσθαι μηδένα εἰς μηδέν, ἐπαινεῖν τε ἀναγκάζουσαι πάντας τὸ λεγόμενον ἢ πραττόμενον ὑπ᾽ αὐτῶν, ἔθρεψαν τοιούτους τινάς.

ΚΛ. Καλήν, ὡς ἔοικας, τροφὴν εἴρηκας.

ΑΘ. Γυναικείαν μὲν οὖν βασιλίδων * γυναικῶν, νεω- E
στὶ γεγονυιῶν πλουσίων καὶ ἐν ἀνδρῶν ἐρημίᾳ, διὰ τὸ μὴ σχολάζειν ὑπὸ πολέμων καὶ πολλῶν κινδύνων, τοὺς παῖδας τρεφουσῶν.

ΚΛ. Ἔχει γὰρ λόγον.

ΑΘ. Ὁ δὲ πατήρ γε αὐτοῖς αὖ ποίμνια μὲν καὶ πρόβατα καὶ ἀγέλας ἀνδρῶν τε καὶ ἄλλων πολλῶν πολλὰς ἐκτᾶτο, αὐτοὺς δέ, οἷς ταῦτα παραδώσειν ἔμελλεν, * ἠγνόει 695
τὴν πατρῴαν οὐ παιδευομένους τέχνην, οὖσαν [Περσικήν, ποιμένων ὄντων Περσῶν, τραχείας χώρας ἐκγόνων] σκληρὰν καὶ ἱκανὴν ποιμένας ἀπεργάζεσθαι μάλα ἰσχυροὺς καὶ δυναμένους θυραυλεῖν καὶ ἀγρυπνεῖν καὶ εἰ στρατεύεσθαι δέοι στρατεύεσθαι· διεφθαρμένην δὲ παιδείαν ὑπὸ τῆς λεγομένης εὐδαιμονίας τὴν Μηδικὴν περιεῖδεν ὑπὸ γυναικῶν τε καὶ εὐνούχων παιδευθέντας αὐτοῦ τοὺς υἱεῖς· ὅθεν ἐγένοντο οἵους ἦν εἰκὸς αὐτοὺς * γενέσθαι, τροφῇ ἀνεπιπλήκτῳ B
τραφέντας. παραλαβόντες δ᾽ οὖν οἱ παῖδες τελευτήσαντος Κύρου τροφῆς μεστοὶ καὶ ἀνεπιπληξίας, πρῶτον μὲν τὸν

*) γρ. δὴ νῦν.
**) ἴσ. οὐδὲ.
***) ἄλλ. μακαρίους ἤδη.

Cl. Ducit verte hoc quaeſtionem noſtram ad id quo contendimus.

Ath. Suſpicor igitur Cyrum cetera quidem bonum fuiſſe ducem et civitatis amantem, rectam vero diſciplinam omnino non attigiſſe et ad rerum domeſticarum curam ne animum quidem attendiſſe.

Cl. Quomodo hoc dicere poſſumus?

Ath. Videtur a puero militaſſe totam per vitam, mulieribus committens liberorum educationem; hae vero tamquam felices eos a pueris ſtatim et beatos nulliusque huiusmodi rei indigentes educabant; prohibentes vero, quominus quisquam eis tamquam ſatis felicibus ulla in re adverſaretur, omnesque cogentes quod vel dicerent vel facerent laudare, tales fere educaverunt.

Cl. Pulchram, ut patet, educationem memoras.

Ath. Muliebrem ſcilicet regiarum mulierum, recens divitiis auctarum et, quia viri propter bella multaque pericula otium non habebant, pueros educantium.

Cl. Conſentaneum eſt.

Ath. Pater autem eis armenta et pecudes multosque virorum aliorumque multorum greges acquiſivit, ipſos vero, quibus haec traditurus erat, neſcivit ad paternam non inſtitui artem, quae [Perſica, quum Perſae paſtores eſſent, aſperae regionis alumni] dura erat et idonea ad paſtores efficiendos admodum robuſtos et valentes ad vitam ſub divo degendam, ad vigilandum et, ſi bellum oporteret geri militandum; educatione vero Medica corrupta per felicitatem quae dicebatur non vidit filios ſuos a mulieribus et eunuchis imbui; unde exſtiterunt quales conſentaneum erat eos exſiſtere, ad educationem diſſolutam inſtituti. itaque filii quum Cyro mortuo imperium ſuscepiſſent, diſſoluta educatione re-

ἕτερον ἅτερος ἀπέκτεινε τῷ ἴσῳ ἀγανακτῶν, μετὰ δὲ τοῦτο αὐτὸς μαινόμενος ὑπὸ μέθης τε καὶ ἀπαιδευσίας τὴν ἀρχὴν ἀπώλεσεν ὑπὸ Μήδων τε καὶ τοῦ λεγομένου τότε εὐνούχου, καταφρονήσαντος τῆς Καμβύσου μανίας *).

ΚΛ. Λέγεται δὴ ταῦτά γε, καὶ ἔοικέ γε σχεδὸν * οὕ- C
τω πως γεγονέναι.

ΑΘ. Καὶ μὴν καὶ πάλιν εἰς Πέρσας ἐλθεῖν τὴν ἀρχὴν διὰ Δαρείου καὶ τῶν ἑπτὰ λέγεταί που.

ΚΛ. Τί μήν;

ΑΘ. Θεωρῶμεν δὴ ξυνεπόμενοι τῷ λόγῳ. Δαρεῖος γὰρ βασιλέως οὐκ ἦν υἱὸς παιδείᾳ τε οὐ διατρυφώσῃ τεθραμμένος, ἐλθὼν δ' εἰς τὴν ἀρχὴν καὶ λαβὼν αὐτὴν ἕβδομος διείλετο ἑπτὰ μέρη τεμόμενος, ὧν καὶ νῦν ἔτι σμικρὰ ὀνείρατα λέλειπται, καὶ νόμους ἠξίου θέμενος οἰκεῖν ἰσότητά τινα κοι-
νὴν * εἰςφέρων, καὶ τὸν τοῦ Κύρου δασμὸν ὃν ὑπέσχετο D
Πέρσαις εἰς τὸν νόμον ἐνέδει, φιλίαν πορίζων καὶ κοινωνίαν πᾶσι Πέρσαις, χρήμασι καὶ δωρεαῖς τὸν Περσῶν δῆμον προςαγόμενος· τοιγαροῦν αὐτῷ τὰ στρατεύματα μετ' εὐνοίας προςεκτήσατο χώρας οὐκ ἐλάττους ὧν κατέλιπε Κῦρος. μετὰ δὲ Δαρεῖον ὁ τῇ βασιλικῇ καὶ τρυφώσῃ πάλιν παιδευθεὶς παιδείᾳ Ξέρξης. Ὦ Δαρεῖε, εἰπεῖν ἐστὶ δικαιό-
τατον ἴσως, ὃς **) τὸ Κύρου κακὸν οὐκ ἔμαθες, * ἐθρέψω E
δὲ Ξέρξην ἐν τοῖς αὐτοῖς ἤθεσιν ἐν οἷςπερ Κῦρος Καμβύσην. ὁ δέ, ἅτε τῶν αὐτῶν παιδειῶν γενόμενος ἔκγονος, παραπλήσια ἀπετέλεσε τοῖς Καμβύσου παθήμασι· καὶ σχεδὸν ἔκ γε τοσούτου βασιλεὺς ἐν Πέρσαις οὐδεὶς πω μέγας ἐγγέγονεν ***) ἀληθῶς, πλήν γε ὀνόματι. τὸ δ' αἴτιον οὐ τύχη †), ὡς ὁ ἐμὸς λόγος, ἀλλ' ὁ κακὸς βίος ὃν οἱ τῶν
διαφερόντως * πλουσίων καὶ τυράννων παῖδες τὰ πολλὰ ζῶ- 696
σιν· οὐ γὰρ μή ποτε γένηται παῖς καὶ ἀνὴρ καὶ γέρων ἐκ ταύτης τῆς τροφῆς διαφέρων πρὸς ἀρετήν· ἃ δή, φαμέν, τῷ νομοθέτῃ σκεπτέον, καὶ ἡμῖν δὲ ἐν τῷ νῦν παρόντι.

---

*) γρ. μωρίας.
**) ἴσ. δικαιότατον, ἴσως τό.
***) γρ. γέγονεν.
†) γρ. τύχης.

pleti, primum alter alterum interfecit aequalitatem non ferens, deinde ipse insaniens ex ebrietate et disciplinae inopia imperium amisit per Medos et eunuchum illum ita dictum Cambysis insaniam contemnentem.

Cl. Perhibentur quidem haec ita, et videntur fere hac ratione facta esse.

Ath. Atque etiam ad Persas retulisse imperium Darius sexque reliqui dicuntur.

Cl. Maxime.

Ath. Videamus igitur sequentes orationem. Darius enim neque regis fuit filius neque delicata disciplina educatus, sed ad imperium aggressus idque adeptus cum sex aliis in septem partes divisit, quarum nunc adhuc exiguae umbrae restant, legibus latis instituit gubernationem aequalitatem quandam communem inducens, et partitionem quam Cyrus Persis pollicitus erat lege definivit, amicitiam praebens atque communitatem omnibus Persis, pecunia et muneribus Persarum populum sibi concilians; quocirca exercitus cum benivolentia regiones haud pauciores quam Cyrus reliquerat ei acquisivit. post Darium Xerxes ad regiam et delicatam item disciplinam institutus. O Dari, dici fortasse rectissime potest, Cyri infortunium te fugit; educasti enim Xerxem îsdem moribus quibus Cyrus Cambysem. ille vero, quippe qui eiusdem disciplinae alumnus fuerit, similia peregit atque Cambyses expertus erat; et ex tanto fere intervallo rex in Persis nullus magnus exstitit vere, praeterquam nomine. cuius quidem rei causa non fortuna est, ut oratio mea declarat, sed vita prava quam admodum divitum et tyrannorum filii maximam partem degunt; numquam enim fieri potest ut puer et vir et senex tali ex educatione proficiscatur ad virtutem insignis; quae quidem, dicimus, legis latorem reputare oportet, et nos quoque in praesentia. at

δίκαιον μήν, ὦ Λακεδαιμόνιοι, τοῦτό γε τῇ πόλει ὑμῶν ἀποδιδόναι, ὅτι πενίᾳ καὶ πλούτῳ καὶ βασιλείᾳ καὶ ἰδιωτείᾳ *) διαφέρουσαν οὐδ' ἡντινοῦν τιμὴν καὶ τροφὴν νέμετε, ἃς μὴ τὸ κατ' ἀρχὰς ὑμῖν θεῖον παρὰ θεοῦ διεμαντεύσατό * τινος· οὐ γὰρ δὴ δεῖ κατὰ πόλιν γε εἶναι τὰς τιμὰς B ὑπερεχούσας, ὅτι τίς ἐστι πλούτῳ διαφέρων, ἐπεὶ οὐδ' ὅτι ταχὺς ἢ καλὸς ἢ ἰσχυρὸς ἄνευ τινὸς ἀρετῆς, οὐδ' ἀρετῆς ἧς ἂν σωφροσύνη ἀπῇ.

ΜΕ. Πῶς τοῦτο, ὦ ξένε, λέγεις;

ΑΘ. Ἀνδρεία που μόριον ἀρετῆς ἕν.

ΜΕ. Πῶς γὰρ οὔ;

ΑΘ. Δίκασον τοίνυν αὐτὸς τὸν λόγον ἀκούσας, εἴ σοι δέξαιο ἂν ξύνοικον ἢ γείτονα εἶναί τινα σφόδρα μὲν ἀνδρεῖον, μὴ σώφρονα δέ, ἀλλ' ἀκόλαστον.

ΜΕ. * Εὐφήμει. C

ΑΘ. Τί δέ; τεχνικὸν μὲν καὶ περὶ ταῦτα σοφόν, ἄδικον δέ;

ΜΕ. Οὐδαμῶς.

ΑΘ. Ἀλλὰ μὴν τό γε δίκαιον οὐ φύεται χωρὶς τοῦ σωφρονεῖν.

ΜΕ. Πῶς γὰρ **);

ΑΘ. Οὐδὲ μήν, ὅν γε σοφὸν ἡμεῖς νῦν δὴ προὐθέμεθα, τὸν τὰς ἡδονὰς καὶ λύπας κεκτημένον ξυμφώνους τοῖς ὀρθοῖς λόγοις καὶ ἑπομένας.

ΜΕ. Οὐ γὰρ οὖν.

ΑΘ. Ἔτι δὴ καὶ τόδε ἐπισκεψώμεθα τῶν ἐν ταῖς πόλεσι τιμήσεων ἕνεκα, ποῖαί τε ὀρθαὶ * καὶ μὴ γίγνονται D ἑκάστοτε.

ΜΕ. Τὸ ποῖον;

ΑΘ. Σωφροσύνη ἄνευ πάσης τῆς ἄλλης ἀρετῆς ἐν ψυχῇ τινὶ μεμονωμένη τίμιον ἢ ἄτιμον γίγνοιτ' ἂν κατὰ δίκην;

ΜΕ. Οὐκ ἔχω ὅπως εἴπω.

---

*) ἄλλ. καὶ ἰδιωτείᾳ καὶ βασιλείᾳ.
**) γρ. Πῶς γὰρ οὔ; ἄλλ. Πῶς γὰρ ἄν;

iure, o Lacedaemonii, hoc civitati veſtrae tribuitur, quod paupertati et divitiis, regno et vitae privatae nullum omnino inſignem honorem et educationem impertitis, quae non ab initio vobis divina natura per deum quendam vaticinio conſtituerit; neque enim debent in civitate eximii eſſe honores, eo quod divitiis quispiam excellit, neque etiam eo quod velox vel pulcher vel robuſtus eſt ſine virtute aliqua, neque quod virtute praeſtat ſi temperantia ab ea abeſt.

Me. Quomodo hoc, hoſpes, dicis?

Ath. Fortitudo ſane pars virtutis una.

Me. Quidni?

Ath. Iudica igitur ipſe oratione percepta, num velis tibi contubernalem vel vicinum quemquam eſſe valde quidem fortem, at non temperantem, ſed effrenatum.

Me. Dii meliora!

Ath. Quid vero? artificioſum harumque rerum peritum, at iniuſtum?

Me. Nequaquam.

Ath. Iam vero iuſtitia non naſcitur ſine temperantia.

Me. Qui enim poteſt?

Ath. Neque etiam, quem ſapientem nos ſupra propoſuimus, voluptates et dolores habentem concinentes cum rectis rationibus easque ſequentes.

Me. Minime vero.

Ath. Praeterea hoc quoque conſideremus, quinam in civitate honores recti ſemper ſint, qui non ſint.

Me. Quidnam?

Ath. Temperantia ſine omni reliqua virtute in animo aliquo deſerta an iure honorabitur necne?

Me. Non habeo quomodo dicam.

ΑΘ. Καὶ μὴν εἴρηκάς γε μετρίως· εἰπὼν γὰρ δὴ ἂν ἠρόμην ὁποτερονοῦν παρὰ μέλος ἔμοιγ' ἂν δοκεῖς *) φθέγξασθαι.

ΜΕ. Καλῶς τοίνυν γεγονὸς ἂν εἴη.

ΑΘ. Εἶεν, τὸ μὲν δὴ πρόςθημα, ὧν τιμαί τε καὶ ἀτιμίαι, οὐ λόγου, ἀλλά τινος μᾶλλον ἀλόγου * σιγῆς ἄξιον ἂν εἴη. E

ΜΕ. Σωφροσύνην μοι φαίνει λέγειν.

ΑΘ. Ναί· τὸ δέ γε ἄλλων πλεῖστα ἡμᾶς ὠφελοῦν μετὰ τῆς προςθήκης μάλιστ' ἂν τιμώμενον ὀρθότατα τιμῷτο, καὶ τὸ δεύτερον δευτέρως· καὶ οὕτω δὴ κατὰ τὸν ἑξῆς λόγον τὰς ἐφεξῆς τιμὰς λαγχάνον ἕκαστον ὀρθῶς ἂν λαγχάνοι.

ΜΕ. Ἔχει * ταύτῃ. 697

ΑΘ. Τί οὖν; οὐ νομοθέτου καὶ ταῦτα αὖ φήσομεν εἶναι διανέμειν;

ΜΕ. Καὶ μάλα.

ΑΘ. Βούλει δὴ τὰ μὲν ἅπαντα καὶ ἐφ' ἕκαστον ἔργον καὶ κατὰ σμικρὰ ἐκείνῳ δῶμεν νεῖμαι, τὸ δὲ τριχῇ διελεῖν, ἐπειδὴ νόμων ἐσμὲν καὶ αὐτοί πως ἐπιθυμηταί, πειραθῶμεν, διατεμεῖν χωρὶς τά τε μέγιστα καὶ δεύτερα καὶ τρίτα;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Λέγομεν τοίνυν ὅτι πόλιν, ὡς ἔοικε, τὴν μέλλουσαν σώζεσθαί τε καὶ εὐδαιμονήσειν εἰς * δύναμιν ἀνθρωπίνην δεῖ καὶ ἀναγκαῖον τιμάς τε καὶ ἀτιμίας διανέμειν ὀρθῶς· ἔστι δὲ ὀρθῶς ἄρα τιμιώτατα μὲν καὶ πρῶτα τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ, δεύτερα δὲ τὰ περὶ τὸ σῶμα καλὰ καὶ ἀγαθά, καὶ τρίτα τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα. τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νομοθέτης ἢ πόλις, εἰς τιμὰς ἢ χρήματα * προάγουσα ἤ τι τῶν ὑστέρων εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα, οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα. εἰρήσθω ταῦτα, ἢ πῶς ἡμῖν; B C

ΜΕ. Πάνυ μὲν οὖν εἰρήσθω σαφῶς.

---

*) ἴσ. ἐδόκεις.

Ath. Atque recte quidem dixisti; alterutrum enim eorum quae interrogavi respondens haud concinne mihi quidem visus esses loqui.

Me. Bene igitur factum erit.

Ath. Iam vero id quod accedit rebus in quas honores et ignominiae cadunt, non oratione, sed silentio potius quodam oratione non explicando dignum fuerit.

Me. Temperantiam mihi videris dicere.

Ath. Etiam; atque id quod prae ceteris nobis prodest cum adiectione illa coniunctum, si maximi aestimabitur rectissime aestimabitur, et quod secundo loco prodest, id secundo honore iure dignabitur; et ita quidem res prout ex ordine sequuntur honoribus recte augebuntur ex ordine sequentibus.

Me. Ita res se habet.

Ath. Quid igitur? nonne legis latoris haec quoque dicemus esse distribuere?

Me. Sane quidem.

Ath. Visne igitur omnia quidem in quoque opere et minutatim illi tradamus distribuenda, tripartito vero dividere; quum legum nos quoque simus studiosi, conemur, secernentes maxima et secunda et tertia?

Me. Vero.

Ath. Dicimus ergo civitatem, ut patet, quae servari et pro viribus humanis beatam se esse velit, oportere honores et ignominias recte distribuere; recte autem distribui, si honoratissima et prima animi bona ponantur. temperantia adiuncta, secunda corporis bona et pulchra, et tertia quae dicantur bona res familiaris opesque, haec si quis migret legis lator vel civitas, vel divitias ad honores producens vel posterius aliquid in priore honoris loco collocans, neque sancti neque civile quid faciat. ponantur haec nobis, an quomodo?

Me. Sane quidem manifesto ponantur.

ΑΘ. Ταῦτα μὲν τοίνυν ἡμᾶς ἐπὶ πλέον ἐποίησεν εἰπεῖν ἡ Περσῶν περὶ *) διάσκεψις τῆς πολιτείας. ἀνευρίσκομεν δὲ ἐπὶ **) ἔτι χείρους αὐτοὺς γεγονότας· τὴν δὲ αἰτίαν φαμὲν ὅτι τὸ ἐλεύθερον λίαν ἀφελόμενοι τοῦ δήμου, τὸ δεσποτικὸν δ' ἐπαγαγόντες μᾶλλον τοῦ προσήκοντος * τὸ D φίλον ἀπώλεσαν καὶ τὸ κοινὸν ἐν τῇ πόλει. τούτου δὲ φθαρέντος οὐδ' ἡ τῶν ἀρχόντων βουλὴ ὑπὲρ ἀρχομένων καὶ τοῦ δήμου βουλεύεται, ἀλλ' ἕνεκα τῆς αὐτῶν ἀρχῆς, ἄν τι καὶ σμικρὸν πλέον ἑκάστοτε ἡγῶνται ἔσεσθαί σφισιν, ἀναστάτους μὲν πόλεις ***), ἀνάστατα δὲ ἔθνη φίλια πυρὶ καταφθείραντες ἐχθρῶς τε καὶ ἀνηλεῶς μισοῦντες μισοῦνται, ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι περὶ ἑαυτῶν τοὺς δήμους ἀφικνῶνται, οὐδὲν κοινὸν ἐν αὐτοῖς αὖ μετὰ προθυμίας τοῦ ἐθέλειν κινδυνεύειν * καὶ μάχεσθαι ἀνευρίσκουσιν, ἀλλὰ E κεκτημένοι μυριάδας ἀπεράντους λογισμῷ ἀχρήστους εἰς πόλεμον πάσας κέκτηνται, καὶ καθάπερ ἐνδεεῖς ἀνθρώπων, μισθούμενοι, ὑπὸ μισθωτῶν καὶ ὀθνείων ἀνθρώπων ἡγοῦνταί ποτε σωθήσεσθαι· πρὸς δὲ τούτοις ἀμαθαίνειν ἀναγκάζονται, λέγοντες * ἔργοις ὅτι λῆρος πρὸς χρυσόν τε καὶ 698 ἄργυρόν ἐστιν ἑκάστοτε τὰ λεγόμενα τίμια καὶ καλὰ κατὰ πόλιν.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ μὲν δὴ περί γε Περσῶν, ὡς οὐκ ὀρθῶς τὰ νῦν διοικεῖται διὰ τὴν σφόδρα δουλείαν τε καὶ δεσποτείαν, τέλος ἐχέτω.

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ δὲ περὶ τὴν τῆς Ἀττικῆς αὖ πολιτείαν τὸ μετὰ τοῦτο ὡσαύτως διεξελθεῖν ἡμᾶς χρεών, ὡς ἡ παντελὴς καὶ ἀπὸ πασῶν ἀρχῶν ἐλευθερία τῆς μέτρον ἐχούσης ἀρχῆς †) * ὑφ' ἑτέρων ††) οὐ σμικρῷ χείρων. ἡμῖν γὰρ κατ' ἐκεῖ- B νον τὸν χρόνον ὅτε ἡ Περσῶν ἐπίθεσις τοῖς Ἕλλησιν, ἴσως δὲ σχεδὸν ἅπασι τοῖς τὴν Εὐρώπην οἰκοῦσιν ἐγίγνετο, πο-

---

*) γρ. πέρι. **) ἴσ. ἐπὶ Ξέρξου.
***) ἴσ. πόλεις ποιοῦσιν.
†) γρ. τῆς μέτριον ἐχούσης ὑφ' ἑτέρων.
††) ἴσ. ὑμετέρας.

Ath. Haec igitur ut fusius explicaremus Persarum civitatis effecit inquisitio, invenimus autem etiam deteriores eos factos esse; et causam dicimus hanc esse quod libertatem populi nimis tollentes, dominatum vero magis quam par erat inducentes amicitiam perdiderint atque communitatem in civitate. his autem sublatis imperantium consilium non imperio subiectorum et populi commodis consulit, sed sui imperii causa, etiamsi exigua sit nonnumquam utilitas quam capturos se esse sperent, urbes evertunt gentesque expellentes amicas igneque delentes hostiliter et sine misericordia odium quo ipsi feruntur item concitant, et si necessitas populis obvenerit pro ipsis pugnandi, nihil in eis communitatis ac voluntatis prompto cum animo pericula suscipiendi et pugnandi inveniunt, sed turbam hominum quam habent ad numerum infinitam inutilem ad bellum possident, et quasi inopia laborent hominum conducunt mercenarios exterosque homines, a quibus salutem sperant; praeterea desipere coguntur dicentes revera nugas esse ad aurum et argentum quaecumque honoranda et pulchra in civitate dicantur.

Me. Sane quidem.

Ath. Iam de Persarum quidem rebus quaestio non recte nunc constitutis propter nimiam servitutem et dominationem finem habeto.

Me. Sane quidem.

Ath. De Attica vero civitate deinceps similiter exponendum est ita ut probetur, perfectam nullique imperio subiectam libertatem imperio moderato vestro haud paullo deteriorem esse. nobis enim illo tempore quo Persae Graecos, fortasse etiam omnes fere Europae incolas adorti sunt, civitas erat vetu-

λιτεία τε ἡ παλαιὰ καὶ ἐκ τιμημάτων ἀρχαί τινες τεττάρων, καὶ δεσπότις ἐνῆν τις αἰδώς, δι' ἣν δουλεύοντες τοῖς τότε νόμοις ζῆν ἠθέλομεν· καὶ πρὸς τούτοις δὴ τὸ μέγεθος τοῦ στόλου κατά τε γῆν καὶ κατὰ θάλατταν γενόμενον, φόβον ἄπορον ἐμβαλόν, δουλείαν ἔτι μείζονα * ἐποίησεν ἡμᾶς τοῖς C
τε *) ἄρχουσι καὶ τοῖς νόμοις δουλεῦσαι. καὶ διὰ ταῦτα πάνθ' ἡμῖν ξυνέπεσε πρὸς ἡμᾶς αὐτοὺς σφοδρὰ φιλία. σχεδὸν γὰρ δέκα ἔτεσι πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφίκετο Δᾶτις Περσικὸν στόλον ἄγων πέμψαντος Δαρείου διαῤῥήδην ἐπί τε Ἀθηναίους καὶ Ἐρετριέας, ἐξανδραποδισάμενον ἀγαγεῖν, θάνατον αὐτῷ προειπὼν μὴ πράξαντι ταῦτα. καὶ ὁ Δᾶτις τοὺς μὲν Ἐρετριέας ἔν τινι βραχεῖ χρόνῳ * παντά- D
πασι κατὰ κράτος τε **) εἷλε μυριάσι συχναῖς, καί τινα λόγον εἰς τὴν ἡμετέραν πόλιν ἀφῆκε φοβερόν, ὡς οὐδεὶς Ἐρετριέων αὐτὸν ἀποπεφευγὼς εἴη· ξυνάψαντες γὰρ ἄρα τὰς χεῖρας σαγηνεύσαιεν πᾶσαν τὴν Ἐρετρικὴν οἱ στρατιῶται τοῦ Δάτιδος. ὁ δὴ ***) λόγος, εἴτε ἀληθὴς εἴτε καὶ ὅπῃ ἀφίκετο, τούς τε ἄλλους Ἕλληνας καὶ δὴ καὶ Ἀθηναίους ἐξέπληττε, καὶ πρεσβευομένοις αὐτοῖς πανταχόσε βοηθεῖν οὐδεὶς ἤθελε * πλήν γε Λακεδαιμονίων· οὗτοι δὲ ὑπό E
τε τοῦ πρὸς Μεσσήνην ὄντος τότε πολέμου καὶ εἰ δή τι διεκώλυεν ἄλλο αὐτοὺς (οὐ γὰρ ἴσμεν) λεγόμενον, ὕστεροι δ' οὖν ἀφίκοντο τῆς ἐν Μαραθῶνι μάχης γενομένης μιᾷ ἡμέρᾳ. μετὰ δὲ τοῦτο παρασκευαί τε μεγάλαι λεγόμεναι καὶ ἀπειλαὶ ἐφοίτων παρὰ βασιλέως μυρίαι· προϊόντος δὲ τοῦ χρόνου Δαρεῖος μὲν τεθνάναι ἐλέχθη, νέος δὲ καὶ σφοδρὸς ὁ υἱὸς αὐτοῦ παρειληφέναι τὴν ἀρχὴν καὶ οὐδαμῶς ἀφίστασθαι τῆς ὁρμῆς. * οἱ δὲ Ἀθηναῖοι πᾶν τοῦτο ᾤοντο ἐπὶ 699
σφᾶς αὐτοὺς παρασκευάζεσθαι διὰ τὸ Μαραθῶνι γενόμενον, καὶ ἀκούοντες Ἄθω τε διορυττόμενον καὶ Ἑλλήσποντον ζευγνύμενον καὶ τὰ τῶν νεῶν πλῆθος ἡγήσαντο οὔτε κατὰ γῆν σφισὶν εἶναι σωτηρίαν οὔτε κατὰ θάλατταν· οὔτε †) γὰρ βοηθήσειν αὐτοῖς οὐδένα, μεμνημένοι ὡς οὐδ' ὅτε τὸ πρῶ-

---

*) γρ. τοῖς τότε. **) γρ. κατὰ κράτος. **) γρ. δέ. †) ἴσ. οὐδέ.

ſta et magiſtratus quadripartito cenſu conſtituti, et dominus quidam inerat pudor, per quem legibus tunc latis obedientes vivere volebamus; praeterea magnitudo copiarum terreſtrium et maritimarum terrorem tam inexpugnabilem nobis iniecerat, ut maiorem etiam magiſtratibus legibusque ſervitutem ſerviremus. et propter haec omnia magna inter nos ipſos exſtitit amicitia. decem enim ferme annis ante pugnam navalem Salaminiam Datis Perſicam adduxit claſſem a Dario verbis conceptis miſſus qui Athenienſes et Eretrios in ſervitutem abduceret, et neci deſtinatus, niſi mandata efficeret. atque Datis Eretrios brevi tempore prorſus per vim cepit innumerabili militum copia, et nuncium quendam in noſtram urbem miſit horribilem, nullum Eretrium ipſum effugiſſe, manibus enim connexis quaſi everriculo totam Eretriam cepiſſe Datidis milites. qui quidem nuncius, ſive verus erat ſive alio quo modo pervenerat, quum reliquos Graecos tum etiam Athenienſes perterruit. et quum legatos omnes in partes miſiſſent qui auxilium peterent, nemo ſubvenire voluit praeter Lacedaemonios; hi vero propter bellum quod cum Meſſene tum gerebant vel ſi quid aliud eos impediviſſe dicitur (neſcimus enim), poſtridie pugnam Marathoniam venerunt. deinde apparatus magni et minae regis ferebantur innumerabiles. procedente tempore Darius mortuus eſſe dicebatur, iuvenis autem vehemensque eius filius regnum ſuſcepiſſe nec ullo modo incepto deſiſtere. Athenienſes vero omne hoc arbitrabantur contra ſe ipſos apparari propter ea quae Marathone geſta erant, et audientes Atho perfodi et Helleſpontum iungi et de navium multitudine cenſebant neque terra ſibi eſſe ſalutem neque mari; non enim auxilium ſibi quemquam laturum eſſe, in memoria tenentes nec tum quum primum veniſſent, et illa

τον *) ἦλθον καὶ τὰ περὶ Ἐρέτριαν διεπράξαντο, σφίσι γε οὐδεὶς τότε ἐβοήθησεν οὐδ' ἐκινδύνευσε ξυμμαχόμενος· ταὐτὸν * δὴ προςεδόκων καὶ τότε γενήσεσθαι τό γε κατὰ γῆν. B
καὶ κατὰ θάλατταν δ' αὖ πᾶσαν ἀπορίαν ἑώρων σωτηρίας νεῶν χιλίων καὶ ἔτι πλεόνων ἐπιφερομένων. μίαν δὴ σωτηρίαν ξυνενόουν, λεπτὴν μὲν καὶ ἄπορον, μόνην δ' οὖν· βλέψαντες πρὸς τὸ πρότερον γενόμενον, ὡς ἐξ ἀπόρων **) ἐφαίνετο γενέσθαι τὸ νικῆσαι μαχομένους, ἐπὶ δὲ τῆς ἐλπίδος ὀχούμενοι ταύτης εὕρισκον καταφυγὴν αὐτοῖς εἰς αὐτοὺς μόνους εἶναι καὶ τοὺς θεούς. ταῦτ' οὖν * αὐτοῖς πάντα C
φιλίαν ἀλλήλων ἐνεποίει, ὁ φόβος ὁ τότε παρὼν ὅ τε ἐκ τῶν νόμων τῶν ἔμπροσθεν γεγονώς, ὃν δουλεύοντες τοῖς πρόσθεν νόμοις ἐκέκτηντο, ἣν αἰδῶ πολλάκις ἐν τοῖς ἄνω λόγοις εἴπομεν, ᾗ καὶ δουλεύειν ἔφαμεν δεῖν τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι, ἧς ὁ δοῦλος***) ἐλεύθερος καὶ ἄφοβος· ὃν εἰ τότε μὴ δέος ἔλαβεν, οὐκ ἄν ποτε ξυνελθὼν ἠμύνατο οὐδ' ἤμυνεν ἱεροῖς τε καὶ τάφοις καὶ πατρίδι καὶ τοῖς ἄλλοις οἰκείοις τε ἅμα καὶ * φίλοις, ὥςπερ τότ' ἐβοήθησεν, D
ἀλλὰ κατὰ σμικρὰ ἂν ἐν τῷ τότε ἡμῶν ἕκαστος σκεδασθεὶς ἄλλος ἄλλοσε διεσπάρη.

ΜΕ. Καὶ μάλα, ὦ ξένε, ὀρθῶς τε εἴρηκας καὶ σαυτῷ τε καὶ τῇ πατρίδι πρεπόντως.

ΑΘ. Ἔστι ταῦτα, ὦ Μέγιλλε· πρὸς γὰρ σὲ τὰ ἐν τῷ τότε χρόνῳ γενόμενα κοινωνὸν τῇ τῶν πατρῴων †) γεγονότα φύσει, δίκαιον λέγειν. ἐπισκόπει μὴν καὶ σὺ καὶ Κλεινίας εἴ τι ††) πρὸς τὴν νομοθεσίαν προςήκοντα λέγομεν· οὐ γὰρ μύθων * ἕνεκα διεξέρχομαι, οὗ λέγω δ' ἕνεκα· ὁρᾶ- E
τε γάρ· ἐπειδή τινα τρόπον ταὐτὸν ἡμῖν ξυμβεβήκει πάθος ὅπερ Πέρσαις, ἐκείνοις μὲν ἐπὶ πᾶσαν δουλείαν ἄγουσι τὸν δῆμον, ἡμῖν δ' αὖ τοὐναντίον ἐπὶ πᾶσαν ἐλευθερίαν προτρέπουσι τὰ πλήθη, πῶς δὴ καὶ τί λέγωμεν τοὐντεῦθεν, οἱ προγεγονότες ἡμῖν ἔμπροσθεν λόγοι τρόπον τινὰ καλῶς εἰσὶν εἰρημένοι.

---

*) ἄλλ. πρότερον. **) ἄλλ. ἐξ ἀπόρων καὶ τότε. ***) γρ. δειλός. †) ἄλλ. πατέρων. ἴσ. κοινωνὸν δὴ τῶν πατρίων. ††) εἴ τα.

Eretriae intulissent, quemquam sibi subvenisse neque pugnam adiuvare ausum esse; idem igitur etiam tum ne terra fieret timebant. ac mari quidem nullam salutis spem videbant, quum naves mille et plures etiam imminerent. unam igitur salutem cognoverunt, tenuem quidem et difficilem, solam tamen: respicientes id quod ante factum erat, quum in rebus desperatis victoriam pugnando reportassent, hac ducti spe invenerunt refugium esse se ipsos solos ac deos, haec igitur ipsis omnia mutuam iniecerunt amicitiam, timor videlicet tum praesens et qui e legibus pristinis exortus erat, quem legibus prioribus obedientes sibi comparaverant, quem quidem pudorem saepius in sermonibus superioribus appellavimus, cui servire etiam diximus oportere qui boni essent futuri, cuius servus liber metusque expers; qui si tunc terrori non praesto fuisset, numquam congressi nostri hostes propulsassent neque templa et sepulcra et patriam ceterosque familiares simul et amicos defendissent, sicut tum defenderunt, sed minutatim illo tempore nostrum quisque dissipatus alius alio fuisset dispersus.

Me. Sane, hospes, recte loquutus es et tibi patriaeque convenienter.

Ath. Sunt ista, Megille; coram te enim, qui rerum patriarum natura sis socius, quae tum facta sunt par est dici. vide autem et tu et Clinias an quae ad legis lationem pertineant dicamus; non enim haec sermonum causa persequor, sed ejus quam dico rei gratia; videte enim; quum idem quodammodo nobis acciderit quod Persis, quippe his ad omnem servitutem ducentibus populum, nobis vero contra ad omnem libertatem excitantibus multitudinem [quomodo et quid deinde dicamus] superiores nobis sermones quodammodo praeclare expositi sunt.

ΜΕ. * Λέγεις εὖ· πειρῶ δ' ἔτι σαφέστερον ἡμῖν ση- 700
μῆναι τὸ νῦν λεγόμενον.

ΑΘ. Ἔσται ταῦτα. οὐκ ἦν, ὦ φίλοι, ἡμῖν ἐπὶ τῶν
παλαιῶν νόμων ὁ δῆμός τινων κύριος, ἀλλὰ τρόπον τινὰ
ἑκὼν ἐδούλευε τοῖς νόμοις.

ΜΕ. Ποίοις δὴ λέγεις;

ΑΘ. Τοῖς περὶ τὴν μουσικὴν πρῶτον τὴν τότε, ἵνα ἐξ
ἀρχῆς διέλθωμεν τὴν τοῦ ἐλευθέρου λίαν ἐπίδοσιν βίου.
διῃρημένη γὰρ δὴ τότε ἦν ἡμῖν ἡ μουσικὴ κατὰ εἴδη τε
ἑαυτῆς ἄττα * καὶ σχήματα, καί τι ἦν εἶδος ᾠδῆς εὐχαὶ B
πρὸς θεούς, ὄνομα δὲ ὕμνοι ἐπεκαλοῦντο, καὶ τούτῳ δὴ τὸ
ἐναντίον ἦν ᾠδῆς ἕτερον εἶδος, θρήνους δέ τις ἂν αὐτοὺς
μάλιστα ἐκάλεσε, καὶ παίωνες ἕτερον, καὶ ἄλλο Διονύσου
γένεσις, οἶμαι, διθύραμβος λεγόμενος· νόμους τε αὐτὸ τοῦ-
το τοὔνομα ἐκάλουν, ᾠδὴν ὥς τινα ἑτέραν· ἐπέλεγον δὲ κι-
θαρῳδικούς. τούτων δὴ διατεταγμένων καὶ ἄλλων τινῶν οὐκ
ἐξῆν ἄλλῳ εἰς ἄλλο καταχρῆσθαι μέλους * εἶδος. τὸ δὲ κῦ- C
ρος τούτων *γνῶναί τε καὶ ἅμα γνόντα δικάσαι ζημιοῦν τε
αὖ τὸν μὴ πειθόμενον οὐ σύριγξ ἦν οὐδέ τινες ἄμουσοι βοαὶ
πλήθους, καθάπερ τὰ νῦν, οὐδ' αὖ κρότοι ἐπαίνους ἀπο-
διδόντες, ἀλλὰ τοῖς μὲν γεγονόσι περὶ παίδευσιν δεδογμένον
ἀκούειν ἦν αὐτοῖς μετὰ σιγῆς διὰ τέλους, παισὶ δὲ καὶ παι-
δαγωγοῖς καὶ τῷ πλείστῳ ὄχλῳ ῥάβδου κοσμούσης ἡ νουθέ-
τησις ἐγίγνετο. ταῦτ' οὖν οὕτω τεταγμένως ἤθελεν ἄρχε-
σθαι * τῶν πολιτῶν τὸ πλῆθος, καὶ μὴ τολμᾶν κρίνειν διὰ D
θορύβου. μετὰ δὲ ταῦτα προϊόντος τοῦ χρόνου ἄρχοντες μὲν
τῆς ἀμούσου παρανομίας ποιηταὶ ἐγίγνοντο φύσει μὲν ποιη-
τικοί, ἀγνώμονες δὲ περὶ τὸ δίκαιον τῆς μούσης καὶ τὸ νό-
μιμον, βακχεύοντες καὶ μᾶλλον τοῦ δέοντος κατεχόμενοι ὑφ'
ἡδονῆς, κεραννύντες δὲ θρήνους τε ὕμνοις καὶ παίωνας δι-
θυράμβοις, καὶ αὐλῳδίας δὴ ταῖς κιθαρῳδίαις μιμούμενοι
καὶ πάντα *εἰς πάντα * ξυνάγοντες, μουσικῆς ἄκοντες ὑπ' E
ἀνοίας *) καταψευδόμενοι, ὡς ὀρθότητα μὲν οὐκ ἔχοι οὐδ'

---

*) ἴσ. ἀγνοίας.

Me. Bene dicis; conare autem etiam clarius nobis explicare quod nunc dictum est.

Ath. Hoc fiet. non erat, amici, nobis secundum veteres leges populo potestas aliqua, sed ultro quodammodo serviebat legibus.

Me. Quibusnam dicis?

Ath. Eis primum quae de musica illius temporis latae erant, ut ab initio persequamur nimis liberae vitae progressionem. divisa enim tum erat nobis musica in species quasdam suas et formas, et species quaedam cantus erant preces ad deos, quae nominabantur hymni, huiusque contraria erat alia cantus species, quas nenias quispiam maxime appellaverit, rursusque alia paean, et alia a Baccho profecta, ut arbitror, dithyrambus nominata; aliam denique carminum speciem hoc ipso nomine legum (νόμων) nuncupabant, quae cognomen habebant citharoedicarum. his igitur aliisque quibusdam ita constitutis non licebat aliam ad aliam cantus speciem adhibere. id autem penes quod harum rerum cognitio erat simulque cum cognitione iudicium et castigatio eius qui non obtemperasset, neque sibila erant neque rudes quaedam multitudinis vociferationes, sicut nunc, neque etiam strepitus applaudentium, sed qui disciplinae praeerant hoc constituerant, ut ipsi silentio usque ad finem audirent, pueri vero et paedagogi maximaque turba virga castigati in ordinem cogerentur. hac igitur ratione ordine volebat obedire civium multitudo, nec audere tumultuando iudicare. deinde autem procedente tempore legum musicarum violationis auctores poëtae exstiterunt natura quidem poëtici, sed inscii iustae legitimaeque musae, bacchantes magisque quam par erat voluptati indulgentes, miscentes porro nenias hymnis et paeanas dithyrambis, et tibiarum quoque sonos citharae cantu imitantes omniaque in omnia coniungentes. invi-

ἡντινοῦν μουσική, ἡδονῇ δὲ τῇ τοῦ χαίροντος, εἴτε βελτί-
ων εἴτε χείρων ἂν εἴη τις, κρίνοιτο ὀρθότατα. τοιαῦτα δὴ
ποιοῦντες ποιήματα λόγους τε ἐπιλέγοντες τοιούτους τοῖς
πολλοῖς ἐνέθεσαν παρανομίαν εἰς τὴν μουσικὴν καὶ τόλμαν,
ὡς ἱκανοῖς οὖσι κρίνειν. ὅθεν δὴ τὰ θέατρα ἐξ ἀφώνων
φωνήεντα ἐγένοντο, * ὡς ἐπαΐοντα ἐν μούσαις τό τε καλὸν 701
καὶ μή, καὶ ἀντὶ ἀριστοκρατίας ἐν αὐτῇ θεατροκρατία τις
πονηρὰ γέγονεν. εἰ γὰρ δὴ καὶ δημοκρατία ἐν αὐτῇ τις
μόνον ἐγένετο ἐλευθέρων ἀνδρῶν, οὐδὲν ἂν πάνυ γε δεινὸν
ἦν τὸ γεγονός· νῦν δὲ ἦρξε μὲν ἡμῖν ἐκ μουσικῆς ἡ πάν-
των εἰς πάντα σοφίας δόξα καὶ παρανομία, ξυνεφέσπετο δὲ
ἐλευθερία· ἄφοβοι γὰρ ἐγίγνοντο ὡς εἰδότες, ἡ δὲ ἄδεια
ἀναισχυντίαν ἐνέτεκε· τὸ γὰρ τὴν τοῦ βελτίονος δόξαν μὴ
* φοβεῖσθαι διὰ θράσος, τοῦτ' αὐτό ἐστι σχεδὸν ἡ πο- B
νηρὰ ἀναισχυντία, διὰ δή τινος ἐλευθερίας λίαν ἀποτετολ-
μημένης.

ΜΕ. Ἀληθέστατα λέγεις.

ΑΘ. Ἐφεξῆς δὴ ταύτῃ τῇ ἐλευθερίᾳ ἡ τοῦ μὴ ἐθέλειν
τοῖς ἄρχουσι δουλεύειν γίγνοιτ' ἄν, καὶ ἑπομένη ταύτῃ φεύ-
γειν πατρὸς καὶ μητρὸς καὶ πρεσβυτέρων δουλείαν καὶ νου-
θέτησιν *), καὶ ἐγγὺς τοῦ τέλους οὖσι νόμων ζητεῖν μὴ
ὑπηκόοις εἶναι, πρὸς αὐτῷ δὲ ἤδη τῷ τέλει * ὅρκων καὶ C
πίστεων καὶ τὸ παράπαν θεῶν μὴ φροντίζειν, τὴν λεγομέ-
νην παλαιὰν Τιτανικὴν φύσιν ἐπιδεικνῦσι καὶ μιμουμένοις·
ἐπὶ τὰ αὐτὰ πάλιν ἐκεῖνα ἀφικομένους, χαλεπὸν αἰῶνα διά-
γοντας μὴ λῆξαί ποτε κακῶν. τίνος δὴ καὶ ταῦθ' ἡμῖν αὖ
χάριν ἐλέχθη; δεῖν φαίνεται ἔμοιγε, οἱόνπερ ἵππον, τὸν λό-
γον ἑκάστοτε ἀναλαμβάνειν, καὶ μή, καθάπερ ἀχάλινον κε-
κτημένον τὸ στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν
παροιμίαν * ἀπό τινος ὄνου πεσεῖν, ἀλλ' ἐπανερωτᾶν τὸ νῦν D
δὴ λεχθέν, τὸ τίνος δὴ χάριν ἕνεκα ταῦτα ἐλέχθη.

ΜΕ. Καλῶς.

ΑΘ. Ταῦτα τοίνυν εἴρηται ἐκείνων ἕνεκα.

*) ἄλλ. νομοθέτησιν.

ti propter inſcitiam falſo ſtatuentes, muſicam omnino nulla recta ratione contineri, ſed voluptate iudicantis, ſive melior quis eſſet ſive deterior, rectiſſime iudicari. talia igitur facientes poëmata talesque adiicientes orationes effecerunt ut plerique leges muſicas migrarent omniaque auderent, tamquam ſatis valerent ad iudicandum. quo quidem factum eſt ut theatra, quum ſilentium tenuiſſent, vocibus et clamoribus perſonarent, quaſi intelligerent in muſis quid pulchrum quid non, et in optimatum imperii locum theatri quaedam prava dominanatio ſuccederet. etenim ſi populare quoddam in muſica tantum imperium liberorum virorum exſtitiſſet, nihil prorſus grave factum eſſet; nunc autem exorta eſt muſica omnium in omnibus ſapientiae opinio et inſolentia, quas conſequuta eſt libertas; timoris enim expertes facti ſunt tamquam intelligentes, et inde quod timore carebant, nata eſt impudentia; melioris enim opinionem non timere propter audaciam, hoc ipſum eſt fere improba impudentia ex libertate nimis diſſoluta exſiſtens.

Me. Veriſſime dicis.

Ath. Deinceps hanc libertatem excipiet licentia quae magiſtratibus ſervire nolet, et hanc conſequetur ea quae patris et matris et ſeniorum ſervitutem admonitionemque fugiet, et ad finem appropinquans legibus obedire recuſabit, ipſum vero finem iam asſequuta iura iuranda et fidem et omnino deos contemnet, priſcam illam quae dicitur Titanum naturam oſtendens et imitans: ut ad eadem illa homines revertentes gravem vitam degant nec umquam malis liberentur. quanam vero gratia haec nobis rurſus dicta ſunt? videtur mihi quidem, quemadmodum equus, oratio ſemper reprimenda eſſe, ne, quaſi os effrenatum habentes, vi ab oratione abrepti, ut in proverbio eſt, aſino decidamus: quocirca quaerendum quam ob cauſam modo dicta prolata ſint.

Me. Maxime.

Ath. Dicta igitur ſunt hanc ob cauſam.

ΜΕ. Τίνων;

ΑΘ. Ἐλέξαμεν ὡς τὸν νομοθέτην δεῖ τριῶν στοχαζόμε-
νον νομοθετεῖν, ὅπως ἡ νομοθετουμένη πόλις ἐλευθέρα τε
ἔσται καὶ φίλη ἑαυτῇ καὶ νοῦν ἕξει. ταῦτ' ἦν· ἦ γάρ;

ΜΕ. Πάνυ μὲν οὖν.

ΑΘ. Τούτων ἕνεκα δὴ πολιτείας * τήν τε δεσποτικω- E
τάτην προελόμενοι καὶ τὴν ἐλευθερικωτάτην, ἐπεσκοποῦμεν
νυνὶ ποτέρα τούτων ὀρθῶς πολιτεύεται· λαβόντες δὲ αὐτῶν
ἑκατέρας *) μετριότητά τινα, τῶν μὲν τοῦ δεσπόζειν, τῶν
δὲ τοῦ ἐλευθεριάσαι, κατείδομεν ὅτι τότε διαφερόντως ἐν αὐ-
ταῖς **) ἐγένετο εὐπραγία, ἐπὶ δὲ τὸ ἄκρον ἀγαγόντων ἑκα-
τέρων, τῶν μὲν δουλείας, τῶν δὲ τοὐναντίου, οὐ ξυνήνεγ-
κεν οὔτε τοῖς οὔτε τοῖς.

ΜΕ. * Ἀληθέστατα λέγεις. 702

ΑΘ. Καὶ μὴν αὐτῶν γε ἕνεκα καὶ τὸ Δωρικὸν ἐθεασά-
μεθα κατοικιζόμενον στρατόπεδον καὶ τὰς τοῦ Δαρδάνου ὑ-
πωρείας τε καὶ τὴν ἐπὶ θαλάττῃ κατοίκισιν, καὶ τοὺς πρώ-
τους δὴ τοὺς περιλιπεῖς γενομένους τῆς φθορᾶς, ἔτι δὲ τοὺς
ἔμπροσθεν τούτων γενομένους ἡμῖν λόγους περί τε μουσικῆς
καὶ μέθης καὶ τὰ τούτων ἔτι πρότερα· ταῦτα γὰρ πάντα εἴ-
ρηται τοῦ κατιδεῖν ἕνεκα πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη,
καὶ ἰδίᾳ πῶς * ἄν τις βέλτιστα τὸν αὑτοῦ βίον διαγάγοι. B
εἰ δὲ δή τι πεποιήκαμεν προὔργου, τίς ποτ' ἂν ἔλεγχος γί-
γνοιτο ἡμῖν πρὸς ἡμᾶς αὐτοὺς λεχθείς, ὦ Μέγιλλέ τε καὶ
Κλεινία;

ΚΛ. Ἐγώ τιν', ὦ ξένε, μοι δοκῶ κατανοεῖν· ἔοικε
κατὰ τύχην τινὰ ἡμῖν τὰ τῶν λόγων τούτων πάντων ὧν διεξ-
ήλθομεν γεγονέναι· σχεδὸν γὰρ εἰς χρείαν αὐτῶν ἔγωγ' ἐ-
λήλυθα τὰ νῦν, καὶ κατά τινα αὖ καιρὸν σύ τε παραγέγο-
νας ἅμα καὶ Μέγιλλος ὅδε· οὐ γὰρ ἀποκρύψομαί σφω * τὸ C
νῦν ἐμοὶ ξυμβαῖνον, ἀλλὰ καὶ πρὸς ***) οἰωνόν τινα ποιοῦ-
μαι. ἡ γὰρ πλείστη τῆς Κρήτης ἐπιχειρεῖ τινὰ ἀποικίαν
ποιήσασθαι, καὶ προστάττει τοῖς Κνωσίοις ἐπιμεληθῆναι τοῦ

---

*) ἴσ. λαβόντων — ἑκατέρων.
) ἴσ. ἐν αὐτοῖς. *) ἴσ. ὡς.

Me. Quamnam?

Ath. Posuimus legis latori tria spectanti leges esse dandas, ut civitas legibus constituta libera esset, sibi amica et prudens. haec erant; nonne?

Me. Sane quidem.

Ath. Hanc ob causam civitates eligentes maxime regalem et liberrimam consideravimus modo utra harum recte administraretur; moderationem vero utraeque quum adeptae essent, dominationis una, altera libertatis, vidimus tum insignem eis prosperitatem obtigisse, ad summam autem quum una dominationem processisset, altera libertatem, neque huic neque illi id profuisse.

Me. Verissime dicis.

Ath. Atque hanc quidam ob causam etiam Doricum spectavimus constitutum exercitum et Dardani iuga et habitationem mari propinquam et primos interitus illius superstites, praeterea superiores quas habuimus disputationes de musica et ebrietate et hic etiam priores; haec enim omnia iccirco dicta sunt ut videremus quo tandem pacto civitas optime gubernaretur, et privatim quomodo aliquis pulcherrime vitam suam traduceret. iam si quid operae pretium fecimus, ecquae reprehensio erit in quam inter nos incurramus, o Megille et Clinia?

Cl. Ego aliquam, hospes, mihi videor animadvertere; forte fortuna a nobis videntur haec omnia quae persequuti sumus exposita esse; equidem fere eo perveneram ut eorum indigerem, et opportune tu affuisti simul et Megillus hic; neque enim celabo vos quod nunc mihi accidit, immo etiam pro omine id habeo. maxima enim Cretae pars coloniam deducere cogitat, et Cnosiis mandat hanc provinciam, Cnosiorum vero civitas mihi

πράγματος, ἡ δὲ τῶν Κνωσίων πόλις ἐμοί τε καὶ ἄλλοις ἐννέα· ἅμα δὲ καὶ νόμους τῶν τε αὐτόθι, εἴ τινες ἡμᾶς ἀρέσκουσι *), τίθεσθαι κελεύει, καὶ εἴ τινες ἑτέρωθεν, μηδὲν ὑπολογιζομένους τὸ ξενικὸν αὐτῶν, ἂν βελτίους φαίνωνται. νῦν οὖν ἐμοί τε καὶ ὑμῖν ταύτην δῶμεν χάριν· * ἐκ τῶν D εἰρημένων ἐκλέξαντες τῷ λόγῳ συστησώμεθα πόλιν, οἷον ἐξ ἀρχῆς κατοικίζοντες· καὶ ἅμα μὲν ἡμῖν οὗ ζητοῦμεν ἐπίσκεψις γενήσεται, ἅμα δ' ἐγὼ τάχ' ἂν χρησαίμην εἰς τὴν μέλλουσαν πόλιν ταύτῃ τῇ συστάσει.

ΑΘ. Οὐ πόλεμόν γε ἐπαγγέλλεις, ὦ Κλεινία· ἀλλ' εἰ μή τι Μεγίλλῳ πρόσαντες, τὰ παρ' ἐμοῦ γε ἡγοῦ σοι πάντα κατὰ νοῦν ὑπάρχειν εἰς δύναμιν.

ΜΕ. Εὖ λέγεις· καὶ μὴν καὶ τὰ παρ' ἐμοῦ **).

ΚΛ. * Κάλλιστ' εἰρήκατον· ἀτὰρ πειρώμεθα λόγῳ πρῶτον κατοικίζειν τὴν πόλιν. E

---

*) γρ. ἀρέσουσι.
**) γρ. *ΚΛ.* Εὖ λέγεις.
ΜΕ. Καὶ — ἐμοῦ.

aliisque novem; ſimulque etiam leges nos ſancire iubet tam ex iis quae ibi ſunt ſi quae nobis placeant, quam aliunde asſumptas, nullam earum peregrinitatis rationem habentes, ſi meliores reperiantur. nunc igitur et mihi et vobis hanc demus gratiam: ex eis quae disputavimus eligentes oratione componamus civitatem, tamquam ab initio conſtituentes; et ſimul nobis de eo quod quaerimus quaeſtionem habebimus, ſimul ego forſitan ad urbem futuram accommodare poſſim hanc compoſitionem.

Ath. Bene nuncias, o Clinia; itaque niſi Megillo incommodum, me quidem ad omnia quae cupis pro viribus paratum eſſe exiſtima.

Me. Probe dicis; et me quoque paratum eſſe cenſe.

Cl. Optime dixiſtis; at conemur oratione primum conſtituere urbem.

LIBER QUARTUS.

Atheniensis primum de urbis condendae situ quaerit, huncque docet praestantiorem esse, qui a mari remotior sit, propterea quod ad mercaturam, rem moribus perniciosissimam, nullas habeat opportunitates. Regio porro eiusmodi esse debet, ut omnia quidem ferat, neque tamen abunde; nam quae nihil fert, ea mercatura indiget, quae vero multa eaque abunde fert, res quae exportantur auro et argento commutat, quibus peius in civitatem nihil invehi potest (705). Accedit quod militia maritima, populis prope mare habitantibus necessaria, fortitudinem et constantiam frangit; milites enim navibus confidentes, simul atque hostis invasit, fuga se ad classem recipiunt (708). — Ante omnia vero quaeri oportet, quinam sint coloni et qua de causa demigrent. Atque facillima est novae urbis constitutio, si coloni eiusdem stirpis sunt, vel loci angustiis vel alia causa ad novas sedes quaerendas coacti, quamquam haec apud eiusmodi colonos difficultas obvenit, quod leges moresque consuetos aegre deponunt; coloni contra variis e locis collecti facillime quidem leges amplectuntur novas, sed concordiam et amorem eis iniicere opus fere arduum est. Tot tantasque habet difficultates legum latio (709). Etenim, quemadmodum omnia quae in vita humana obveniunt, sic etiam legum latio civitatumque constitutio e fortuna variisque casibus videtur suspensa esse; casus autem varii quia per deos obiiciuntur, primaria omnium quae fiunt causa a deo est repetenda. Tertium deinde quod in vita humana regnat ars est. Urbi igitur condendae quum plura alia, quae ad salutem eius spectent obtingere debent, tum praecipue bonus legis lator. Iam quemadmodum artifex

aliquid postulat quod iam paratum et praesto esse debeat ad opus perficiendum, ita etiam legis lator postulabit ut urbs, cui leges daturus sit, ab uno tyranno gubernetur, qui iuvenis, docilis, fortis et magnanimus sit; nam quo pauciores sunt imperantes iique quo potentiores, eo facilius legis lator urbem constituet; quocirca urbem a tyranno iuveni ac docili gubernatam nullo negotio legis lator componet, eam contra quam plures regunt difficillime. Ita perspicitur tyrannidem facillime posse in civitatem bene moratam et constitutam mutari; secundo loco imperium regale, et tertio civitatem popularem. Iam etsi negari nequit praeclare cum ea civitate agi cui tyrannus sapiens moderatusque obtigerit, qui suo ipse exemplo cives ad virtutem instituat, tamen hoc quod fieri volumus, ut civitas bene constituatur civesque beate vivant, tum demum facillime eventurum esse patet, si, id quod Saturno regnante factum esse fabula tradit, deus ipse hominibus imperet; nam mortalis si rex est, mala et labores declinari non possunt. Nobis igitur nihil relinquitur nisi ut ei quod immortale in nobis est, rationi, imperium tradamus eiusque praeceptis, id est legibus, obediamus. — Quodsi ergo quaeritur quorsus leges spectare debeant, facile est responsu, communem civitatis salutem eis debere propositam esse et in eum tantum qui huiusmodi legibus obediat imperium convenire: ut lex non sit imperatoris serva, sed imperator legis servus; nam ubi lex imperatoris voluntati subiecta est, fieri non potest quin res communis dilabatur. Persequitur videlicet Iustitia vindex eos qui, honores, opes aliasque eiusmodi res adepti, insolenter sese efferunt, divinam legem spernunt nulloque se indigere duce arbitrantur: iustam solventes poenam se ipsos, domum suam, urbem universam penitus perdunt (718). Etenim vita beata frui non potest nisi qui virtutem colit, id est, qui diis se studet similem fieri eosque sancte veneratur. Deos igitur caelestes et terrestres daemonas

que eo qui ipfis debetur honore profequi par eft; fecundo loco parentes, tam vivos quam vita defunctos, coli oportet (plurima enim eis debemus); denique etiam liberis, cognatis, civibus et peregrinis iufta funt praebenda. De his aliisque eiusdem generis praemonere oportet legis latorem, ut civium animos ad virtutem colendam excitet ipfasque ad leges praeparet. Quocirca prooemia ad exhortationem et perfuafionem accommodata praemittantur neceffe eft, quae rem legibus accuratius definiendam adumbrent et generatim de ea exponant (720). Duae funt enim legum fcribundarum rationes, ficut duo medendi modi; una eft mitior illa quae adhortationem et perfuafionem adhibet, altera fevera, quae ftatim et imperat et vetat et poenas conftituit. Quod quidem ut illuftretur, primum de matrimonio legem ftatuit fimplicem, in qua coniugii tempus finitur idque negligenti poena irrogatur; deinde admonitionem fubiicit ad perfuadendum accommodatam. Imperite faciunt qui, admonitione et perfuafione neglectis, minas iactant in legibus condendis.

Δ.

704 Φέρε δή, τίνα δεῖ διανοηθῆναί ποτε τὴν πόλιν ἔσεσθαι; λέγω δὲ οὔτι τοὔνομα αὐτῆς ἐρωτῶν ὅ τί ποτ' ἔστι τὰ νῦν, οὐδ' εἰς τὸν ἔπειτα χρόνον ὅ τι δεήσει καλεῖν αὐτήν· τοῦτο μὲν γὰρ τάχ' ἂν ἴσως καὶ ὁ κατοικισμὸς αὐτῆς ἤ τις τόπος ἢ ποταμοῦ τινὸς ἢ κρήνης ἢ θεῶν ἐπωνυμία τῶν ἐν τῷ
B τόπῳ προςθείη τὴν αὐτῶν φήμην καινῇ γενομένῃ * τῇ πόλει· τόδε δὲ περὶ αὐτῆς ἐστὶν ὃ βουλόμενος μᾶλλον ἐπερωτῶ, πότερον ἐπιθαλαττίδιος ἔσται τις, ἢ χερσαία.

ΚΛ. Σχεδόν, ὦ ξένε, ἀπέχει θαλάττης γε ἡ πόλις ἧς πέρι τὰ νῦν δὴ λεχθέντα ἡμῖν, εἴς τινας ὀγδοήκοντα σταδίους.

ΑΘ. Τί δέ; λιμένες ἆρ' εἰσὶ κατὰ ταῦτα αὐτῆς, ἢ τὸ παράπαν ἀλίμενος;

IV.

Age dum, quam tandem cogitari oportet civitatem futuram eſſe? dico autem nequaquam de nomine eius quaerens quodnam nunc ſit, nec in poſterum tempus quo nuncupanda ſit; hoc enim fortaſſe eius exſtructio dabit, vel locus aliquis vel fluvius vel fons vel deus aliquis eorum qui ibi coluntur nomen ſuum imponet novae exortae urbi; id autem potius eſt quod quaero, ſitne maritima futura, an mediterranea.

Cl. Abeſt fere, hoſpes, a mari urbs de qua nunc loquimur octoginta ſtadia.

Ath. Quid? portusne ſunt hac eius parte, an omnino nullos habet?

ΚΛ. Εὔλιμενος μὲν οὖν *) ταύτῃ γε ὡς δυνατον ἐστι μάλιστα, ὦ ξένε.

ΑΘ. Παπαί, * οἷον λέγεις! τί δὲ περὶ αὐτὴν ἡ χώρα; C
πότερα πάμφορος, ἢ καὶ τινῶν ἐπιδεής;

ΚΛ. Σχεδὸν οὐδενὸς ἐπιδεής.

ΑΘ. Γείτων δὲ αὐτῆς πόλις ἆρ' ἔσται τις πλησίον;

ΚΛ. Οὐ πάνυ· διὸ καὶ κατοικίζεται· παλαιά γάρ τις ἐξοίκησις **) ἐν τῷ τόπῳ γενομένη τὴν χώραν ταύτην ἔρημον ἀπείργασται χρόνον ἀμήχανον ὅσον.

ΑΘ. Τί δ' αὖ; πεδίων τε καὶ ὀρῶν καὶ ὕλης πῶς μέρος ἑκάστων ἡμῖν εἴληχεν;

ΚΛ. Προςέοικε τῇ τῆς ἄλλης Κρήτης * φύσει ὅλη. D

ΑΘ. Τραχυτέραν αὐτήν, ἢ πεδινωτέραν ἂν λέγοις.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Οὐ τοίνυν ἀνίατός γε ἂν εἴη πρὸς ἀρετῆς κτῆσιν· εἰ μὲν γὰρ ἐπιθαλαττία τε ἔμελλεν εἶναι καὶ εὐλίμενος καὶ μὴ πάμφορος, ἀλλ' ἐπιδεὴς πολλῶν, μεγάλου τινὸς ἔδει σωτῆρός τε αὐτῇ καὶ νομοθετῶν θείων τινῶν, εἰ μὴ πολλά τε ἔμελλεν ἤθη καὶ ποικίλα καὶ φαῦλα ἕξειν τοιαύτη φύσει γενομένη· νῦν δὲ παραμύθιον ἔχει τὸ τῶν ὀγδοήκοντα σταδίων. ἐγγύτερον μέντοι τοῦ δέοντος κεῖται τῆς θαλάττης, σχεδὸν ὅσον εὐλιμενωτέραν αὐτήν φης * εἶναι· ὅμως δὲ 705
ἀγαπητὸν καὶ τοῦτο. πρόςοικος γὰρ θάλαττα χώρᾳ τὸ μὲν παρ' ἑκάστην ἡμέραν ἡδύ, μάλα γε μὴν ὄντως ἁλμυρὸν καὶ πικρὸν γειτόνημα· ἐμπορίας γὰρ καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα αὐτήν, ἤθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυχαῖς ἐντίκτουσα, αὐτήν τε πρὸς αὐτὴν τὴν πόλιν ἄπιστον καὶ ἄφιλον ποιεῖ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ὡσαύτως. παραμύθιον δὲ δὴ πρὸς ταῦτα καὶ τὸ πάμφορος εἶναι κέκτηται, * τραχεῖα δὲ οὖσα δῆλον ὡς οὐκ ἂν πολύφορός B
τε εἴη καὶ πάμφορος ἅμα. τοῦτο γὰρ ἔχουσα, πολλὴν ἐξαγωγὴν ἂν παρεχομένη, νομίσματος ἀργυροῦ καὶ χρυσοῦ πάλιν ἀντεμπίπλαιτ' ἄν, οὗ μεῖζον κακόν, ὡς ἔπος εἰπεῖν, πόλει

---

*) γρ. οὖν ἐστί.
**) ἄλλ. ἐξοίκισις.

Cl. Immo hac quidem parte quam maxime est portuosa, hospes.

Ath. Papae, quale narras! quid vero regio quae circum eam est? utrum omnium rerum ferax, an aliquarum indigens?

Cl. Nullius fere indigens.

Ath. Vicina autem num quae urbs est?

Cl. Non est; quocirca etiam conditur; vetus enim quaedam demigratio inde facta regionem hanc desertam reddidit immenso ante spatio.

Ath. Quid porro? ad campos et montes et sylvas quomodo nobis est comparata?

Cl. Similis est tota reliquae Cretae.

Ath. Asperiorem eam, quam planiorem dixeris?

Cl. Sane quidem.

Ath. Non igitur perdita erit ad virtutis comparationem; nam si maritima futura esset et portuosa nec omnium rerum ferax, sed multarum indigens, magnus ei opus foret servator et legum latores quidam divini, ne multos mores et varios pravosque indueret ita naturâ constituta; nunc autem solatium est octoginta stadiorum intervallum. propinquior tamen mari est quam convenit ferme quanto portuosiorem eam dicis esse; attamen etiam in hoc acquiescendum. mare enim regioni vicinum in dies quidem suave, attamen vere salsa et amara vicinitas; nam mercatura et pecuniae per artes cauponias conquirendae studio eam implens moresque versutos et perfidos animis iniiciens efficit, ut perfida et inimica sibimet ipsi pariterque reliquis hominibus urbs exsistat. solatium autem huius quoque rei habet eo quod omnium rerum est ferax; aspera tamen quum sit, eam patet non omnia simulque abunde laturam esse. hoc enim si haberet, multarum rerum exportationem praebens numis vicissim argenteis et aureis repleretur, quo quidem malo nullum fere, si omnia inter se comparaveris, gravius civitati

ἀνθ' ἑνὸς ἓν οὐδὲν ἂν γίγνοιτο εἰς γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν, ὡς ἔφαμεν, εἰ μεμνήμεθα, ἐν τοῖς πρόσθεν λόγοις.

ΚΛ. Ἀλλὰ μεμνήμεθα, καὶ ξυγχωροῦμεν τότε λέγειν ἡμᾶς ὀρθῶς καὶ τά νῦν.

ΑΘ. * Τί δὲ δή; ναυπηγησίμης ὕλης ὁ τόπος ἡμῖν C τῆς χώρας πῶς ἔχει;

ΚΛ. Οὐκ ἔστιν οὔτε τις ἐλάτη λόγου ἀξία οὔτ' αὖ πεύκη, κυπάριττός τε οὐ πολλή· πίτυν τ' αὖ καὶ πλάτανον ὀλίγην ἂν εὕροι τις, οἷς δὴ πρὸς τὰ τῶν ἐντὸς τῶν πλοίων μέρη ἀναγκαῖον τοῖς ναυπηγοῖς χρῆσθαι ἑκάστοτε.

ΑΘ. Καὶ ταῦτα οὐκ ἂν κακῶς ἔχοι τῇ χώρᾳ τῆς φύσεως.

ΚΛ. Τί δή;

ΑΘ. Μιμήσεις πονηρὰς μιμεῖσθαι τοὺς πολεμίους μὴ ῥᾳδίως * δύνασθαί τινα πόλιν ἀγαθόν. D

ΚΛ. Εἰς δὴ τί τῶν εἰρημένων βλέψας εἶπες ὃ λέγεις;

ΑΘ. Ὦ δαιμόνιε, φύλαττέ με εἰς τὸ κατ' ἀρχὰς εἰρημένον ἀποβλέπων, τὸ περὶ τῶν Κρητικῶν νόμων, ὡς πρὸς ἕν τι βλέποιεν. καὶ δὴ καὶ τοῦτ' ἐλέγετον αὐτὸ εἶναι σφὼ τὸ πρὸς τὸν πόλεμον, ἐγὼ δὲ ὑπολαβὼν εἶπον ὡς, ὅτι μὲν εἰς ἀρετήν ποι βλέποι τὰ τοιαῦτα νόμιμα κείμενα, καλῶς ἔχοι, τὸ δ' ὅτι πρὸς μέρος, ἀλλ' οὐ πρὸς πᾶσαν, σχεδὸν οὐ πάνυ * ξυνεχώρουν. νῦν οὖν ὑμεῖς μοι τῆς παρούσης νομο- E θεσίας ἀντιφυλάξατε ἑπόμενοι, ἐὰν ἄρα τι μὴ πρὸς ἀρετὴν τεῖνον ἢ πρὸς ἀρετῆς μόριον νομοθετῶ· τοῦτον γὰρ δὴ τίθεσθαι τὸν νόμον ὀρθῶς ὑποτίθεμαι μόνον, ὃς ἣν δίκην τοξότου ἑκάστοτε στοχάζηται τούτου ὅτῳ * ἂν ξυνεχῶς τού- 706 των τῶν ἀεὶ καλῶν *) τι ξυνέπηται μόνῳ, τὰ δὲ ἄλλα ξύμπαντα παραλείπῃ, ἐάν τέ τις πλοῦτος ἐάν τε ἄρα τι τῶν ἄλλων τῶν τοιούτων ὂν τυγχάνῃ ἄνευ τῶν προειρημένων. τὴν δὲ δὴ μίμησιν ἔλεγον τὴν τῶν πολεμίων τὴν κακὴν τοιάνδε γίγνεσθαι, ὅταν οἰκῇ μέν τις πρὸς θαλάττῃ, λυπῆται δ' ὑπὸ πολεμίων, οἷον· φράσω γὰρ οὔτι μνησικακεῖν βου-

*) ἴσ. ξυνεχῶς ἀεὶ καλῶν τι.

acciderit ad generoforum iuftorumque morum comparationem, ut diximus, fi recordamur, in fuperioribus orationibus.

Cl. Sane recordamur, et concedimus tunc dixiffe nos recte et nunc quoque.

Ath. Quid vero? materiamne navalem locus regionis nobis habet?

Cl. Neque abies aliqua ibi eft memoratu digna neque etiam picea, neque cupreffus copiofa; pinum autem et platanum raram invenies, quibus quidem ad interiores navium partes neceffario utuntur navium fabricatores.

Ath. Etiam haec naturae conditio haud incommoda erit regioni.

Cl. Quid ita?

Ath. Pravos hoftium mores fi urbs aliqua non facile imitari poteft, bonum eft.

Cl. Quaenam fuperius dicta fpectans dixifti id quod ais?

Ath. O praeftantiffime, obferva me intuens in id quod ab initio diximus, Creticas leges unum aliquod fpectare. atque hoc vos dicebatis effe bellum, ego autem fubiiciebam, recte fe habere leges ita pofitas quod ad virtutem fpectarent, hoc vero quod ad partem, et non ad univerfam, non fane rectum effe concedebam. nunc igitur vos in praesente legum latione viciffim me obfervate fequentes, fi quam legem fanciam non ad virtutem fpectantem vel ad virtutis partem; hanc enim folam cenfeo legem recte ferri quae inftar fagittarii femper ad id tendat, ad quod folum pulchri femper aliquid continuofe adiungat, reliqua vero omnia praetermittat, five divitiae fint five reliquorum aliquid huiusmodi ab eis quae ante diximus feiunctum. imitationem autem dixi hoftium pravam hanc effe, fi quis ad mare habitet et ab hoftibus laedatur, velut (dicam enim non iniuriam veterem vobis obiecturus)

λόμενος ὑμῖν· Μίνως γὰρ δή ποτε τοὺς οἰκοῦντας τὴν Ἀττικὴν παρεστήσατο εἰς * χαλεπήν τινα φορὰν δασμοῦ, δύ- B
ναμιν πολλὴν κατὰ θάλατταν κεκτημένος. οἱ δ᾽ οὔτε πω πλοῖα ἐκέκτηντο, καθάπερ νῦν, πολεμικά, οὔτ᾽ αὖ τὴν χώραν πλήρη ναυπηγησίμων ξύλων, ὥστ᾽ εὐμαρῶς ναυτικὴν παρασχέσθαι δύναμιν· οὔκουν οἷοί τ᾽ ἐγένοντο διὰ μιμήσεως ναυτικῆς αὐτοὶ ναῦται γενόμενοι εὐθὺς τότε τοὺς πολεμίους ἀμύνασθαι· ἔτι γὰρ ἂν πλεονάκις ἑπτὰ ἀπολέσαι παῖδας αὐτοῖς ξυνήνεγκε, πρὶν ἀντὶ πεζῶν ὁπλιτῶν * μονίμων ναυτι- C
κοὺς γενομένους ἐθισθῆναι πυκνὰ ἀποπηδῶντας δρομικῶς εἰς τὰς ναῦς ταχὺ πάλιν ἀποχωρεῖν, καὶ δοκεῖν μηδὲν αἰσχρὸν ποιεῖν μὴ τολμῶντας ἀποθνήσκειν μένοντας ἐπιφερομένων πολεμίων, ἀλλ᾽ εἰκυίας *) αὐτοῖς γίγνεσθαι προφάσεις καὶ σφόδρα ἑτοίμας ὅπλα τε ἀπολλῦσι καὶ φεύγουσι δή τινας οὐκ αἰσχράς, ὥς φασι, φυγάς. τοιαῦτα γὰρ ἐκ ναυτικῆς ὁπλιτείας ῥήματα φιλεῖ **) ξυμβαίνειν, οὐκ ἄξια ἐπαίνων πολλάκις μυρίων, * ἀλλὰ τοὐναντίον· ἔθη γὰρ πονηρὰ οὐ- D
δέποτε ἐθίζειν δεῖ, καὶ ταῦτα τὸ τῶν πολιτῶν βέλτιστον μέρος· ἦν δέ που τοῦτό γε καὶ παρ᾽ Ὁμήρου λαβεῖν, ὅτι τὸ ἐπιτήδευμα ἦν τὸ τοιοῦτον οὐ καλόν· Ὀδυσσεὺς γὰρ αὐτῷ λοιδορεῖ τὸν Ἀγαμέμνονα, τῶν Ἀχαιῶν τότε ὑπὸ τῶν Τρώων κατεχομένων τῇ μάχῃ, κελεύοντα τὰς ναῦς εἰς τὴν θάλατταν καθέλκειν· ὁ δὲ χαλεπαίνει τε αὐτῷ καὶ λέγει

Ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ * ἀϋτῆς E
Νῆας ἐϋσσέλμους ἅλαδ᾽ ἕλκειν, ὄφρ᾽ ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐελδομένοισί περ ἔμπης,
Ἡμῖν δ᾽ αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πολέμου, νηῶν ἅλαδ᾽ ἑλκομενάων,
Ἀλλ᾽ ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
* Ἔνθα κε σὴ βουλὴ δηλήσεται, οἷ᾽ ἀγορεύεις. 707

ταῦτ᾽ οὖν ἐγίγνωσκε καὶ ἐκεῖνος, ὅτι κακὸν ἐν θαλάττῃ τριήρεις ὁπλίταις παρεστῶσαι μαχομένοις· καὶ λέοντες ἂν ἐλάφους ἐθισθεῖεν φεύγειν τοιούτοις ἔθεσι χρώμενοι· πρὸς δὲ τούτοις αἱ διὰ τὰ ναυτικὰ πόλεων δυνάμεις ἅμα σωτηρίᾳ τιμὰς

---

*) γρ. εἰκαίας. **) γρ. φασί.

Minos aliquando Atticae incolis grave quoddam tributum imposuit, magnas opes maritimas adeptus. illi autem neque naves habebant, sicut nunc, longas neque regionem materia navali refertam, ut facile vires sibi navales comparare potuissent; quocirca non potuerunt imitatione navali ipsi nautae facti statim tunc hostes propulsare; immo etiam saepius amittere septem pueros satius eis fuisset, quam ita commutari, ut pro pedestribus gravis armaturae militibus eisque statariis navales facti assuescerent crebro desilientes cursim ad naves celeriter recurrere, nihil turpe se facere putantes, si mortem non sustinerent hostium impetum exspectantes, sed quaslibet causas praetexerent easque valde promptas ad arma abiicienda fugasque quasdam haud turpes, ut dicunt, capiendas. huiusmodi enim e navali militia voces solent exsistere, laudibus haud dignae infinitis, sed contra; ad mores enim pravos nemo assuescere debet, nedum optima civium pars; quod quidem etiam ab Homero disci poterat, tale studium non esse honestum; Ulixes enim apud eum reprehendit Agamemnonem, qui, quum Achivi tunc a Troianis pugna premerentur, naves iussisset in mare deduci; ille igitur succenset ei et ita fere dicit: *Qui iubes bello conflato et clamore naves transtris instructas in mare duci, ut etiam magis Troiani voti compotes fiant omnino id cupientes, nobis autem gravis pernicies immineat; neque enim Achivi sustinebunt pugnam, navibus in mare tractis, sed fugam circumspicient cedentque pugna. ubi patebit quale dederis consilium.* hoc igitur ille quoque cognovit malum esse si in mari triremes militibus gravis armaturae praesto essent pugnantibus; etiam leones cervos assuescerent fugere talibus si uterentur moribus; accedit quod urbium pote-

οὐ τῷ καλλίστῳ τῶν πολεμικῶν ἀποδιδόασι· διὰ κυβερνητικῆς γὰρ καὶ πεντηκονταρχίας καὶ ἐρετικῆς καὶ *) παντοδαπῶν * καὶ οὐ πάνυ σπουδαίων ἀνθρώπων γιγνομένης τὰς τιμὰς B ἑκάστοις οὐκ ἂν δύναιτο ὀρθῶς ἀποδιδόναι τις· καίτοι πῶς ἂν ἔτι πολιτεία γίγνοιτο ὀρθὴ τούτου στερομένη;

ΚΛ. Σχεδὸν ἀδύνατον· ἀλλὰ μήν, ὦ ξένε, τήν γε περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους γενομένην ἡμεῖς γε οἱ Κρῆτες τὴν Ἑλλάδα φαμὲν σῶσαι.

ΑΘ. Καὶ γὰρ οἱ πολλοὶ τῶν Ἑλλήνων τε καὶ βαρβάρων λέγουσι ταῦτα· ἡμεῖς δέ, ὦ * φίλε, ἐγώ τε καὶ ὅδε C Μέγιλλος, φαμὲν τὴν πεζὴν μάχην τὴν ἐν Μαραθῶνι γενομένην καὶ ἐν Πλαταιαῖς τὴν μὲν ἄρξαι τῆς σωτηρίας τοῖς Ἕλλησι, τὴν δὲ τέλος ἐπιθεῖναι, καὶ τὰς μὲν βελτίους τοὺς Ἕλληνας ποιῆσαι, τὰς δὲ οὐ βελτίους, ἵν' οὕτω λέγωμεν περὶ τῶν τότε ξυσσωσασῶν ἡμᾶς μαχῶν· πρὸς γὰρ τῇ περὶ Σαλαμῖνα τὴν περὶ τὸ Ἀρτεμίσιόν σοι προςθήσω κατὰ θάλατταν μάχην. ἀλλὰ γὰρ ἀποβλέποντες νῦν πρὸς πολιτείας * ἀρετὴν καὶ χώρας φύσιν σκοπούμεθα καὶ νόμων τάξιν, οὐ D τὸ σώζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, καθάπερ οἱ πολλοί, τὸ δ' ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι τοσοῦτον χρόνον ὅσον ἂν ὦσιν. εἴρηται δ' ἡμῖν, οἶμαι, καὶ τοῦτο ἐν τοῖς πρόσθεν.

ΚΛ. Τί μήν;

ΑΘ. Τοῦτο τοίνυν σκοπώμεθα μόνον, εἰ κατὰ τὴν αὐτὴν ὁδὸν ἐρχόμεθα βελτίστην οὖσαν πόλεσι κατοικίσεων πέρι καὶ νομοθεσιῶν.

ΚΛ. Καὶ πολύ γε.

ΑΘ. * Λέγε δὴ τοίνυν τὸ τούτοις ἑξῆς, τίς ὁ κατοικιζόμενος ὑμῖν λεὼς ἔσται· πότερον ἐξ ἁπάσης Κρήτης ὁ ἐθέλων; ὡς ὄχλου τινὸς ἐν ταῖς πόλεσιν ἑκάσταις γεγενημένου πλείονος, ἢ κατὰ τὴν ἐκ τῆς γῆς τροφήν· οὐ γάρ που τὸν βουλόμενόν γε Ἑλλήνων ξυνάγετε· καίτοι τινὰς ὑμῖν ἔκ τε Ἄργους ὁρῶ καὶ Αἰγίνης καὶ ἄλλοθεν τῶν Ἑλλήνων εἰς E

*) ἴσ. ἀποδιδόασι· κυβερνητικῆς γὰρ — ἐρετικῆς διὰ παντοδαπῶν κτλ.

ſtates copiis navalibus ſalutem conſequutae non optimo militari generi honores tribuunt; nam quum gubernatio, praefectura navis actuariae quinquaginta remorum et remigatio ab hominibus peragatur omnis generis nec ſane laudabilibus, honores cuique non poterit recte quisquam tribuere; quamquam civitas quî poterit recta conſiſtere hoc privata?

Cl. Ferme nequit; attamen, hoſpes, pugnam navalem apud Salamina a Graecis cum barbaris commiſſam nos quidem Cretes Graeciam dicimus ſervaſſe.

Ath. Ac ſane plerique Graecorum et barbarorum id affirmant; nos autem, amice, ego et hic, Megillus, dicimus pugnas pedeſtres Marathoniam et ad Plataeas commiſſam Graecorum ſalutem et inchoaſſe et abſolviſſe, et his quidem meliores eſſe factos Graecos, illis vero non meliores, ut ita loquamur de proeliis quae tunc nos conſervarunt; Salaminiae enim pugnae addam tibi proelium navale apud Artemiſium factum. verum enimvero ſpectantes nunc civitatis virtutem de loci natura quaerimus legumque ordine, non ſervari et eſſe tantum hominibus praeſtantiſſimum exiſtimantes, quemadmodum plerique, ſed quam optimos fieri et eſſe tamdiu quoad ſint. dictum autem nobis, opinor, etiam hoc in ſuperioribus.

Cl. Maxime.

Ath. Hoc igitur tantum quaeramus eandemne viam ingrediamur quae optima ſit civitatibus in exſtructione legumque latione.

Cl. Ac longe quidem.

Ath. Dic igitur quod deinceps ſequitur quinam futurus ſit populus a vobis deducendus; utrum univerſa Creta quicumque volet? quippe turba in urbibus quibusque adeo creſcente ut terra eam alere nequeat; neque enim Graecorum quemvis colligitis; quamquam nonnullos video ab Argis et Aegina aliisque Graeciae regionibus oriundos in terra veſtra habitantes. praeſentem

τὴν χώραν κατῳκισμένους. * τὸ δὲ δὴ παρὸν ἡμῖν λέγε, πόθεν ἔσεσθαί φης στρατόπεδον τῶν πολιτῶν τὰ νῦν; 708

ΚΛ. Ἔκ τε Κρήτης ξυμπάσης ἔοικε γίγνεσθαι *), καὶ τῶν ἄλλων δὲ Ἑλλήνων μάλιστά μοι φαίνονται τοὺς ἀπὸ Πελοποννήσου προςδέξεσθαι ξυνοίκους· καὶ γάρ, ὃ νῦν δὴ λέγεις, ἀληθὲς φράζεις, ὡς ἐξ Ἄργους εἰσί, καὶ τό γε μάλιστ' εὐδοκιμοῦν τὰ νῦν ἐνθάδε γένος, τὸ Γορτυνικόν· ἐκ Γόρτυνος γὰρ τυγχάνει ἀπῳκηκὸς ταύτης τῆς Πελοποννησιακῆς.

ΑΘ. * Οὐ τοίνυν εὔκολος ὁμοίως γίγνοιτ' ἂν ὁ κατοι- B
κισμὸς ταῖς πόλεσιν, ὅταν μὴ τὸν τῶν ἑσμῶν γίγνηται τρόπον, ἓν γένος ἀπὸ μιᾶς ἰὸν χώρας οἰκίζηται, φίλον παρὰ φίλων, στενοχωρίᾳ τινὶ πολιορκηθὲν γῆς ἤ τισιν ἄλλοις τοιούτοις παθήμασιν ἀναγκασθέν· ἔστι δ' ὅτε καὶ στάσεσι βιαζόμενον ἀναγκάζοιτ' ἂν ἑτέρωσε ἀποξενοῦσθαι πόλεώς τι μόριον· ἤδη δέ ποτε καὶ ξυνάπασα πόλις τινῶν ἔφυγεν, ἄρδην κρείττονι κρατηθεῖσα πολέμῳ. ταῦτ' * οὖν πάντ' ἐστὶ C
τῇ μὲν ῥᾴω κατοικίζεσθαί τε καὶ νομοθετεῖσθαι, τῇ δὲ χαλεπώτερα. τὸ μὲν γὰρ ἕν τι εἶναι γένος ὁμόφωνον καὶ ὁμόνομον ἔχει τινὰ φιλίαν, κοινωνὸν ἱερῶν ὂν καὶ τῶν τοιούτων πάντων, νόμους δ' ἑτέρους καὶ πολιτείας ἄλλας τῶν οἴκοθεν οὐκ εὐπετῶς ἀνέχεται, τὸ δ' ἐνίοτε πονηρίᾳ νόμων ἐστασιακὸς καὶ διὰ ξυνήθειαν ζητοῦν ἔτι χρῆσθαι τοῖς αὐτοῖς ἤθεσι, δι' ἃ καὶ πρότερον ἐφθάρη, χαλεπὸν τῷ κατοικίζοντι καὶ νομοθετοῦντι καὶ δυςπειθὲς * γίγνεται· τὸ δ' αὖ παντο- D
δαπὸν ἐς ταὐτὸ ξυνεῤῥυηκὸς γένος ὑπακοῦσαι μέν τινων νόμων καινῶν τάχα ἂν ἐθελήσειε μᾶλλον, τὸ δὲ ξυμπνεῦσαι καὶ καθάπερ ἵππων ζεῦγος καθ' ἕνα εἰς ταὐτόν, τὸ λεγόμενον, ξυμφυσῆσαι χρόνου πολλοῦ καὶ παγχάλεπον. ἀλλ' ὅμως ἐστὶ νομοθεσία καὶ πόλεων οἰκισμοὶ πάντων τελεώτατον πρὸς ἀρετὴν ἀνδρῶν.

ΚΛ. Εἰκός· ὅπῃ δ' αὖ βλέπων τοῦτ' εἴρηκας, φράζ' ἔτι σαφέστερον.

---

*) ἄλλ. γενήσεσθαι.

vero nobis dic civium multitudinem unde futuram esse narres.

Cl. E Creta universa et inter reliquos Graecos maxime mihi videntur e Peloponneso oriundos recepturi esse coloniae socios; etenim, quod modo dixisti, verum est, ex Argis profectos esse illos, et genus quidem quod nunc hîc maxime celebratur Gortynicum; e Gortyna enim illa Peloponnesia huc migravit.

Ath. Verum non aeque facile erit urbem condere, si non in apium examinis modum fit ut unum genus ex una profectum regione, amicum ab amicis, demigret angustia quadam terrae pressum vel aliis huiusmodi causis coactum; est vero etiam nonnumquam ut seditionibus expulsa alio cogatur urbis pars migrare; iam aliquando etiam universa civitas fugit, bello qui impar erat prorsus devicta: haec igitur omnia partim faciliora sunt constitutu legibusque temperatu, partim difficiliora. nam si unum est genus eiusdem linguae earundemque legum, amicitia quadam tenetur, sacra et omnia eiusdem generis communia habens, alias vero leges civitatisque constitutiones a domesticis diversas non facile suscipit, sed nonnumquam ob legum pravitatem seditionem concitans et propter consuetudinem adhuc îsdem moribus uti cupiens, quibus iam prius corruptum est, difficile in coloniae gubernatorem legumque latorem et ab obedientia aversum exsistit; genus contra varium in unum conflatum, magis quidem forsitan legibus quibusdam novis voluerit obtemperare, ut vero concinat et sicut equorum iugum in unum, ut in proverbio est, conspiret multo opus est tempore quum perdifficile sit. attamen est legum latio civitatumque constitutio omnium perfectissima ad virtutem virorum.

Cl. Videtur sane; quorsum vero spectans hoc dixeris, etiam clarius explica.

ΑΘ. Ὦ 'γαθέ, ἔοικα περὶ νομοθετῶν ἐπαινῶν *) καὶ E
σκοπῶν ἅμα ἐρεῖν τι καὶ φαῦλον· ἀλλ' ἐὰν πρὸς καιρόν τινα
λέγωμεν, πρᾶγμα οὐδὲν γίγνοιτ' ἂν ἔτι. καίτοι τί ποτε δυς-
χεραίνω; σχεδὸν γάρ τοι πάντα οὕτως ἔοικεν ἔχειν τἀν-
θρώπινα.

ΚΛ. Τοῦ δὴ πέρι λέγεις;

ΑΘ. Ἔμελλον λέγειν ὡς οὐδείς ποτε ἀνθρώπων * οὐδὲν 709
νομοθετεῖ, τύχαι δὲ καὶ ξυμφοραὶ παντοῖαι πίπτουσαι παν-
τοίως νομοθετοῦσι τὰ πάντα ἡμῖν. ἢ γὰρ πόλεμός τις βιασά-
μενος ἀνέτρεψε πολιτείας καὶ μετέβαλε νόμους, ἢ πενίας
χαλεπῆς ἀπορία· πολλὰ δὲ καὶ νόσοι ἀναγκάζουσι καινοτο-
μεῖν λοιμῶν τε ἐμπιπτόντων **), καὶ χρόνον ἐπὶ πολὺν ἐνιαυ-
τῶν πολλῶν πολλάκις ἀκαιρία. ταῦτα δὴ πάντα προϊδών τις
ἀΐξειεν ἂν εἰπεῖν ὅπερ ἐγὼ νῦν δή, τὸ θνητῶν μὲν μηδένα B
νομοθετεῖν μηδέν, * τύχας δ' εἶναι σχεδὸν ἅπαντα τὰ ἀν-
θρώπινα πράγματα. τὸ δ' ἔστι περί τε ναυτιλίαν καὶ κυβερ-
νητικὴν καὶ ἰατρικὴν καὶ στρατηγικὴν πάντα ταῦτ' εἰπόντα
δοκεῖν εὖ λέγειν· ἀλλὰ γὰρ ὁμοίως αὖ καὶ τόδε ἔστι λέγοντα
εὖ λέγειν ἐν τοῖς αὐτοῖς τούτοις.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ και-
ρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα· ἡμερώτερον μὴν C
τρίτον ξυγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην· * καιρῷ
γὰρ χειμῶνος ξυλλαβέσθαι κυβερνητικὴν ἢ μή, μέγα πλεονέκ-
τημα ἔγωγ' ἂν θείην· ἢ πῶς;

ΚΛ. Οὕτως.

ΑΘ. Οὐκοῦν καὶ τοῖς ***) ἄλλοις ὡσαύτως κατὰ τὸν
αὐτὸν ἂν ἔχοι λόγον· καὶ δὴ καὶ νομοθεσίᾳ ταὐτὸν τοῦτο
δοτέον· τῶν ἄλλων ξυμπιπτόντων ὅσα δεῖ χώρᾳ ξυντυχεῖν,
εἰ μέλλει ποτὲ εὐδαιμόνως οἰκήσειν, τὸν νομοθέτην ἀληθείας
ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν.

ΚΛ. Ἀληθέστατα λέγεις. D

ΑΘ. Οὐκοῦν * ὅ γε πρὸς ἕκαστόν τι τῶν εἰρημένων

---

*) ἄλλ. ἐπανιών.
**) ἴσ. λοιμῶν ἐμπιπτόντων.
***) ἴσ. ἐν τοῖς.

Ath. O bone, videor de legum latoribus exponens eosque celebrans ſimul etiam vile quid dicere; at ſi opportune dicamus, nihil iam referet. quamquam quid tandem male me habet? ferme enim omnia ita videntur comparata eſſe humana.

Cl. Quidnam ſignificas?

Ath. Volebam dicere nullum umquam hominem lege quicquam ſancire, ſed fortunas caſusque varios incidentes vario modo omnia nobis conſtituere. nam vel bellum aliquod violentum evertit civitates mutatque leges, vel paupertatis gravis miſeria; ſaepius vero etiam morbi cogunt res novas moliri peſtilentia incidente, et tempus per longum annorum multorum ſaepenumero intemperies. quae quidem omnia providens quispiam concitetur ut dicat quod ego modo, non mortalem quemquam lege quicquam conſtituere, ſed fortunas fere eſſe omnes res humanas. atque qui in navigatione et gubernatione et medicina et arte imperatoria omnia haec dicit bene videri poteſt loqui; at vero pariter hoc quoque bene dicitur in his ipſis.

Cl. Quidnam?

Ath. Deum omnia et cum deo fortunam et opportunitatem humana gubernare univerſa; mitius tamen concedere tertio hos ſequi debere artem; tempeſtate enim coorta utrum arte gubernandi adiuvemur necne plurimum intereſſe cenſeo; an quomodo?

Cl. Ita.

Ath. In reliquis igitur ſimiliter res ſic ſe habebit; atque etiam legum lationi idem hoc tribuendum; ceteris obtingentibus quae regioni debeant accidere, ſi felicem umquam adeptura ſit conſtitutionem, legum latorem verum cuique civitati debere obtingere.

Cl. Veriſſimum eſt quod dicis.

Ath. Nonne vero qui in ſingulis quas diximus re-

ἔχων τὴν τέχνην κἂν εὔξασθαί που δύναιτο ὀρθῶς, τι παρὸν *) αὐτῷ διὰ τύχης τῆς τέχνης ἂν μόνον ἐπιδέοι;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Οἵ τε ἄλλοι γε δὴ πάντες οἱ νῦν δὴ ῥηθέντες κελευόμενοι τὴν αὑτῶν εὐχὴν εἰπεῖν εἴποιεν ἄν· ἢ γάρ;

ΚΛ. Τί μήν;

ΑΘ. Ταὐτὸν δὴ καὶ νομοθέτης, οἶμαι, δράσειεν.

ΚΛ. Ἔγωγ' οἶμαι.

ΑΘ. Φέρε δή, νομοθέτα, πρὸς αὐτὸν φῶμεν, τί σοι καὶ πῶς πόλιν ἔχουσαν δῶμεν, * ὃ λαβὼν ἕξεις ὥστ' ἐκ τῶν E
λοιπῶν αὐτὸς τὴν πόλιν ἱκανῶς διοικῆσαι; Τί μετὰ τοῦτ' εἰπεῖν ὀρθῶς ἐστιν; ἆρα τοῦ νομοθέτου φράζωμεν τοῦτο **); ἢ γάρ;

ΚΛ. Ναί.

ΑΘ. Τόδε· τυραννουμένην μοι δότε τὴν πόλιν, φήσει. τύραννος δ' ἔστω νέος, μνήμων καὶ εὐμαθὴς καὶ ἀνδρεῖος καὶ μεγαλοπρεπὴς φύσει. ὃ δὲ καὶ ἐν τοῖς πρόσθεν ἐλέγομεν δεῖν ἕπεσθαι ξύμπασι τοῖς τῆς ἀρετῆς μέρεσι, καὶ νῦν τῇ * τυραννουμένῃ ψυχῇ τοῦτο ξυνεπέσθω, ἐὰν μέλλῃ τῶν 710
ἄλλων ὑπαρχόντων ὄφελος εἶναί τι.

ΚΛ. Σωφροσύνην μοι δοκεῖ φράζειν, ὦ Μέγιλλε, δεῖν εἶναι τὴν ξυνεπομένην ὁ ξένος· ἢ γάρ;

ΑΘ. Τὴν δημώδη γε, ὦ Κλεινία, καὶ οὐχ ἥν τις σεμνύνων ἂν λέγοι, φρόνησιν προςαναγκάζων εἶναι τὸ σωφρονεῖν, ἀλλ' ὅπερ εὐθὺς παισὶ καὶ θηρίοις, τοῖς μὲν ἀκρατῶς ἔχειν πρὸς τὰς ἡδονάς, ξύμφυτον ἐπανθεῖ, τοῖς δὲ ἐγκρατῶς·
* ὃ καὶ μονούμενον ἔφαμεν τῶν πολλῶν ἀγαθῶν λεγομένων B
οὐκ ἄξιον εἶναι λόγου· ἔχετε γὰρ ὃ λέγω που.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ταύτην τοίνυν ἡμῖν ὁ τύραννος τὴν φύσιν ἐχέτω πρὸς ἐκείναις ταῖς φύσεσιν, εἰ μέλλει πόλις ὡς δυνατόν ἐστι τάχιστα καὶ ἄριστα σχήσειν πολιτείαν ἣν λαβοῦσα εὐδαιμονέ-

---

*) ἴσ. ὀρθῶς τι, ὃ παρόν. ἄλλ. ὀρθῶς, τί παρόν.
**) ἴσ. ἆρα τὸ τοῦ ν. φράζωμεν; ἢ γάρ;

bus artem tenet, recte etiam precari aliquid poterit, quo forte fortuna ei parato arte tantum opus erit?

Cl. Sane quidem.

Ath. Ac reliqui quidem omnes modo dicti si vota sua dicere iubeantur dicant; nonne?

Cl. Quidni?

Ath. Idem etiam legum lator, opinor, faciat.

Cl. Equidem opinor.

Ath. Age dum, legum lator (ita eum alloquamur), quid habere oportet civitatem tibi tradendam et quomodo, quod sumens posthac ipse civitatem possis constituere? Quid deinceps recte dici poterit? an quod legum lator respondebit proferamus? nonne?

Cl. Etiam.

Ath. Hoc igitur dicet; civitatem mihi tradite a tyranno gubernatam; tyrannus autem esto iuvenis, memor, docilis, fortis et natura magnanimus. quod vero etiam supra dicebamus adiunctum esse debere omnibus virtutis partibus, et etiam nunc animo tyrannico adiunctum esto, si reliqua quae adsunt utilitatem sunt habitura.

Cl. Temperantiam mihi videtur dicere, Megille, adiunctam esse debere hospes; nonne?

Ath. Popularem quidem, Clinia, non quam quis iactans dixerit, probare studens prudentiam esse temperantiam, sed id quod statim pueris et bestiis innatum efficit ut partim intemperanter voluptatibus indulgeant, partim temperanter eis fruantur; quod etiam diximus desertum a plurimis quae dicerentur bonis haud dignum esse oratione; tenetis enim sine dubio quod dico.

Cl. Sane quidem.

Ath. Hanc igitur nobis tyrannus naturam habeto illis naturis adiectam, si urbs quam poterit celerrime et optime civitatis constitutionem nactura est qua accepta

στατα διάξει· θάττων γὰρ ταύτης καὶ ἀμείνων πολιτείας διάθεσις οὔτ' ἔστιν οὔτ' ἄν ποτε γένοιτο.

ΚΛ. * Πῶς δὴ καὶ τίνι λόγῳ τοῦτο, ὦ ξένε, λέγων C ἄν τις ὀρθῶς λέγειν αὑτὸν *) πείθοι;

ΑΘ. Ῥᾴδιόν που τοῦτό γε νοεῖν ἐστιν, ὦ Κλεινία, κατὰ φύσιν ὡς ἔστι τοῦθ' οὕτως.

ΚΛ. Πῶς λέγεις; εἰ τύραννος γένοιτο, φῄς, νέος, σώφρων, εὐμαθής, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής;

ΑΘ. Εὐτυχής, πρόσθες **), μὴ κατ' ἄλλο, ἀλλὰ τὸ γενέσθαι τε ἐπ' αὐτοῦ νομοθέτην ἄξιον ἐπαίνου, καί τινα τύχην εἰς ταὐτὸν ἀγαγεῖν αὐτῷ· γενομένου γὰρ * τούτου D πάντα σχεδὸν ἀπείργασται τῷ θεῷ, ἅπερ ὅταν βουληθῇ διαφερόντως εὖ πρᾶξαί τινα πόλιν. δεύτερον δέ, ἐάν ποτέ τινες δύο ἄρχοντες γένωνται τοιοῦτοι, τρίτον δ' αὖ καὶ κατὰ λόγον ὡσαύτως χαλεπώτερον, ὅσῳ πλείους· ὅσῳ δ' ἐναντίον, ἐναντίως.

ΚΛ. Ἐκ τυραννίδος ἀρίστην φῂς γενέσθαι πόλιν ἄν, ὡς φαίνει, μετὰ νομοθέτου γε ἄκρου καὶ τυράννου κοσμίου, καὶ ῥᾷστά τε καὶ τάχιστ' ἂν μεταβαλεῖν εἰς τοῦτο ἐκ τοῦ τοιούτου, * δεύτερον δὲ ἐξ ὀλιγαρχίας· ἢ πῶς λέγεις; E καὶ τὸ τρίτον ἐκ δημοκρατίας.

ΑΘ. Οὐδαμῶς, ἀλλ' ἐκ τυραννίδος μὲν πρῶτον, δεύτερον δὲ ἐκ βασιλικῆς πολιτείας, τρίτον δὲ ἔκ τινος δημοκρατίας· τὸ δὲ τέταρτον, ὀλιγαρχία τὴν τοῦ τοιούτου γένεσιν χαλεπώτατα δύναιτ' ἂν προσδέξασθαι· πλεῖστοι γὰρ ἐν αὐτῇ δυνάσται γίγνονται. λέγομεν δὴ ταῦτα γίγνεσθαι τότε, ὅταν ἀληθὴς μὲν νομοθέτης γένηται φύσει, κοινὴ δὲ αὐτῷ τις ῥώμη ξυμβῇ πρὸς τοὺς ἐν τῇ πόλει μέγιστον δυναμένους· * οὗ δ' ἂν τοῦτο ἀριθμῷ μὲν βραχύτατον, ἰσχυρότατον δέ, 711 καθάπερ ἐν τυραννίδι, γένηται, ταύτῃ καὶ τότε τάχος καὶ ῥᾳστώνη τῆς μεταβολῆς γίγνεσθαι φιλεῖ.

ΚΛ. Πῶς; οὐ γὰρ μανθάνομεν.

---

*) γρ. αὐτὸν ἄν.
**) γρ. μεγαλοπρεπής, εὐτυχής; ΑΘ. Πρόσθες.

beatiſſime vivet; celerior enim hac atque melior civitatis diſpoſitio neque eſt neque umquam erit.

Cl. Quomodo et qua ratione hoc, hoſpes, dicens quispiam recte ſe dicere ſibi perſuadebit?

Ath. Facile autem hoc eſt intellectu, Clinia, natura hoc ita ſe habere.

Cl. Quomodo dicis? ſi tyrannus exſiſtat, ais, iuvenis, temperans, docilis, memor, fortis, magnanimus?

Ath. Adde, ſi felix erit, hac ſola in re quod legum lator ſuo tempore reperiatur laude dignus, et fortuna ambos eodem ducat; hoc enim ſi acciderit, omnia fere effecerit deus, quae efficit quando inſignem civitati alicui felicitatem volt tribuere. ſecundum vero eſt hoc, ſi quando duo huiusmodi imperatores exſiſtant, et tertium idque pro portione tanto difficilius, quanto plures; quanto vero pauciores, tanto facilius.

Cl. E tyrannide optimam dicis exſiſtere civitatem, ut videris, legum latoris praeſtantis et tyranni modeſti beneficio, et facillime celerrimeque ex illa in hanc tranſire; ſecundo autem e paucorum imperio; an quomodo dicis? et tertio e populari civitatis genere.

Ath. Minime vero, ſed e tyrannide primo, ſecundo e regali civitate, tertio e populari quadam; quarto paucorum imperium huiusmodi civitatis ortum difficillime poterit ſuscipere; plurimi enim in eo ſunt dominatores. dicimus igitur haec fieri tum, quum verus natura exſiſtat legum lator, et communis ei poteſtas obtingat cum eis qui plurimum in civitate valeant; ubi vero hoc ad numerum quidem pauciſſimum, ad vim autem potentiſſimum, ſicut in tyrannide, ibi et tum celerrima et facillima fieri ſolet mutatio.

Cl. Quomodo? non enim intelligimus.

ΑΘ. Καὶ μὴν εἴρηται γ' ἡμῖν οὐχ ἅπαξ, ἀλλ', οἶμαι, πολλάκις· ὑμεῖς δὲ τάχα οὐδὲ τεθέασθε τυραννουμένην πόλιν.

ΚΛ. Οὐδέ γε ἐπιθυμητὴς ἔγωγ' εἰμὶ τοῦ θεάματος.

ΑΘ. Καὶ μὴν τοῦτό γ' ἂν ἴδοις ἐν αὐτῇ * τὸ νῦν δὴ B λεγόμενον.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Οὐδὲν δεῖ πόνων οὐδέ τινος παμπόλλου χρόνου τῷ τυράννῳ μεταβαλεῖν βουληθέντι πόλεως ἤθη, πορεύεσθαι δὲ αὐτὸν δεῖ πρῶτον ταύτῃ ὅπῃπερ ἂν ἐθελήσῃ, ἐάν τε πρὸς ἀρετῆς ἐπιτηδεύματα προτρέπεσθαι τοὺς πολίτας ἐάν τε ἐπὶ τοὐναντίον, αὐτὸν πρῶτον πάντα ὑπογράφοντα τῷ πράττειν, τὰ μὲν ἐπαινοῦντα * καὶ τιμῶντα, τὰ δ' αὖ πρὸς ψόγον C ἄγοντα, καὶ τὸν μὴ πειθόμενον ἀτιμάζοντα καθ' ἑκάστας τῶν πράξεων.

ΚΛ. Καὶ πῶς οἰόμεθα ταχὺ ξυνακολουθήσειν τοὺς ἄλλους πολίτας τῷ τὸν τοιαύτην πειθὼ καὶ ἅμα βίαν εἰληφότι;

ΑΘ. Μηδεὶς ἡμᾶς πειθέτω, ὦ φίλοι, ἄλλῃ θᾶττον καὶ ῥᾷον μεταβάλλειν ἄν ποτε πόλιν τοὺς νόμους, ἢ τῇ τῶν δυναστευόντων ἡγεμονίᾳ, μηδὲ νῦν γε ἄλλῃ γίγνεσθαι μηδ' αὖθίς ποτε γενήσεσθαι· * καὶ γὰρ οὖν ἡμῖν οὐ τοῦτ' ἔστιν D ἀδύνατον οὐδὲ χαλεπῶς ἂν γενόμενον, ἀλλὰ τόδ' ἐστὶ τὸ χαλεπὸν γενέσθαι, καὶ ὀλίγον δὴ τὸ γεγονὸς ἐν τῷ πολλῷ χρόνῳ· ὅταν δὲ ξυμβῇ, μυρία καὶ πάντ' ἐν πόλει ἀγαθὰ ἀπεργάζεται, ἐν ᾗ ποτ' ἂν ἐγγένηται.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ὅταν ἔρως θεῖος τῶν σωφρόνων τε καὶ δικαίων ἐπιτηδευμάτων ἐγγένηται μεγάλαις τισὶ δυναστείαις, ἢ κατὰ μοναρχίαν δυναστευούσαις ἢ κατὰ πλούτων ὑπεροχὰς διαφερούσαις ἢ γενῶν· * ἢ τὴν Νέστορος ἐάν ποτέ τις ἐπανε- E νέγκῃ φύσιν, ὃν τῇ τοῦ λέγειν ῥώμῃ φασὶ πάντων διενεγκόντα ἀνθρώπων πλέον ἔτι τῷ σωφρονεῖν διαφέρειν· τοῦτ' οὖν ἐπὶ μὲν Τροίας, ὥς φασι, γέγονεν, ἐφ' ἡμῶν δὲ οὐδαμῶς· εἰ δ' οὖν καὶ γέγονεν ἢ καὶ γενήσεται τοιοῦτος ἢ νῦν ἡμῶν ἔστι τις, μακαρίως μὲν αὐτὸς ζῇ, μακάριοι δὲ οἱ

Ath. Et dictum tamen a nobis est non semel, sed, opinor, saepius; vos autem fortasse nec vidistis civitatem tyrannicam.

Cl. Neque etiam equidem cupidus sum huius spectaculi.

Ath. At vero hoc spectes in ea quod modo dicebamus.

Cl. Quidnam?

Ath. Nihil opus est laboribus neque perlongo tempore tyranno civitatis mores mutare volenti, sed ipsum oportet primum hanc viam ingredi, qua cives impellere voluerit sive ad virtutis studia sive ad contrarium, ipsum primum omnia praescribentem agendo, alia laudantem et honorantem, alia vituperantem, et singulis in actionibus eum qui non obediat ignominia afficientem.

Cl. Et quo pacto putamus cito sequuturos esse reliquos cives eum qui talem persuadendi rationem simulque vim nactus fuerit?

Ath. Nemo nobis persuadeat, amici, alia ratione celerius et facilius civitatem umquam mutaturam esse leges, quam imperantium ductu et exemplo, neque nunc aliter fieri neque aliquando factum iri; etenim nobis hoc non est aliquid quod fieri nequeat neque quod difficile sit factu, sed hoc est difficile factu raroque factum tam longum tempus; quod autem si contigerit, infinita omniaque in civitate bona efficiet, in quacumque evenerit.

Cl. Quidnam dicis?

Ath. Si divinus temperatorum iustorumque studiorum amor in magnis quibusdam dominationibus exsistat, in quibus vel unus regit vel divitiis vel generum nobilitate eminentes; aut si quando quispiam Nestoris ingenium attulerit, quem dicendi facultate dicunt omnibus praestitisse hominibus et magis etiam temperantia excelluisse; et hoc quidem Troiae temporibus, ut dicunt, factum est, nostris haudquaquam; quodsi igitur fuit vel erit vel nunc nostrum quis est talis, beate et ipse vivit

ξυνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων. ὡσαύτως δὲ καὶ ξυμπάσης δυνάμεως ὁ αὐτὸς πέρι λόγος, ὡς, ὅταν εἰς ταὐτὸν * τῷ φρονεῖν τε καὶ σωφρονεῖν ἡ μεγίστη 712 δύναμις ἐν ἀνθρώπῳ ξυμπέσῃ, τότε πολιτείας τῆς ἀρίστης καὶ νόμων τῶν τοιούτων φύεται γένεσις, ἄλλως δὲ οὐ μή ποτε γένηται. ταῦτα μὲν οὖν καθαπερεὶ μῦθός τις λεχθεὶς κεχρησμῳδήσθω, καὶ ἐπιδεδείχθω τῇ μὲν χαλεπὸν ὂν τὸ πόλιν εὔνομον γίγνεσθαι, τῇ δ᾽, εἴπερ γένοιτο ὃ λέγομεν, πάντων τάχιστόν τε καὶ ῥᾷστον μακρῷ.

ΚΛ. Πῶς;

ΑΘ. Πειρώμεθα προσαρμόττοντες * τῇ πόλει σοι, καθάπερ παῖδα πρεσβῦται, πλάττειν τῷ λόγῳ τοὺς νόμους. B

ΚΛ. Ἴωμεν δὴ καὶ μὴ μέλλωμεν ἔτι.

ΑΘ. Θεὸν δὴ πρὸς τὴν τῆς πόλεως κατασκευὴν ἐπικαλώμεθα· ὁ δὲ ἀκούσειέ τε καὶ ἀκούσας ἵλεως εὐμενής τε ἡμῖν ἔλθοι ξυνδιακοσμήσων τήν τε πόλιν καὶ τοὺς νόμους.

ΚΛ. Ἔλθοι γὰρ οὖν.

ΑΘ. Ἀλλὰ τίνα δή ποτε πολιτείαν ἔχομεν ἐν νῷ τῇ πόλει * προστάττειν; C

ΚΛ. Οἷον δὴ τί λέγων βουληθεὶς φράζ᾽ ἔτι σαφέστερον· οἷον δημοκρατίαν τινὰ ἢ ὀλιγαρχίαν ἢ ἀριστοκρατίαν ἢ βασιλικήν· οὐ γὰρ δὴ τυραννίδα γέ που λέγοις ἄν, ὥς γ᾽ ἡμεῖς ἂν οἰηθεῖμεν.

ΑΘ. Φέρε δὴ τοίνυν, πότερος ὑμῶν ἀποκρίνασθαι πρότερος ἂν ἐθέλοι τὴν οἴκοι πολιτείαν εἰπών, τίς τούτων ἐστίν;

ΜΕ. Μῶν οὖν τὸν πρεσβύτερον ἐμὲ δικαιότερον εἰπεῖν πρότερον;

ΚΛ. * Ἴσως. D

ΜΕ. Καὶ μὴν ξυννοῶν γε, ὦ ξένε, τὴν ἐν Λακεδαίμονι πολιτείαν οὐκ ἔχω σοι φράζειν οὕτως ἥντινα προσαγορεύειν αὐτὴν δεῖ· καὶ γὰρ τυραννίδι δοκεῖ μοι προσεοικέναι· τὸ γὰρ τῶν ἐφόρων θαυμαστὸν ὡς τυραννικὸν ἐν αὐτῇ γέγονε. καίτοι ἐνίοτέ μοι φαίνεται πασῶν τῶν πόλεων δημοκρατουμένῃ μάλιστ᾽ ἐοικέναι. τὸ δ᾽ αὖ μὴ φάναι ἀριστοκρατίαν αὐτὴν εἶναι παντάπασιν ἄτοπον. καὶ μὲν δὴ * βασιλεία γε διὰ βίου τ᾽ ἐστὶν ἐν αὐτῇ καὶ ἀρχαιοτάτη πασῶν E

et beati sunt qui orationes ex ore temperantis se fundentes audiunt. atque eadem est ratio universae potestatis; si cum prudentia et temperantia maxima potestas in homine concurrit, tum civitas optima legesque tales oriuntur, aliter vero numquam. haec igitur tamquam fabula exposita a nobis velut vaticinantibus dicta sunto, et probatum esto partim difficile esse civitatem legibus bene temperare partim vero, siquidem accidat quod diximus, omnium citissimum longeque facillimum.

Cl. Quomodo?

Ath. Conemur ad civitatem tuam leges accommodare easque, sicut puerum senes, oratione fingere.

Cl. Procedamus igitur nec iam cunctemur.

Ath. Itaque deum ad urbis constitutionem invocemus, qui nos audiat audiensque propitius benivolusque nobis accedat civitatis legumque dispositionem adiuturus.

Cl. Accedat sane.

Ath. Quamnam vero civitatis formam cogitamus urbi assignare?

Cl. Quid dicere velis expone etiam clarius, velut utrum popularem civitatem significes an paucorum an optimatum an regis imperium; neque enim tyrannidem sane dicas, ut quidem nos arbitramur.

Ath. Age dum, uter vestrum prius voluerit respondere, domestica civitas quaenam de illis sit?

Me. Num me seniorem par est prius dicere?

Cl. Fortasse.

Me. At vero mecum reputans, hospes, non sic statim tibi possum dicere quomodo Lacedaemoniam civitatem appellari oporteat; etenim tyrannidi videtur mihi similis esse; ephororum enim potestas mirum quam tyrannica in ea exstitit. quamquam nonnumquam mihi videtur omnium civitatum maxime populari similis esse. negare vero contra eam optimatum esse gubernationem plane absurdum. atque etiam regnum in ea perpetuum

καὶ πρὸς πάντων ἀνθρώπων καὶ ἡμῶν αὐτῶν λεγομένη. ἐγὼ δὲ οὕτω νῦν ἐξαίφνης ἂν ἐρωτηθεὶς ὄντως, ὅπερ εἶπον, οὐκ ἔχω διορισάμενος εἰπεῖν τίς τούτων ἐστὶ τῶν πολιτειῶν.

ΚΛ. Ταὐτόν σοι πάθος, ὦ Μέγιλλε, καταφαίνομαι πεπονθέναι· πάνυ γὰρ ἀπορῶ τὴν ἐν Κνωσῷ πολιτείαν τούτων τινὰ δισχυριζόμενος εἰπεῖν.

ΑΘ. Ὄντως γάρ, ὦ ἄριστοι, πολιτειῶν μετέχετε· ἃς δὲ ὠνομάκαμεν νῦν, οὐκ εἰσὶ πολιτεῖαι, πόλεων δὲ οἰκήσεις δεσποζομένων τε καὶ δουλευουσῶν μέρεσιν ἑαυτῶν τισί, * τὸ 713
τοῦ δεσπότου δὲ ἑκάστη προσαγορεύεται κράτος, χρῆν δ', εἴπερ τοῦ τοιούτου τὴν πόλιν ἔδει ἐπονομάζεσθαι, τὸ τοῦ ἀληθῶς *) τῶν νοῦν ἐχόντων δεσπόζοντος θεοῦ ὄνομα λέγεσθαι.

ΚΛ. Τίς δ' ὁ θεός;

ΑΘ. Ἆρ' οὖν μύθῳ σμικρά γ' ἔτι προσχρηστέον, εἰ μέλλομεν ἐμμελῶς πως δηλῶσαι τὸ νῦν ἐρωτώμενον; οὐκοῦν χρὴ ταύτῃ δρᾶν;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τῶν γὰρ δὴ πόλεων ὧν ἔμπροσθεν τὰς ξυνοικήσεις * διήλθομεν, ἔτι προτέρα τούτων πάμπολυ λέγεταί τις B
ἀρχή τε καὶ οἴκησις γεγονέναι ἐπὶ Κρόνου μάλ' εὐδαίμων, ἧς μίμημα ἔχουσά ἐστιν ἥτις τῶν νῦν ἄριστα οἰκεῖται. **)

ΚΛ. ***) Σφόδρ' ἄν, ὡς ἔοικεν, εἴη περὶ αὐτῆς δέον ἀκούειν.

ΑΘ. Ἐμοὶ γοῦν †) φαίνεται· διὸ καὶ παρήγαγον αὐτὴν εἰς τὸ μέσον τοῖς λόγοις.

ΜΕ. Ὀρθότατά γε δρῶν· καὶ τόν γε ἑξῆς περαίνων ἂν μῦθον, ἧπερ προσῆκόν ἐστι, μάλ' ὀρθῶς * ἂν ποιοίης. C

ΑΘ. Δραστέον ὡς λέγετε. φήμην τοίνυν παραδεδέγμεθα τῆς τῶν τότε μακαρίας ζωῆς, ὡς ἄφθονά τε καὶ αὐτόματα πάντα εἶχεν· ἡ δὲ τούτων αἰτία λέγεται τοιάδε τις· γιγνώσκων ὁ Κρόνος ἄρα, καθάπερ ἡμεῖς διεληλύθαμεν, ὡς ἀνθρωπεία φύσις οὐδεμία ἱκανὴ τὰ ἀνθρώπινα διοικοῦσα αὐ-

*) γρ. ἀληθοῦς τοῦ.
**) γρ. ἀριστοκρατεῖται.
***) γρ. ΜΕ. †) γρ. Ἔμοιγ' οὖν.

est et antiquissimum omnium idque ab omnibus hominibus et nobis ipsis ita appellatum. ego autem ita nunc subito interrogatus revera, ut dixi, non possum definire quaenam sit illarum civitatum.

Cl. Idem mihi quod tibi, Megille, videtur accidere; prorsus enim dubito civitatem Cnosiam pro certo affirmare illarum unam esse.

Ath. Revera enim, optimi, civitates habetis; quas vero diximus nunc, non sunt civitates, sed urbes habitatae dominantes et servientes nonnullis sui partibus, et e dominatoris potestate quaeque nominatur, quum tamen oporteret, si ex tali re urbs nominanda esset, a deo, vero sapientium dominatore, denominari.

Cl. Quis autem hic deus?

Ath. An fabula quoque paullulum adhibenda, si volumus recte quodammodo declarare quod nunc interrogavimus? nonne ita faciundum?

Cl. Sane quidem.

Ath. Illis videlicet urbibus habitatis quas supra memoravimus multo antiquior dicitur quaedam fuisse et gubernatio et habitatio Saturno regnante admodum beata, cuius imitationem exhibet quae ex nunc exstantibus optime administratur.

Cl. Admodum igitur, ut videtur, conveniet de ea audire.

Ath. Mihi quidem liquet; quapropter etiam in medium eam oratione protuli.

Me. Rectissime tu quidem fecisti; et fabulam sequentem si absolveris, quemadmodum decet, probe ages.

Ath. Faciundum ut dicitis. fama igitur ad nos pervenit beatae illorum hominum vitae, larga eam omnia habuisse ultroque oblata. cuius quidem rei caussa haec memoratur: Saturnus videlicet cognoscens, quemadmodum exposuimus, humanam naturam nullam posse res humanas ad suum arbitrium gubernare quin inso-

τοκράτωρ πάντα μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦσθαι.
ταῦτ' οὖν διανοούμενος ἐφίστη βασιλέας τε *) καὶ ἄρχον-
τας * ταῖς πόλεσιν ἡμῶν οὐκ ἀνθρώπους, ἀλλὰ γένους θειο- D
τέρου τε καὶ ἀμείνονος, δαίμονας· οἷον νῦν ἡμεῖς δρῶμεν
τοῖς ποιμνίοις καὶ ὅσων ἥμεροί εἰσιν ἀγέλαι· οὐ βοῦς βοῶν
οὐδὲ αἶγας αἰγῶν ἄρχοντας ποιοῦμεν αὐτοῖς τινάς, ἀλλ' ἡ-
μεῖς αὐτῶν δεσπόζομεν, ἄμεινον ἐκείνων γένος. ταὐτὸν δὴ
καὶ ὁ θεὸς **) φιλάνθρωπος ὢν τὸ γένος ἄμεινον ἡμῶν ἐφί-
στη τὸ τῶν δαιμόνων, ὃ διὰ πολλῆς μὲν αὐτοῖς ῥᾳστώνης,
πολλῆς δ' ἡμῖν ἐπιμελούμενον * ἡμῶν, εἰρήνην τε καὶ αἰδῶ E
καὶ ἐλευθερίαν ***) καὶ ἀφθονίαν δίκης παρεχόμενον, ἀστασίαστα
καὶ εὐδαίμονα τὰ τῶν ἀνθρώπων ἀπειργάζετο γένη. λέγει δὴ
καὶ νῦν οὗτος ὁ λόγος ἀληθείᾳ χρώμενος, ὡς, ὅσων ἂν πό-
λεων μὴ θεός, ἀλλά τις ἄρχῃ θνητός, οὐκ ἔστι κακῶν αὐ-
τοῖς οὐδὲ πόνων ἀνάφυξις· ἀλλὰ μιμεῖσθαι δεῖν ἡμᾶς οἴεται
πάσῃ μηχανῇ τὸν ἐπὶ τοῦ Κρόνου λεγόμενον βίον, καὶ ὅσον ἐν
ἡμῖν ἀθανασίας ἔνεστι, τούτῳ πειθομένους δημοσίᾳ καὶ ἰδίᾳ
τάς τ' οἰκήσεις καὶ * τὰς πόλεις διοικεῖν, τὴν τοῦ νοῦ δια- 714
νομὴν ἐπονομάζοντας νόμον. εἰ δ' ἄνθρωπος εἷς ἢ ὀλιγαρ-
χία τις ἢ καὶ δημοκρατία ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυ-
μιῶν ὀρεγομένην καὶ πληροῦσθαι τούτων δεομένην, στέγουσαν
δὲ οὐδέν, ἀλλ' ἀνηνύτῳ καὶ ἀπλήστῳ κακῷ νοσήματι ξυν-
εχομένην, ἄρξει δὴ πόλεως ἤ τινος ἰδιώτου καταπατήσας ὁ
τοιοῦτος τοὺς νόμους, ὃ νῦν δὴ ἐλέγομεν, οὐκ ἔστι σωτηρί-
ας μηχανή. σκοπεῖν δὴ δεῖ τοῦτον τὸν λόγον ἡμᾶς, * ὦ B
Κλεινία, πότερον αὐτῷ πεισόμεθα, ἢ πῶς δράσομεν.

ΚΛ. Ἀνάγκη δήπου πείθεσθαι.

ΑΘ. Ἐννοεῖς οὖν ὅτι νόμων εἴδη φασί τινες εἶναι τοσαῦτα ὅσαπερ πολιτειῶν, πολιτειῶν δὲ ἄρτι διεληλύθαμεν ὅσα λέγουσιν οἱ πολλοί. μὴ δὴ φαύλου πέρι νομίσῃς εἶναι τὴν νῦν ἀμφισβήτησιν, περὶ δὲ τοῦ μεγίστου· τὸ γὰρ δίκαιον καὶ τὸ ἄδικον οἷ χρὴ βλέπειν, πάλιν ἡμῖν ἀμφισβητούμενον ἐλήλυθεν· οὔτε γὰρ πρὸς τὸν πόλεμον οὔτε πρὸς ἀρετὴν ὅλην

---

*) γρ. βασιλέας γε.
) γρ. ταὐτὸν ἄρα καὶ ὁ θεὸς δὴ καί. ἄλλ. ταὐτὸν δὴ καὶ ὁ θεὸς ἄρα καί. *) ἄλλ. εὐνομίαν.

lentia et iniuftitia repleretur, hoc igitur cogitans praefecit reges et imperatores urbibus noftris non homines, fed e genere diviniore ac meliore, genios; quale nunc nos facimus gregibus et quorumcumque animantium cicurum funt armenta: non boves bobus nec capras capris duces praeficimus, fed nos eis imperamus, melius illis genus. pariter etiam deus qui homines amore amplectitur genus praeftantius nobis praefecit genios, qui multa et fua et noftra facilitate procurationem noftri habentes et pacem, verecundiam, libertatem iuftitiaeque copiam praebentes a feditione aliena et beata hominum effecerunt genera. dicit igitur etiam nunc haec oratio veritate utens, quarumcumque civitatum non deus, fed mortalis quispiam moderator fit, eis neque malorum neque laborum effe effugium; fed imitari nos debere cenfet omni modo vitam quae Saturno regnante perhibeatur fuiffe, et quantum in nobis immortalitatis infit, ei obfequentes publice et privatim domos et urbes adminiftrare, mentis distributionem appellantes leges. fin vero homo unus vel paucorum imperium vel popularis civitas animum habens voluptatum et cupiditatum appetentem et his repleri aventem, nihil vero continentem, fed perpetuo et infatiabili malo tamquam morbo laborantem imperat urbi vel privato alicui contemnens leges, id quod modo dicebamus, nulla eft fpes falutis. confiderare igitur nos oportet hanc orationem, Clinia, utrum ei obfequamur, an quomodo faciamus.

Cl. Neceffe fane eft ei obfequi.

Ath. Iam intelligis quosdam dicere tot effe legum genera quot civitatum, civitatum vero modo enarravimus quot dicant plerique. ne igitur de re quadam vili cenfeas nos nunc quaerere, fed de maxima; iuftum enim et iniuftum quorfum fpectare debeant, rurfus nobis in quaeftionem vocatur; neque enim ad bellum neque ad

* βλέπειν δεῖν φασὶ τοὺς νόμους, ἀλλ' ἥτις ἂν καθεστηκυῖα ᾖ πολιτεία, ταύτῃ δεῖν τὸ ξυμφέρον, ὅπως ἄρξει τε ἀεὶ καὶ μὴ καταλυθήσεται, καὶ τὸν φύσει ὅρον τοῦ δικαίου λέγεσθαι κάλλισθ' οὕτως. C

ΚΛ. Πῶς;

ΑΘ. Ὅτι τὸ τοῦ κρείττονος ξυμφέρον ἐστίν.

ΚΛ. Λέγ' ἔτι σαφέστερον.

ΑΘ. Ὧδε. τίθεται δήπου, φασί, τοὺς νόμους ἐν τῇ πόλει ἑκάστοτε τὸ κρατοῦν· ἢ γάρ;

ΚΛ. Ἀληθῆ λέγεις.

ΑΘ. Ἆρ' οὖν οἴει, φασί, ποτὲ δῆμον νικήσαντα * ἤ τινα πολιτείαν ἄλλην ἢ καὶ τυραννίδα *) θήσεσθαι ἑκόντα πρὸς ἄλλο τι πρῶτον νόμους ἢ τὸ ξυμφέρον ἑαυτῷ τῆς ἀρχῆς τοῦ μένειν; D

ΚΛ. Πῶς γὰρ ἄν;

ΑΘ. Οὐκοῦν καὶ ὃς ἂν ταῦτα τὰ τεθέντα παραβαίνῃ, κολάσει ὁ θέμενος ὡς ἀδικοῦντα, δίκαια εἶναι ταῦτ' ἐπονομάζων;

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Ταῦτ' ἄρ' ἀεὶ καὶ οὕτω καὶ ταύτῃ τὸ δίκαιον ἂν ἔχοι.

ΚΛ. Φησὶ γοῦν οὗτος ὁ λόγος.

ΑΘ. Ἔστι γὰρ τοῦτο ἓν ἐκείνων τῶν ἀδικημάτων **) * ἀρχῆς πέρι. E

ΚΛ. Ποίων δή;

ΑΘ. Τῶν ἃ τότε ἐπεσκοποῦμεν, τίνας τίνων ἄρχειν δεῖ. καὶ ἐφάνη δὴ γονέας μὲν ἐκγόνων, νεωτέρων δὲ πρεσβυτέρους, γενναίους δὲ ἀγεννῶν· καὶ συχνὰ ἄττα ἦν ἄλλ', εἰ μεμνήμεθα, καὶ ἐμπόδια ἕτερα ἑτέροισι. καὶ δὴ καὶ ἓν ἦν αὐτῶν τοῦτο, καὶ ἔφαμέν που κατὰ φύσιν τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον, ὡς * φάναι. 715

ΚΛ. Ναί, ταῦτ' ἦν ἃ τότε ἐλέχθη.

ΑΘ. Σκόπει δὴ ποτέροις τισὶν ἡ πόλις ἡμῖν ἐστὶ παραδοτέα· γέγονε γὰρ δὴ μυριάκις ἤδη τὸ τοιοῦτον ἔν τισι πόλεσι.

*) ἄλλ. τύραννον.
ἴσ. ἀξιωμάτων.

virtutem universam spectare dicunt leges debere, sed, quaecumque constituta sit civitas, huius commodum esse respiciendum, ut dominetur semper nec dissolvatur, et naturae convenientem iusti definitionem ita pulcherrime poni.

Cl. Quomodo?

Ath. Superioris esse commodum.

Cl. Dic etiam apertius.

Ath. Sic: constituit sine dubio, dicunt, leges in civitate quaque id quod dominatur: nonne?

Cl. Vera dicis.

Ath. Num igitur censes, dicunt, umquam populum superantem vel aliam quam civitatem vel etiam quam tyrannida constituturam esse leges sua sponte aliud quid primum spectantem quam id quod sibi conducit, ut imperium duret?

Cl. Quî potest aliter?

Ath. Nonne etiam qui has leges constitutas migraverit, eum castigabit legum lator ut iniuste facientem, iustas has nominans?

Cl. Liquet sane.

Ath. Quocirca semper ita et hoc modo iustum se habebit.

Cl. Dicit certe haec oratio.

Ath. Est enim haec una illarum imperandi rationum.

Cl. Quarumnam?

Ath. Earum quas tum consideravimus, quinam et quibusnam imperare debeant; et parentes natis, iunioribus seniores et nobiles ignobilibus; et multa alia erant, si meminimus, et quidem alia aliis impedimento. atque etiam una earum haec erat, et diximus, ni fallor, secundum naturam Pindarum ius decernentem maximam inferre violentiam.

Cl. Vero, haec erant quae tum dicebantur.

Ath. Iam vide, utris sit civitas nostra tradenda; factum est enim hoc iam millies in civitatibus.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ἀρχῶν περιμαχήτων γενομένων οἱ νικήσαντες τά
τε πράγματα κατὰ τὴν πόλιν οὕτως ἐσφετέρισαν σφόδρα,
ὥςτε ἀρχῆς μηδ' ὁτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσι, μήτε
αὐτοῖς μήτε ἐκγόνοις, παραφυλάττοντες δ' ἀλλήλους ζῶσιν,
ὅπως μή ποτέ τις εἰς ἀρχὴν * ἀφικόμενος ἐπαναστῇ μεμνη- B
μένος τῶν ἔμπροσθεν γεγονότων κακῶν. ταύτας δήπου φα-
μὲν ἡμεῖς νῦν οὔτ' εἶναι πολιτείας, οὔτ' ὀρθοὺς νόμους ὅσοι
μὴ ξυμπάσης τῆς πόλεως ἕνεκα τοῦ κοινοῦ ἐτέθησαν, οἳ δ'
ἕνεκα τινῶν, στασιωτείας, ἀλλ' οὐ πολιτείας τούτους φαμέν,
καὶ τὰ τούτων δίκαια ἅ φασιν εἶναι μάτην εἰρῆσθαι. λέγε-
ται δὲ τοῦδ' ἕνεκα ταῦθ' ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει ἀρ-
χὰς οὔθ' ὅτι πλούσιός ἐστί τις δώσομεν, οὔθ' ὅτι τῶν τοι-
ουτων * ἄλλο οὐδὲν κεκτημένος, ἰσχὺν ἢ μέγεθος ἤ τι γέ- C
νος· ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τ' ᾖ καὶ
νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν
τῶν θεῶν *) ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώ-
τῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι, καὶ κατὰ λόγον
οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ' ἕκαστα ἀποδοτέον εἶναι·
τοὺς δ' ἄρχοντας λεγομένους νῦν ὑπηρέτας τοῖς νόμοις ἐκά-
λεσα οὔτι καινοτομίας ὀνομάτων ἕνεκα, * ἀλλ' ἡγοῦμαι παν- D
τὸς μᾶλλον εἶναι παρὰ τοῦτο σωτηρίαν τε πόλει καὶ τοὐναν-
τίον. ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ καὶ ἄκυρος νόμος, φθο-
ρὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν, ἐν ᾗ δὲ ἂν δεσπότης
τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν
καὶ πάνθ' ὅσα θεοὶ πόλεσιν ἔδοσαν ἀγαθὰ γιγνόμενα καθορῶ.

ΚΛ. Ναὶ μὰ Δί', ὦ ξένε· καθ' ἡλικίαν γὰρ ὀξὺ
βλέπεις.

ΑΘ. Νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος τὰ τοιαῦτα ἀμ-
βλύτατα αὐτὸς αὑτοῦ * ὁρᾷ, γέρων δὲ ὀξύτατα. E

ΚΛ. Ἀληθέστατα.

ΑΘ. Τί δὴ τὸ μετὰ ταῦτα; ἆρ' οὐχ ἥκοντας μὲν καὶ
παρόντας θῶμεν τοὺς ἐποίκους, τὸν δ' ἑξῆς αὐτοῖς διαπε-
ραντέον ἂν εἴη λόγον;

---

*) ἴσ. νόμων.

Cl. Quidnam?

Ath. Imperia quum certatim expetuntur, vincentes res civiles tantopere vindicant, ut ne in minimam quidem imperii partem superatos vocent, neque ipsos neque eorum posteros, sed caventes inter se vivant ne umquam aliquis imperium adeptus rebellet priorum recordans malorum. has sane nos dicimus nunc neque civitates esse neque rectas leges nisi quae ob communem universae civitatis salutem positae sint, quae vero quorundam commodum spectant, eas factiones, non civitates vocamus, harumque iusta quae dicant esse sine causa ita appellari. dicitur autem hoc a nobis eam ob causam quod nos tua in civitate imperia neque, quia dives quispiam est, dabimus neque, quia huiusmodi quid possidet, robur vel magnitudinem vel nobilitatem; qui autem legibus latis maxime obediturus hancque victoriam in civitate adepturus sit, huic dicimus legum procurationem et ministerium tribuendum esse summum primo, et secundum secundo loco superanti, et ita pro portione sequentibus quaeque deinceps tribuenda esse; imperatores vero nunc legum ministros dictos ita appellavi nequaquam ut verba nova usurparemus, sed arbitror prorsus hinc civitati salutem afferri et contrarium. in quacumque enim civitate imperio subiecta est lex et auctoritate caret, huic interitum video paratum esse; in quacumque vero dominatrix est imperantium et imperantes servi legis, ei salutem et omnia quaecumque dii civitatibus tribuerunt bona obtingere animadverto.

Cl. Sane mehercule, hospes; pro aetate enim acute cernis.

Ath. Quivis enim homo iuvenis ad haec hebetissimus est, senex vero acutissimus.

Cl. Verissime.

Ath. Quid iam deinceps? nonne advenisse et adesse ponamus colonos, et, sequens ad hos convertenda est oratio?

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἄνδρες τοίνυν φῶμεν πρὸς αὐτούς, ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, * εὐθείᾳ *) περαίνει κατὰ φύσιν 716
περιπορευόμενος, τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος, εἰ **) δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ ***), φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς οὔτ' ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται * ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι B
ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάνθ' ἅμα, καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε. πρὸς ταῦτ' οὖν οὕτω διατεταγμένα τί χρὴ δρᾶν ἢ διανοεῖσθαι, καὶ τί μὴ τὸν ἔμφρονα;

ΚΛ. Δῆλον δὴ τοῦτό γε, ὡς τῶν ξυνακολουθησόντων ἐσόμενον τῷ θεῷ δεῖ διανοηθῆναι πάντα * ἄνδρα. C

ΑΘ. Τίς οὖν δὴ πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; μία καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον, ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον ὄντι μετρίῳ φίλον ἂν εἴη, τὰ δ' ἄμετρα οὔτ' ἀλλήλοις οὔτε τοῖς ἐμμέτροις. ὁ δὴ θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα, καὶ πολὺ μᾶλλον ἤ πού τις, ὥς φασιν, ἄνθρωπος. τὸν οὖν τῷ τοιούτῳ προσφιλῆ γενησόμενον εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίγνεσθαι· καὶ κατὰ τοῦτον δὴ τὸν λόγον * ὁ μὲν σώφρων ἡμῶν D
θεῷ φίλος, ὅμοιος γάρ, ὁ δὲ μὴ σώφρων ἀνόμοιός τε καὶ διάφορος καὶ ἄδικος· καὶ τἄλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ἔχει. νοήσωμεν δὴ τούτοις ἑπόμενον εἶναι τὸν τοιόνδε λόγον, ἁπάντων κάλλιστον καὶ ἀληθέστατον, οἶμαι, λόγων,

---

*) ἄλλ. εὐθεῖαν.
**) γρ. ὁ.
***) ἴσ. ἀγνοίᾳ.

Cl. Quidni?

Ath. Dicamus igitur eis: Viri, deus, quemadmodum etiam vetus ait oratio, initium et finem et medium rerum omnium complectens, recta perficit secundum naturam omnia lustrans, eique semper comitatur iustitia eorum qui divinam legem derelinquunt ultrix, cui adhaerescens qui beatus est futurus comitatur submissus et modestus, si quis vero iactantia elatus, quippe vel opibus superbiens vel honoribus vel etiam corporis formositate, simulque iuventute et inscitia, exardescit animo cum insolentia, ita ut nec imperatore nec duce aliquo se indigere, sed ipsum se ad alios ducendos valere existimet, relinquitur desertus a deo, relictus vero etiam aliis huiusmodi assumptis exsultat omnia simul perturbans, et permultis quidem videtur aliquis esse, at non ita multo post poenam haud contemnendam iustitiae pendens se ipsum et domum et civitatem funditus evertit. haec igitur quum ita disposita sint, quid oportet facere vel spectare et quid non sapientem?

Cl. Perspicuum sane hoc est quemque oportere id spectare ut unus sit de eis qui deo comitentur.

Ath. Quaenam igitur actio amica et consequens deo? una et in una nitens vetere oratione, simili quidem simile, si moderata sint, amicum esse, immoderata vero nec inter se nec moderatis. deus igitur nobis omnium rerum modus erit maxime, et multo magis quam homo, ut dicunt, quispiam. eum igitur qui huic dilectus sit futurus quam possit maxime ipse quoque talis exsistat necesse est; et ex hac quidem ratione qui temperatus est de nobis deo amicus (similis enim), qui vero non est temperatus dissimilis et discrepans et iniustus; et reliqua eodem se modo habent. intelligamus vero his consequentem esse hanc orationem, omnium pulcherrimam et verissimam, opinor, oratio-

ὡς τῷ μὲν ἀγαθῷ θύειν καὶ προσομιλεῖν δὴ τοῖς θεοῖς καὶ
εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν κάλλιστον
καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ
δὴ καὶ διαφερόντως πρέπον, * τῷ δὲ κακῷ τούτων τἀναν- E
τία πέφυκεν· ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὅ γε κακός, καθα-
ρὸς δὲ ὁ ἐναντίος· παρὰ δὲ μιαροῦ δῶρα οὔτ' ἄνδρ' ἀγα-
θὸν οὔτε θεὸν ἔστι ποτὲ * τό γε ὀρθὸν δέχεσθαι· μάτην οὖν 717
περὶ θεοὺς ὁ πολύς ἐστι πόνος τοῖς ἀνοσίοις, τοῖς δὲ ὁσί-
οις ἐγκαιρότατος ἅπασι. σκοπὸς μὲν οὖν ἡμῖν οὗτος οὗ δεῖ
στοχάζεσθαι· βέλη δὲ αὐτοῦ καὶ οἷον ἡ τοῖς βέλεσιν ἔφεσις,
τὰ ποῖ' ἂν λεγόμενα ὀρθότατ' ἂν φέροιτο *); πρῶτον μέν,
φαμέν, τιμὰς τὰς μετ' Ὀλυμπίους τε καὶ τοὺς τὴν πόλιν
ἔχοντας θεοὺς τοῖς χθονίοις ἄν τις θεοῖς ἄρτια καὶ δεύτερα
καὶ ἀριστερὰ νέμων ὀρθότατα τοῦ τῆς εὐσεβείας σκοποῦ τυγ-
χάνοι, τοῖς δὲ τούτων * ἄνωθεν τὰ περιττὰ καὶ ἀντίφωνα B
τοῖς ἔμπροσθεν ῥηθεῖσι νῦν δή. μετὰ θεοὺς δὲ τούσδε καὶ
τοῖς δαίμοσιν ὅ γ' ἔμφρων ὀργιάζοιτ' ἂν **), ἥρωσι δὲ μετὰ
τούτους. ἐπακολουθεῖ δ' αὐτοῖς ἱδρύματα ἴδια πατρῴων θεῶν
κατὰ νόμον ὀργιαζόμενα. γονέων δὲ μετὰ ταῦτα τιμαὶ ζών-
των, ὡς θέμις ὀφείλοντα ἀποτίνειν τὰ πρῶτά τε καὶ μέγιστα
ὀφειλήματα, χρεῶν πάντων πρεσβύτατα, νομίζειν δέ, ἃ κέ-
κτηται καὶ ἔχει, πάντα εἶναι τῶν γεννησάντων καὶ θρεψα-
μένων * πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ C
δύναμιν πᾶσαν, ἀρχόμενον ἀπὸ τῆς οὐσίας, δεύτερα τὰ τοῦ
σώματος, τρίτα τὰ τῆς ψυχῆς, ἀποτίνοντα δανείσματα, ἐπι-
μελείας τε καὶ ὑπερπονούντων ὠδῖνας παλαιὰς ἐπὶ νέοις δα-
νεισθείσας ἀποδιδόντα ***) παλαιοῖς ἐν τῷ γήρᾳ σφόδρα κε-
χρημένοις. παρὰ δὲ πάντα τὸν βίον ἔχειν δὲ καὶ ἐσχηκέναι
χρὴ πρὸς αὑτοῦ γονέας εὐφημίαν διαφερόντως, διότι κού-
φων καὶ πτηνῶν * λόγων βαρυτάτη ζημία· πᾶσι γὰρ ἐπί- D
σκοπος τοῖς περὶ τὰ τοιαῦτα ἐτάχθη Δίκης Νέμεσις ἄγγελος.
θυμουμένοις τε οὖν ὑπείκειν δεῖ καὶ ἀποπιμπλᾶσι τὸν θυ-
μόν, ἐάν τ' ἐν λόγοις ἐάν τ' ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον,

*) ἀλλ. ὀρθότατα φέροιτ' ἄν.
**) ἴσ. ὀργιάζοι ἄν.
***) γρ. δανεισθείσας, ἀποδιδόντα δὲ κτλ.

num, bono quidem diis sacrificare et consuetudinem cum iis coniungere per preces et donaria omnemque deorum cultum pulcherrimum et optimum et valentissimum esse ad vitam beatam atque etiam maxime decorum, malo autem horum contrarium contingere; impuro enim animo est malus, purus vero contrarius; et ab impuro dona neque vir bonus neque deus umquam recte accipit; quocirca frustra multum deorum gratia sibi sumunt laboris impii, quod contra piis opportunissimum est omnibus. meta igitur nobis haec est ad quam tendere debemus; de sagittis vero eiusque appetitione sagittarum ope, quaenam rectissime dicantur eo ferri? primum igitur, dicimus, qui post honores diis Olympiis urbisque praesidibus tribuendos inferis diis paria et secunda et sinistra offert, is rectissime pietatis metam attinget, superioribus vero his qui imparia tribuit et contraria modo dictorum. post deos autem hos etiam geniis prudens sacra faciet, heroibusque deinde. sequuntur statuae ac delubra patriorum deorum propria legi convenienter consecrata. deinde parentum honores vivorum, ut par est prima maximaque debita nos solvere, omnium debitorum antiquissima, arbitrantes, quae possideamus et habeamus, omnia esse eorum qui nos procreaverint et educaverint, ut ea praebeamus pro viribus illis ministrantes, primum opes, secundo corporis et tertio animi bona, persolventes mutua data, quippe curas pristinosque dolores quos pro pueris nobis sustinuerint reddentes senibus in senectute valde indigentibus. per omnem vero vitam eximie prosequi et prosequutos nos esse oportet parentes nostros bene dictis, quia levium et volucrium verborum gravissima poena; omnium horum speculatrix constituta Nemesis est Iustitiae nuncia. succensentibus igitur cedere nos oportet iramque explentibus, sive verbis sive re tale

ξυγγιγνώσκοντα ὡς εἰκότως μάλιστα πατὴρ υἱεῖ δοξάζων ἀδικεῖσθαι θυμοῖτ' ἂν διαφερόντως. τελευτησάντων δὲ γονέων ταφὴ μὲν ἡ σωφρονεστάτη καλλίστη, μήθ' ὑπεραίροντα τῶν εἰθισμένων ὄγκων *) μήτ' ἐλλείποντα ὧν * οἱ προπάτορες E
εἰς **) τοὺς ἑαυτῶν γεννήτας ἐτίθεσαν, τάς τε αὖ κατ' ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ὡσαύτως ἐπιμελείας τὰς κόσμον φερρύσας ἀποδιδόναι, τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον, τούτῳ * μάλιστ' ἀεὶ πρεσβεύειν 718
δαπάνης τε ***) τῆς διδομένης ὑπὸ τύχης τὸ μέτριον τοῖς κεκμηκόσι νέμοντα. ταῦτ' οὖν ποιοῦντες καὶ κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι τὴν ἀξίαν ἂν παρὰ θεῶν καὶ ὅσοι κρείττονες ἡμῶν κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου. Ἃ δὲ πρὸς ἐκγόνους καὶ ξυγγενεῖς καὶ φίλους καὶ πολίτας, ὅσα τε ξενικὰ [πρὸς θεῶν] θεραπεύματα καὶ ὁμιλίας ξυμπάντων τούτων, ἀποτελοῦντα τὸν ἑαυτοῦ βίον * φαιδρυνάμενον κατὰ νόμον κοσμεῖν δεῖ, τῶν B
νομων αὐτῶν ἡ διέξοδος τὰ μὲν πείθουσα, τὰ δὲ μὴ ὑπείκοντα πειθοῖ τῶν ἠθῶν βίᾳ καὶ δίκῃ κολάζουσα, τὴν πόλιν ἡμῖν ξυμβουληθέντων θεῶν μακαρίαν τε καὶ εὐδαίμονα ἀποτελεῖ. ἃ δὲ χρὴ μὲν αὖ καὶ ἀναγκαῖον εἰπεῖν νομοθέτην ὅςτις ἅπερ ἐγὼ διανοεῖται, ἐν δὲ σχήματι νόμου ἀναρμοστεῖ λεγόμενα, τούτων πέρι δοκεῖ μοι δεῖγμα προςενεγκόντα †) αὑτῷ τε καὶ ἐκείνοις οἷς νομοθετήσει, * τὰ λοιπὰ πάντα C
εἰς δύναμιν διεξελθόντα, τὸ μετὰ τοῦτο ἄρχεσθαι τῆς θέσεως τῶν νόμων. ἔστι δὲ δὴ τὰ τοιαῦτα ἐν τίνι μάλιστα σχήματι κείμενα; οὐ πάνυ ††) ῥάδιον ἐν ἑνὶ περιλαβόντα εἰπεῖν αὐτὰ οἷόν τινι τύπῳ, ἀλλ' ουτωσί τινα τρόπον λάβωμεν, ἄν τι δυνώμεθα περὶ αὐτῶν βεβαιώσασθαι.

ΚΛ. Λέγε τὸ ποῖον.

ΑΘ. Βουλοίμην ἂν αὐτοὺς ὡς εὐπειθεστάτους πρὸς ἀρετὴν εἶναι, καὶ δῆλον ὅτι πειράσεται τοῦτο ὁ νομοθέτης ἐν ἁπάσῃ ποιεῖν τῇ νομοθεσίᾳ.

ΚΛ. * Πῶς γὰρ οὔ; D

---

*) ἴσ. τὸν εἰθισμένον ὄγκον. **) γρ. προπάτορες τούς. ***) ἴσ. δαπάνης. †) ἴσ. προενεγκόντα. ††) ἴσ. ΚΛ. Ἔστι δὲ δὴ — κείμενα; ΑΘ. Οὐ πάνυ κτλ.

quid faciant, cognoscentes merito ac iure patrem filio, a quo iniuria se affici arbitretur, graviter irasci. mortuorum vero parentum sepultura moderatissima pulcherrima, ut neque excedamus consuetam molem neque deficiamus ab eis quae maiores in parentes suos statuerunt; anniversarias quoque procurationes honore augentes iam finitis similiter oportet dicari, quibus numquam intermissis et memoriam perennem exhibendo maxime eos semper colere debemus, sumptum a fortuna datum moderate in perfunctos facientes. haec autem facientes et ita viventes omnes nos dignam mercedem a diis et quicumque nobis superiores sunt accipiemus, in spe bona maximam vitae partem traducentes. Quod vero ad ea attinet, quae filiis et cognatis et amicis et civibus praestanda sunt, et ad curas in peregrinos conferendas commerciumque cum his omnibus habendum, quae quidem omnia secundum legem peragentes vitam nostram exhilarare et honestare debemus, ipsarum legum expositio, partim persuadens, partim mores persuasioni non obsequentes vi et iure castigans, civitatem nostram deorum voluntate adiuvante felicem ac beatam efficiet. quae vero dicere necesse est legum latorem qui quae ego sentit, in legis autem forma non possunt commode exponi, horum mihi videtur specimen et sibimet ipsi et eis quibus leges daturus est exhibiturus et deinde, reliquis omnibus pro viribus expositis, legum lationem exorsurus esse.

Cl. In quanam maxime forma haec posita sunt?

Ath. Haud sane facilia sunt dictu ita ut una quasi nota ea comprehendas; at ita quodammodo complectamur, si quid statuere de illis possimus.

Cl. Dic quomodo.

Ath. Velim eos quam facillime persuaderi et ad virtutem adduci, nec dubium est quin legis lator in universa legum latione id conaturus sit efficere.

Cl. Quidni?

ΑΘ. Τὰ τοίνυν δὴ λεχθέντα ἔδοξέ τί μοι προὔργου δρᾶν εἰς τὸ περὶ ὧν ἂν παραινῇ μὴ παντάπασιν ὠμῆς ψυχῆς λαβόμενα, μᾶλλον δ' *) ἡμερώτερόν τε ἂν ἀκούειν καὶ εὐμενέστερον, ὥστε, εἰ καὶ μὴ μέγα τι, σμικρὸν δὲ τὸν ἀκούοντα, ὅπερ φησίν, εὐμενέστερον γιγνόμενον εὐμαθέστερον ἀπεργάσεται, πᾶν ἀγαπητόν· οὐ γάρ πολλή τις εὐπέτεια οὐδὲ ἀφθονία τῶν προθυμουμένων ὡς ἀρίστων ὅτι μάλιστα καὶ ὡς τάχιστα * γίγνεσθαι, τὸν δὲ Ἡσίοδον οἱ πολλοὶ σοφὸν E
ἀποφαίνουσι λέγοντα, ὡς ἡ μὲν ἐπὶ τὴν κακότητα ὁδὸς λεία καὶ ἀνιδιτὶ παρέχει πορεύεσθαι, μάλα βραχεῖα οὖσα,

Τῆς δ' ἀρετῆς, φησίν, ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτήν,
* Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπήπερ ἐοῦσα. 719

ΚΛ. Καὶ καλῶς γ' ἔοικε λέγοντι.

ΑΘ. Πάνυ μὲν οὖν. ὁ δὲ προάγων λόγος ὅ γε μοι ἀπείργασται, βούλομαι ὑμῖν εἰς τὸ μέσον αὐτὸ θεῖναι.

ΚΛ. Τίθει δή.

ΑΘ. Λέγωμεν δὴ τῷ νομοθέτῃ διαλεγόμενοι τόδε, Εἰπὲ ἡμῖν, ὦ νομοθέτα· εἴπερ ὅ τι χρὴ πράττειν * ἡμᾶς καὶ λέγειν εἰδείης, ἆρ' οὐ δῆλον ὅτι καὶ ἂν εἴποις; B

ΚΛ. Ἀναγκαῖον.

ΑΘ. Σμικρῷ μὲν δὴ πρόσθεν ἆρα οὐκ ἠκούσαμέν σου λέγοντος ὡς τὸν νομοθέτην οὐ δεῖ τοῖς ποιηταῖς ἐπιτρέπειν ποιεῖν ὃ ἂν αὐτοῖς ᾖ φίλον; οὐ γὰρ ἂν εἰδεῖεν **) τί ποτ' ἐναντίον τοῖς νόμοις ἂν λέγοντες βλάπτοιεν τὴν πόλιν.

ΚΛ. Ἀληθῆ μέντοι λέγεις.

ΑΘ. Ὑπὲρ δὴ τῶν ποιητῶν εἰ τάδε λέγοιμεν πρὸς αὐτόν, ἆρ' ἂν τὰ λεχθέντα εἴη μέτρια;

ΚΛ. Ποῖα;

ΑΘ. Τάδε. * Παλαιὸς ***) μῦθος, ὦ νομοθέτα, ὑπό τε αὐτῶν ἡμῶν ἀεὶ λεγόμενός ἐστι καὶ τοῖς ἄλλοις πᾶσι ξυνδε- C

---

*) ἴσ. μᾶλλον.
**) ἴσ. οὐ γὰρ εἰδεῖεν.
***) γρ. ΚΛ. Ποῖα τάδε; ΑΘ. Παλαιός.

Ath. Quae igitur diximus ea videntur mihi ad id conducere ut, nisi rudem animum nanciscantur, mansuetius ac benivolentius audiantur de quibus praecipiunt: ut, etiamsi audientem quae iubent, quippe benivolentiorem factum, non ita multo, sed paullo dociliorem efficiant, omnino praeclare se res habeat; neque enim multa est facilitas nec copia hominum id agentium ut quam maxime et celerrime longe optimi exsistant, Hesiodum vero plurimi sapientem declarant dicentem, viam ad pravitatem ducentem mollem esse et iter praebere sudore liberum, quum valde brevis sit: *ante virtutem autem*, dicit, *sudorem dii posuerunt immortales; longa et ardua via ad eam primumque aspera; ubi vero ad summum perveneris, facilis deinceps est, licet difficilis fuerit.*

Cl. Ac praeclare quidem videtur dicere.

Ath. Sane quidem. procedens autem oratio quid effecerit, volo vobis in medium proferre.

Cl. Profer dum.

Ath. Dicamus igitur cum legum latore ita colloquentes: Dic nobis, legum lator; si, quid oporteret nos facere et loqui, scires, nonne perspicuum te etiam pronunciaturum esse?

Cl. Necesse est.

Ath. Paullo vero ante nonne te audivimus dicentem legum latorem non oportere poëtis permittere ut facerent quod ipsis placeret? neque enim eos scire quid legum contrarii dicentes civitati nocerent.

Cl. Vera sane dicis.

Ath. Poëtarum igitur nomine haec si ei dicamus, sintne convenientia quae proferantur?

Cl. Quaenam?

Ath. Haec. Vetus effatum est, legum lator, et ab ipsis nobis semper memoratum et reliquis omnibus probatum,

δογμένος, ὅτι ποιητής, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστίν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ, καὶ τῆς τέχνης οὔσης μιμήσεως ἀναγκάζεται ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους ἐναντία λέγειν αὐτῷ πολλάκις, οἶδε δὲ οὔτ' εἰ ταῦτα οὔτ' εἰ θάτερα ἀληθῆ τῶν λεγομένων. τῷ δὲ νομοθέτῃ * [τοῦτο] οὐκ ἔστι ποιεῖν ἐν τῷ νόμῳ δύο περὶ ἑνός, D
ἀλλὰ ἕνα περὶ ἑνὸς ἀεὶ δεῖ λόγον ἀποφαίνεσθαι. σκέψαι δ' ἐξ αὐτῶν τῶν ὑπὸ σοῦ νῦν δὴ λεχθέντων. οὔσης γὰρ ταφῆς τῆς μὲν ὑπερβεβλημένης, τῆς δὲ ἐλλειπούσης, τῆς δὲ μετρίας, τὴν μίαν ἑλόμενος σύ, τὴν μέσην, ταύτην προστάττεις καὶ ἐπῄνεσας ἁπλῶς. ἐγὼ δέ, εἰ μὲν γυνή μοι διαφέρουσα εἴη πλούτῳ καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι *), τὸν ὑπερβάλλοντα ἂν τάφον * ἐπαινοίην, φειδωλὸς δ' αὖ E
τις καὶ πένης ἀνὴρ τὸν καταδεᾶ, μέτρον δὲ οὐσίας κεκτημένος καὶ μέτριος αὐτὸς ὢν τὸν αὐτὸν ἂν ἐπαινέσοι. σοὶ δ' οὐχ οὕτω ῥητέον ὡς νῦν εἶπες μέτριον εἰπών, ἀλλὰ τί τὸ μέτριον καὶ ὁπόσον ῥητέον, ἢ τὸν τοιοῦτον λόγον μήπω σοι διανοοῦ γίγνεσθαι νόμον.

ΚΛ. Ἀληθέστατα λέγεις.

ΑΘ. Πότερον οὖν ἡμῖν ὁ τεταγμένος ἐπὶ τοῖς νόμοις μηδὲν τοιοῦτον προσαγορεύοι **) ἐν ἀρχῇ τῶν νόμων, ἀλλ' εὐθὺς ὃ δεῖ ποιεῖν καὶ μὴ φράζοι ***) τε καὶ ἐπαπειλήσας τὴν ζημίαν * ἐπ' ἄλλον τρέποιτο †) νόμον, παραμυθίας δὲ καὶ 720
πειθοῦς τοῖς νομοθετουμένοις μηδὲ ἓν προσδιδοίη ††); καθάπερ ἰατρὸς δέ τις ὁ μὲν οὕτως, ὁ δ' ἐκείνως ἡμᾶς εἴωθεν ἑκάστοτε θεραπεύειν· ἀναμιμνησκώμεθα δὲ τὸν τρόπον ἑκάτερον, ἵνα τοῦ νομοθέτου δεώμεθα, καθάπερ ἰατροῦ δέοιντο ἂν παῖδες τὸν πρᾳότατον αὐτὸν θεραπεύειν τρόπον ἑαυτούς. οἷον δὴ τί λέγομεν; εἰσί πού τινες ἰατροί, φαμέν, καί τινες ὑπηρέται τῶν ἰατρῶν, ἰατροὺς δὲ καλοῦμεν δήπου καὶ τούτους.

ΚΛ. * Πάνυ μὲν οὖν. B

*) ἴσ. ἐν τῷ γράμματι.
**) γρ. προσαγορεύῃ. ἴσ. προσαγορεύοι ἄν.
***) γρ. φράζῃ. †) γρ. τρέπηται. ††) γρ. προσδιδῷ.

poëtam, quum Musae tripode insideat, tum non esse mentis compotem, sed velut fontem quicquid subeat facile effundentem, et quum ars sit imitatio, cogi homines exhibentem contrario modo inter se affectos contraria saepenumero dicere et sibimet ipsi repugnare, nescire autem utrum haec an illa sint vera quae dicat. legum latori autem non licet in lege duo exhibere de uno, sed unam de una re semper debet orationem proferre. iudica ex istis quae a te modo dicta sunt. sepultura enim quum alia sit immoderata, alia deficiens, alia vero modica, unam tu eligis, mediam, et praescribis et laudas simpliciter. ego autem, si femina mihi divitiis abundans esset, et in codicillo quomodo se vellet sepeliri praescriberet, immoderatum laudarem sepulcrum, parcus contra aliquis et pauper vir tenue, et modicas divitias possidens et per se modicus idem probabit sepulcrum. tibi autem non ita dicendum est ut nunc dixisti modicum memorans, sed quid sit modicum quantumque definiendum, alioqui huiusmodi effatum nondum existima tibi legem fieri.

Cl. Verissima dicis.

Ath. Utrum igitur qui legibus ferendis statutus est nihil tale admonebit in legum exordio, sed statim quid oporteat nos facere, quid non, dicet et poenam minans ad aliam se convertet legem, adhortationis et persuasionis nihil legibus praescriptis adiiciens? * * * quemadmodum medicorum unus hoc, alter illo modo solet semper mederi; recordemur autem utriusque modi, ut legis latorem oremus, quemadmodum medicum fere orent pueri ut lenissimo se modo curet. quidnam vero dicimus? sunt profecto medici, dicimus, et ministri quidam medicorum, quos ipsos quoque medicos appellamus.

Cl. Sane quidem.

ΑΘ. Ἐάν τέ γ' ἐλεύθεροι ὦσιν ἐάν τε δοῦλοι, κατ' ἐπίταξιν δὲ τῶν δεσποτῶν καὶ θεωρίαν καὶ κατ' ἐμπειρίαν τὴν τέχνην κτῶνται, κατὰ φύσιν δὲ μή, καθάπερ οἱ ἐλεύθεροι αὐτοί τε μεμαθήκασιν οὕτω τούς τε αὑτῶν διδάσκουσι παῖδας. θείης ἂν ταῦτα δύο γένη τῶν καλουμένων ἰατρῶν;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἆρ' οὖν καὶ ξυννοεῖς ὅτι δούλων καὶ ἐλευθέρων ὄντων τῶν καμνόντων ἐν ταῖς πόλεσι τοὺς μὲν * δούλους C
σχεδόν τι οἱ δοῦλοι τὰ πολλὰ ἰατρεύουσι περιτρέχοντες καὶ ἐν τοῖς ἰατρείοις περιμένοντες, καὶ οὔτε τινὰ λόγον ἑκάστου πέρι νοσήματος ἑκάστου τῶν οἰκετῶν οὐδεὶς τῶν τοιούτων ἰατρῶν δίδωσιν οὐδ' ἀποδέχεται, προστάξας δ' αὐτῷ τὰ δόξαντα ἐξ ἐμπειρίας ὡς ἀκριβῶς εἰδώς, καθάπερ τύραννος, αὐθαδῶς, οἴχεται ἀποπηδήσας πρὸς ἄλλον κάμνοντα οἰκέτην, καὶ ῥᾳστώνην οὕτω τῷ δεσπότῃ παρασκευάζει τῶν καμνόντων τῆς ἐπιμελείας; * ὁ δὲ ἐλεύθερος ὡς ἐπὶ τὸ πλεῖστον τὰ D
τῶν ἐλευθέρων νοσήματα θεραπεύει τε καὶ ἐπισκοπεῖ, καὶ ταῦτα ἐξετάζων ἀπ' ἀρχῆς καὶ κατὰ φύσιν, τῷ κάμνοντι κοινούμενος αὐτῷ τε καὶ τοῖς φίλοις, ἅμα μὲν αὐτὸς μανθάνει τι παρὰ τῶν νοσούντων, ἅμα δέ, καθ' ὅσον οἷός τ' ἐστί, διδάσκει τὸν ἀσθενοῦντα αὐτόν, καὶ οὐ πρότερον ἐπέταξε, πρὶν ἄν πῃ ξυμπείσῃ, τότε δὲ μετὰ πειθοῦς ἡμερούμενον ἀεὶ παρασκευάζων τὸν κάμνοντα, εἰς τὴν ὑγίειαν ἄγων, * ἀπο- E
τελεῖν πειρᾶται. πότερον οὕτως ἢ ἐκείνως ἰατρός τε ἰώμενος ἀμείνων καὶ γυμναστὴς γυμνάζων, διχῇ τὴν μίαν ἀποτελῶν δύναμιν, ἢ μοναχῇ καὶ κατὰ τὸ χεῖρον τοῖν δυεῖν καὶ ἀγριώτερον ἀπεργαζόμενος;

ΚΛ. Πολύ που διαφέρον, ὦ ξένε, τὸ διπλῇ.

ΑΘ. Βούλει δὴ καὶ θεασώμεθα τὸ διπλοῦν τοῦτο καὶ ἁπλοῦν ἐν ταῖς νομοθεσίαις αὐταῖς γιγνόμενον;

ΚΛ. Πῶς γὰρ οὐ βούλομαι;

ΑΘ. Φέρε δὴ πρὸς θεῶν, τίν' ἄρα πρῶτον νόμον θεῖτ' ἂν ὁ νομοθέτης; ἆρ' οὐ κατὰ φύσιν τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων πέρι κατακοσμήσει * ταῖς τάξεσιν; 721

ΚΛ. Τί μήν;

Ath. Sive liberi sunt sive servi, dummodo e dominorum praeceptione et contemplatione et experientiā artem nacti fuerint, non per se, quemadmodum liberi et ipsi didicerunt et filios suos instituunt. ponasne haec duo genera medicorum qui vocantur?

Cl. Quidni?

Ath. Nonne etiam intelligis, quum vel servi vel liberi sint qui aegrotent in urbibus, servis quidem fere servos plerumque mederi circumcursantes et in medicorum officinis exspectantes, nec rationem ullius morbi ullius servorum quemquam horum medicorum vel reddere vel accipere, sed quum superbe velut tyrannus praescripserit quae usus ipsi suaserit tamquam plane ea cognoscat, ad alium avolare aegrotantem servum, et domino suo ita aegrotorum curationem levare? quod contra liber maximam partem liberorum morbos curat et observat, et eos quidem ab initio explorans et naturae convenienter, dum colloquitur cum ipso aegroto eiusque amicis, et ipse aliquid discit ab aegrotantibus et simul, quantum potest docet aegrotantem ipsum, nec prius quicquam praescribit quam persuaserit fere illi, tum vero persuasione mansuetiorem factum aegrotum ad sanitatem ducit et curationem absolvere studet. utrum hac an illa ratione medicus si medetur melior et palaestrita si exercet, duplici modo unam absolvens facultatem, an simplici eoque deteriore et acerbiore perficiens?

Cl. Longe sane praestat, hospes, duplici modo eam perficere.

Ath. Visne igitur duplex hoc et simplex quomodo in ipsis legibus ferendis usu veniat consideremus?

Cl. Quidni velim?

Ath. Agedum per deos, quamnam primam feret legem legum lator? nonne secundum naturam ortus principium in civitatibus primum ordinabit praescriptionibus?

Cl. Quidni?

ΑΘ. Ἀρχὴ δ' ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν ἆρ' οὐχ ἡ τῶν γάμων ξύμμιξις καὶ κοινωνία;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Γαμικοὶ δὴ νόμοι πρῶτοι κινδυνεύουσι τιθέμενοι καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει.

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν, ἔχοι δ' ἂν πως
ἴσως ὧδε· γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις * τριάκοντα, μέχρι B
ἐτῶν πέντε καὶ τριάκοντα, εἰ δὲ μή, ζημιοῦσθαι χρήμασί τε
καὶ ἀτιμίᾳ, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇδε καὶ τῇδε *)
ἀτιμίᾳ. ὁ μὲν ἁπλοῦς ἔστω τις τοιοῦτος περὶ γάμων, ὁ δὲ
διπλοῦς ὅδε· γαμεῖν δέ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι
τῶν πέντε καὶ τριάκοντα, διανοηθέντα ὡς ἔστιν ᾗ τὸ ἀν-
θρώπινον γένος φύσει τινὶ μετείληφεν ἀθανασίας, οὗ καὶ
πέφυκεν ἐπιθυμίαν ἴσχειν πᾶς πᾶσαν· τὸ γὰρ γενέσθαι * κλει- C
νὸν καὶ μὴ ἀνώνυμον κεῖσθαι τετελευτηκότα τοῦ τοιούτου
ἐστὶν ἐπιθυμία. γένος οὖν ἀνθρώπων ἐστί τι ξυμφυὲς τοῦ
παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται καὶ ξυνέψεται,
τούτῳ τῷ τρόπῳ ἀθάνατον ὂν τῷ παῖδας παίδων καταλειπό-
μενον ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειλη-
φέναι. τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτὸν οὐδέποτε ὅσιον,
ἐκ προνοίας δ' ἀποστερεῖ ὃς ἂν παίδων καὶ γυναικὸς ἀμε-
λῇ. πειθόμενος μὲν οὖν τῷ * νόμῳ ἀζήμιος ἀπαλλάττοιτο ἄν, D
μὴ πειθόμενος δὲ αὖ μηδὲ γαμῶν ἔτη τριάκοντα γεγονὼς καὶ
πέντε ζημιούσθω μὲν κατ' ἐνιαυτὸν τόσῳ καὶ τόσῳ, ἵνα μὴ
δοκῇ τὴν μοναυλίαν οἱ κέρδος καὶ ῥᾳστώνην φέρειν, μὴ **)
μετεχέτω δὲ τιμῶν ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσ-
βυτέρους αὐτῶν τιμῶσιν ἑκάστοτε. Τοῦτον δὴ παρ' ἐκεῖνον
τὸν νόμον ἀκούσαντα ἔξεστι περὶ ἑνὸς ἑκάστου διανοηθῆναι,
πότερον αὐτοὺς διπλοῦς οὕτω δεῖ γενέσθαι ***), τῷ μήκει
* τὸ σμικρότατον †), διὰ τὸ πείθειν τε ἅμα καὶ ἀπειλεῖν,
ἢ τῷ ἀπειλεῖν μόνον χρωμένους ἁπλοῦς γίγνεσθαι τοῖς μή- E
κεσιν.

---

*) ἄλλ. τῇ καὶ τῇ δὲ. ἴσ. τῇ δὲ καὶ τῇ.
) γρ. καὶ μή. *) ἄλλ. γίγνεσθαι.
†) ἴσ. μακρότατον.

Ath. Principium autem ortus omnibus civitatibus nonne est nuptiarum coniunctio et communio?

Cl. Quidni?

Ath. Nuptiales igitur leges primae si constituuntur rectissime videntur cuique civitati constitui.

Cl. Maxime.

Ath. Dicamus vero primum simplicem, quae fortasse hoc modo se habebit: uxorem quisque ducito, quum annos habet triginta, usque ad annum quintum tricesimum, sin minus, pecunia et ignominia mulctator, pecunia quidem tanta et tanta, et ignominia hac et hac. ac simplex quidem haec esto de nuptiis lex, duplex vero haec; uxorem quisque ducito quum annos habet triginta, usque ad annum quintum tricesimum, cogitans humanum genus natura esse immortalitatis quodammodo particeps, cuius appetitione quaque quisque natura teneatur; famae enim celebritatis nominisque post mortem habendi cupiditas hoc spectat. genus videlicet hominum cognatum fere est universo tempori, perpetuo hoc sequens et sequuturum, et hoc modo immortale, quod natos natorum relinquens idem et unum semper est, generando immortalitatem consequens. hoc igitur se ipsum ultro privare numquam fas est, consulto autem se privat qui liberos et mulierem nihil curat. et obtemperans quidem legi impunitus discedet, non obtemperans autem nec uxorem ducens quinque et triginta annos natus mulctator quotannis tanto et tanto, ut ne putet caelibatum sibi lucrum et commoditatem afferre, nec honorum particeps fiat, quibus iuniores in civitate seniores solent decorare. Hanc igitur et illam legem audienti licet de unaquaque iudicare, utrum leges duplices ita esse oporteat, quod quidem ad longitudinem amplissimum erit, quia persuasionem et minationem coniungit, an simplices ad longitudinem esse debeant minationem tantum adhibentes.

ΜΕ. Πρὸς μὲν τοῦ Λακωνικοῦ τρόπου, ὦ ξένε, τὸ τὰ βραχύτερα ἀεὶ προτιμᾶν· τούτων μὴν τῶν γραμμάτων εἴ τις κριτὴν ἐμὲ κελεύοι γίγνεσθαι πότερα βουλοίμην ἂν ἐν τῇ πόλει μοι γεγραμμένα τεθῆναι, τὰ μακρότερ' ἂν ἑλοίμην, * καὶ 722 δὴ καὶ περὶ παντὸς νόμου, κατὰ τοῦτο τὸ παράδειγμα εἰ γίγνοιτο ἑκάτερα, ταὐτὸν τοῦτ' ἂν αἱροίμην· οὐ μὴν ἀλλά που καὶ Κλεινίᾳ τῷδ' ἀρέσκειν δεῖ τὰ νῦν νομοθετούμενα· τούτου γὰρ ἡ πόλις ἡ νῦν τοῖς τοιούτοις νόμοις χρῆσθαι διανοουμένη.

ΚΛ. Καλῶς γ', ὦ Μέγιλλε, εἶπες.

ΑΘ. Τὸ μὲν οὖν περὶ πολλῶν ἢ ὀλίγων γραμμάτων ποιήσασθαι τὸν λόγον λίαν εὔηθες· τὰ γάρ, οἶμαι, βέλτιστα, ἀλλ' οὐ τὰ βραχύτατα * οὐδὲ τὰ μήκη τιμητέον· τὰ δ' ἐν B τοῖς νῦν δὴ νόμοις ῥηθεῖσιν οὐ διπλῷ θάτερα τῶν ἑτέρων διάφορα μόνον εἰς ἀρετὴν τῆς χρείας, ἀλλ', ὅπερ ἐῤῥήθη νῦν δή, τὸ τῶν διττῶν ἰατρῶν γένος ὀρθότατα παρετέθη. πρὸς τοῦτο *) δὲ οὐδεὶς ἔοικε διανοηθῆναι πώποτε τῶν νομοθετῶν· ὡς ἐξὸν δυοῖν χρῆσθαι πρὸς τὰς νομοθεσίας, πειθοῖ καὶ βίᾳ, καθ' ὅσον οἷόν τε ἐπὶ τὸν ἄπειρον παιδείας ὄχλον, τῷ ἑτέρῳ χρῶνται μόνον· οὐ γὰρ πειθοῖ κεραννύντες * τὴν μάχην **) νομοθετοῦσιν, ἀλλ' ἀκράτῳ μόνον τῇ βίᾳ. C ἐγὼ δέ, ὦ μακάριοι, καὶ τρίτον ἔτι περὶ τοὺς νόμους ὁρῶ γίγνεσθαι δέον οὐδαμῇ τὰ νῦν γιγνόμενον.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ἐξ αὐτῶν ὧν νῦν διειλέγμεθα ἡμεῖς κατὰ θεόν τινα γεγονός. σχεδὸν γάρ, ἐξ ὅσου περὶ τῶν νόμων ἤργμεθα λέγειν ἐξ ἑωθινοῦ, μεσημβρία τε γέγονε καὶ ἐν ταύτῃ παγκάλῃ ἀναπαύλῃ τινὶ γεγόναμεν, οὐδὲν ἀλλ' ἢ περὶ νόμων διαλεγόμενοι, νόμους * δὲ ἄρτι μοι δοκοῦμεν λέγειν ἄρχε- D σθαι, τὰ δ' ἔμπροσθεν ἦν πάντα ἡμῖν προοίμια νόμων. τί δὲ ταῦτ' εἴρηκα; τόδ' εἰπεῖν βουληθείς, ὅτι λόγων μὲν ***) πάντων καὶ †) ὅσων φωνὴ κεκοινώνηκε προοίμιά τέ ἐστι καὶ σχεδὸν οἷόν τινες ἀνακινήσεις, ἔχουσαί τινα ἔντεχνον

---

*) ἄλλ. τούτῳ. **) ἴσ. ἀνάγκην.
***) γρ. λόγων. †) ἴσ. καὶ πάντων ὅσων.

Me. Laconicus quidem mos eſt, hoſpes, breviora quaeque praeferre; harum tamen praeſcriptionum ſi quis iudicem me iuberet eſſe utras vellem in civitate mihi proponi, longiora eligerem, atque etiam in quaque lege, ſecundum exemplum illud ſi utraque proponerentur, idem hoc eligerem; quamquam ſine dubio Cliniae quoque huic non poſſunt non probari leges nunc propoſitae; huius enim urbs eſt quae talibus nunc legibus uti cogitat.

Cl. Praeclare, Megille, loquutus es.

Ath. At vero de multis vel paucis praeſcriptionibus diſſerere nimis ineptum; etenim, opinor, optima, non breviſſima nec longitudines colenda; quae vero in legibus modo latis propoſita ſunt, non altero tanto altera alteris praeſtant tantum ad virtutem uſus, ſed, quod modo diximus, duplex medicorum genus rectiſſime appoſitum eſt. de hoc autem nullus videtur cogitaſſe umquam legum latorum; nam quum liceat duobus uti ad legum lationem, perſuaſione et vi, quoad eius fieri poteſt apud turbam diſciplinae expertem, altero utuntur tantummodo; non enim cum perſuaſione temperantes neceſſitatem leges ſcribunt, ſed meram tantum vim adhibentes. ego vero, o praeſtantiſſimi, tertium praeterea aliquid video quod in legibus condendis fieri debeat, nunc autem nequaquam fiat.

Cl. Quidnam dicis?

Ath. Quod ex ipſis quae nunc egimus deo aliquo iuvante exſiſtit. fere enim ex quo de legibus coepimus diſſerere a mane, meridies factus eſt et hoc loco oppido pulchro ad requieſcendum verſamur, nihil aliud facientes niſi de legibus disputantes, ad leges autem modo mihi videmur aggredi dicendas, et ſuperiora erant omnia prooemia legum. quorſum vero haec quae dixi spectant? hoc dicere volo, orationum quidem et omnium quorum particeps vox ſit prooemia eſſe et fere quaſi proluſiones quasdam, artificioſam quandam habentes

ἐπιχείρησιν χρήσιμον πρὸς τὸ μέλλον περαίνεσθαι· καὶ δήπου κιθαρῳδικῆς ᾠδῆς λεγομένων νόμων καὶ πάσης μούσης προοίμια θαυμαστῶς ἐσπουδασμένα πρόκειται· τῶν δὲ ὄντως * νόμων ὄντων, οὓς δὴ πολιτικοὺς εἶναί φαμεν, οὐδεὶς πώ- E
ποτε οὔτ' εἶπέ τι προοίμιον οὔτε ξυνθέτης γενόμενος ἐξήνεγκεν εἰς τὸ φῶς, ὡς οὐκ ὄντος φύσει. ἡμῖν δὲ ἡ νῦν διατριβὴ γεγονυῖα, ὡς ἐμοὶ δοκεῖ, σημαίνει ὡς ὄντος, οἵ τέ γε δὴ διπλοῖ ἔδοξαν νῦν δή μοι λεχθέντες νόμοι, οὐκ εἶναι ἁπλῶς οὕτω πως διπλοῖ, ἀλλὰ δύο μέν τινε, νόμος τε καὶ προοίμιον τοῦ νόμου· ὃ δὴ τυραννικὸν ἐπίταγμα ἀπεικασθὲν ἐῤῥήθη τοῖς ἐπιτάγμασι τοῖς * τῶν ἰατρῶν οὓς εἴπομεν ἀνε- 723
λευθέρους, τοῦτ' εἶναι νόμος ἄκρατος, τὸ δὲ πρὸ τούτου ῥηθέν, πειστικὸν λεχθὲν ὑπὸ τοῦδε, ὄντως μὲν εἶναι πειστικόν, προοιμίου μὴν τοῦ περὶ λόγους δύναμιν ἔχειν. ἵνα γὰρ εὐμενῶς καὶ διὰ τὴν εὐμένειαν εὐμαθέστερον τὴν ἐπίταξιν, ὃ δή ἐστιν ὁ νόμος, δέξηται ᾧ τὸν νόμον ὁ νομοθέτης λέγει, τούτου χάριν εἰρῆσθαί μοι κατεφάνη πᾶς ὁ λόγος οὗτος ὃν πείθων εἶπεν ὁ λέγων. διὸ δὴ κατά γε τὸν ἐμὸν λόγον τοῦτ' αὐτό, προοίμιον, * ἀλλ' οὐ λόγος ἂν ὀρθῶς B
προσαγορεύοιτο εἶναι τοῦ νόμου. ταῦτ' οὖν εἰπὼν τί τὸ μετὰ τοῦτο ἂν μοι βουληθείην εἰρῆσθαι; τόδε, ὡς τὸν νομοθέτην πρὸ πάντων τε ἀεὶ τῶν νόμων χρεὼν ἐστι μὴ ἀμοίρους αὐτοὺς προοιμίων ποιεῖν καὶ καθ' ἕκαστον *), ᾗ διοίσουσιν ἑαυτῶν ὅσον νῦν δὴ τὼ λεχθέντε διηνεγκάτην.

ΚΛ. Τό γ' ἐμὸν οὐκ ἂν ἄλλως νομοθετεῖν διακελεύοιτο ἡμῖν τὸν τούτων ἐπιστήμονα.

ΑΘ. Καλῶς μὲν τοίνυν, ὦ Κλεινία, * δοκεῖς μοι τό C
γε τοσοῦτον λέγειν, ὅτι πᾶσί γε νόμοις ἔστι προοίμια καὶ ὅτι πάσης ἀρχόμενον νομοθεσίας χρὴ προτιθέναι παντὸς τοῦ λόγου τὸ πεφυκὸς προοίμιον ἑκάστοις· οὐ γὰρ σμικρὸν τὸ μετὰ τοῦτ' ἐστὶ ῥηθησόμενον, οὐδ' ὀλίγον διαφέρον ἢ σαφῶς ἢ μὴ σαφῶς αὐτὰ μνημονεύεσθαι· τὸ μέντοι μεγάλων πέρι λεγομένων νόμων καὶ σμικρῶν εἰ ὁμοίως προοιμιάζεσθαι προστάττοιμεν, οὐκ ἂν ὀρθῶς λέγοιμεν· οὐδὲ γὰρ ᾄσματος **) οὐδὲ * λόγου D

*) ἴσ. πάντων γε — ποιεῖν καθ' ἕκαστον.
**) ἴσ. ἐπὶ ᾄσματος.

aggreſſionem utilem ad id quod perficiendum ſit; et ſane citharoedicorum carminum, quos νόμους (leges) graece dicimus, totiusque muſae prooemia miro cum ſtudio elaborata exſtant; legum autem verarum, quas quidem civiles eſſe dicimus, nemo umquam neque dixit prooemium aliquod neque a ſe compoſitum protulit in lucem, quaſi non ſit naturâ. nobis vero disputatio quam nunc habuimus, ut mihi videtur, indicat revera eſſe, et quae duplices viſae ſint modo a me dictae leges, eas non ſic ſimpliciter eſſe duplices, ſed duo quaedam, legem et prooemium legis; quod videlicet tyrannicum praeceptum dictum fuerit cum medicorum praeceptis comparatum quos vocavimus illiberales, hoc eſſe legem meram, id vero quod ante hoc dicatur, propterea ad perſuaſionem appoſitum nobis vocatum, id revera quidem ad perſuaſionem eſſe appoſitum, prooemii autem orationis vim habere. ut enim benivole et propter benivolentiam docilior factus praeſcriptionem, quae quidem lex eſt, accipiat is cui legum lator legem ſcribit, iccirco mihi viſa eſt univerſa haec oratio dici quam legum lator perſuadendi cauſa dicat. quapropter ex mea quidem oratione hoc ipſo nomine, legis prooemii, non orationis recte afficietur. quod quidem quum expoſitum ſit quid deinde mihi voluerim dici? hoc, legum latorem oportere omnibus ſemper legibus prooemia praeponere nec ullam eo privare; qua quidem ratione ſibimet ipſis praeſtabunt, quanto ſupra dictae praeſtiterunt.

Cl. Equidem non aliter leges ſcribere iubeam nobis harum rerum peritum.

Ath. Praeclare quidem, Clinia, videris mihi hoc dicere omnibus legibus eſſe prooemium et quamque incipienti legum lationem praeponendum eſſe cuiusque orationis naturale prooemium ſingulis legibus; neque enim leve eſt id quod deinde dicetur, neque parvi refert plane an non plane ea memorentur; attamen ſi magnis quae ponerentur legibus et parvis ſimiliter iuberemus prooemia praeponi, non recte diceremus; neque enim

παντὸς δεῖ τὸ τοιοῦτον δρᾶν, καίτοι πέφυκέ γε εἶναι πᾶσιν, ἀλλ' οὐ χρηστέον ἅπασιν· αὐτῷ δὲ τῷ τε ῥήτορι καὶ τῷ μελῳδῷ καὶ τῷ νομοθέτῃ τὸ τοιοῦτον ἑκάστοτε ἐπιτρεπτέον.

ΚΛ. Ἀληθέστατα δοκεῖς μοι λέγειν· ἀλλὰ δὴ μηκέτ', ὦ ξένε, διατριβὴν πλείω τῆς μελλήσεως ποιώμεθα, ἐπὶ δὲ τὸν λόγον ἐπανέλθωμεν καὶ ἀπ' ἐκείνων ἀρχώμεθα, εἴ σοι φίλον, ὧν οὐχ ὡς προοιμιαζόμενος εἶπες τότε. πάλιν οὖν, οἷόν φασιν οἱ παίζοντες, ἀμεινόνων * ἐξ ἀρχῆς δευτέρων E
ἐπαναπολήσωμεν, ὡς προοίμιον, ἀλλ' οὐ τὸν τυχόντα λόγον περαίνοντες, καθάπερ ἄρτι. λάβωμεν δ' αὐτῶν ἀρχὴν ὁμολογοῦντες προοιμιάζεσθαι· καὶ τὰ μὲν περὶ θεῶν τιμῆς προγόνων τε θεραπείας καὶ τὰ νῦν δὴ λεχθέντα ἱκανά, τὰ δ' ἑξῆς πειρώμεθα λέγειν, μέχριπερ ἂν σοι πᾶν τὸ προοίμιον ἱκανῶς εἰρῆσθαι δοκῇ· μετὰ δὲ τοῦτο ἤδη τοὺς νόμους αὐτοὺς διέξει λέγειν.

ΑΘ. * Οὐκοῦν περὶ θεῶν μὲν καὶ τῶν μετὰ θεοὺς καὶ 724
γονέων ζώντων τε πέρι καὶ τελευτησάντων τότε ἱκανῶς προοιμιασάμεθα, ὡς νῦν λέγομεν· τὸ δ' ἀπολειπόμενον ἔτι τοῦ τοιούτου φαίνει μοι σὺ διακελεύεσθαι τὰ νῦν οἷον πρὸς τὸ φῶς ἐπανάγειν.

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Ἀλλὰ μὴν μετά γε τὰ τοιαῦτα ὡς χρὴ περὶ *) τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώματα καὶ τὰς οὐσίας σπουδῆς τε πέρι καὶ ἀνέσεως ἴσχειν, προσῆκόν * τ' ἐστὶ καὶ κοινότατον B
ἀναπεμπαζομένους τόν τε λέγοντα καὶ τοὺς ἀκούοντας παιδείας γίγνεσθαι κατὰ δύναμιν ἐπηβόλους. ταῦτ' οὖν ἡμῖν αὐτὰ μετ' ἐκεῖνα ὄντως ἐστὶ ῥητέα τε καὶ ἀκουστέα.

ΚΛ. Ὀρθότατα λέγεις.

---

*) ἴσ. τὰ περὶ.

in carmine neque in oratione quaque hoc eſt faciundum; quamquam naturâ omnibus eſt; neque vero omnibus adhibendum; ipſi autem rhetori et carminum cantori et legum latori hoc ſemper permittendum.

Cl. Veriſſime mihi videris dicere; nec vero amplius, hoſpes, cunctantes moram faciamus, ſed ad orationem revertamur et ab iſtis initium ducamus, ſi tibi placet, quae non tamquam prooemium proferens tunc dixiſti. rurſus igitur, quia, ut dicunt ludentes, meliora ſunt quae repetuntur, ab initio revocemus, tamquam prooemium, non orationem primam quamque abſolventes, quemadmodum ſupra. initium igitur earum faciamus confitentes nos praefari; ac de honore quidem deorum maiorumque cultu etiam ea quae modo dicta ſunt ſatisfaciunt, deinceps vero quae ſequuntur conemur dicere, dum totum tibi prooemium ſatis viſum fuerit expoſitum eſſe; deinde ipſas iam leges oratione perſequeris.

Ath. Itaque de diis quidem et eis qui poſt deos ſequuntur et parentibus tam vivis quam mortuis tunc ſatis ſumus praefati, ut nunc dicimus; quod vero relictum eſt id iam videris mihi tu iubere nunc quaſi in lucem proferri.

Cl. Sane quidem.

Ath. At vero deinde, quomodo animus cuiusque et corpus et opes ad ſerium ſtudium et remiſſionem comparata eſſe debeant, in memoriam revocare convenit, plurimumque intereſt tam dicentis quam audientium, ut disciplinae, quantum poſſint, compotes fiant. haec igitur nobis ipſa poſt illa reapſe ſunt exponenda et audienda.

Cl. Veriſſime loqueris.

LIBER QUINTUS.

Prooemia continuantur, et Atheniensis qui in praegressis de honore diis tribuendo, de cura et observantia, et de officiis quae liberis, cognatis, civibus et peregrinis praestanda sint exposuit, iam ad animum pergit, praestantissimam hominis partem, cuius cura et cultus quo contineatur, declarat (729). Tertium est corpus, in quo similiter quid principatum obtineat, legum latorem oportet definire; post corpus denique considerantur adminicula illa quae ad usum vitae pertinent, bona externa, in quibus, sicut in reliquis omnibus, moderatio optima est. Parentes curare non debent ut liberis divitias relinquant, sed ut verecundiam eis iniiciant, quae non vitiorum reprehensione comparatur, sed seniorum ipsorum verecundia; non enim is qui admonet tantummodo atque praecipit vere erudit, sed quem id quod praecipit ipsum facientem videmus. Sanguinis communionem et gentilitatem colere debemus, ut dii gentilicii in liberorum procreatione nobis sint propitii; item debemus amicorum et civium benivolentiam nobis conciliare, in peregrinos vero et hospites ne peccemus vel maxime cavendum. Dein pro se quisque quomodo optime vivat exponitur. Ante omnia veritas colenda est, ut aliorum fidem ac benivolentiam colligamus. Honore porro afficiendus est qui iustitiam et ipse colit et alios ne quid iniusti faciant prohibet. Vir bonus severus sit oportet in eos qui consulto peccant et e pravitate laborent fere insanabili, misericors autem et clemens erga eos qui culpas leviores easque per errorem committant (731). — Maximum in hominis natura insitum vitium suimet ipsius est amor, plurimorum peccatorum fons

atque origo. — In gaudio et dolore modus est adhibendus, in eis vero quae e fortuna suspensa sunt providentia divina confidendum (733). Hominis naturam si universe spectamus, duo reperimus e quibus vita naturalis pendeat, voluptatem et dolorem, quorum naturam et rationem explorari oportet (734. Iam si dolorem et voluptatem inter se conferas, vitam invenias, quo minus doloris, plus autem voluptatis habeat, eo praestantiorem esse; ex quo efficitur ut vita temperata, prudens, fortis et sana praestet immoderatae, imprudenti, ignavae et aegrotae.

Prooemio absoluto civium in urbem recipiendorum delectum esse habendum monet Atheniensis, et improbos reiiciendos vel alio relegandos, ne boni eorum contagione contaminentur (736). Nonnulla deinde praefatus de difficultate quam agrorum distributio novaeque tabulae habeant, de civium et habitationum numero (5040: quippe qui in plurimas possit partes dividi), eorum distributione in classes et agrorum domorumque divisione disputat (737). — In rebus divinis legum lator nihil debet novare. Cuique civium parti deus vel genius vel heros praeficiendus, eique luci et agri dedicandi; cives vero in sacrificiis communibus et conventibus benigno inter se voltu excipient et cognoscent, quo nihil reipublicae salubrius cogitari potest (739). — Tria sunt civitatum genera; unum divinum et absolutum, in quo omnia omnium sunt communia, alterum, quod a perfecto illo proxime abest, et tertium volgare. Civitas nunc constituenda ad secundum genus pertinet. — Primum agri et domus civibus dividuntor, et quae cuique sors obtigit, eam pro patriae possessione habeto et quammaxime colito. Sortium numerus neque augeri neque minui debet (740). Iccirco sortem neque vendere neque emere licet, et omnino a quaestu illiberali ac sordido abstinendum (741). Etiam auro et argento civibus interdicet legum lator, commercii autem ususque quotidiani causa

numum introducet apud exteros pretium non habentem. Vetabit porro dotem dare et accipere, pecuniam deponere et foenerari (non enim divitiae, ſed virtus cives reddit beatos); quamquam, ut divitiae a civitate amovendae ſunt, ſi tranquillitatem et ſecuritatem adeſſe volumus, ſic etiam nimia fugienda eſt paupertas. Utriusque modus erit ſors quae cuique obtigit, quam neque minuere neque ſupra quadruplum augere licebit (745).

Urbs in media regione condenda et univerſa terra in duodecim partes dividenda eſt; tot vero ſortes faciundae quot ſunt cives, et quaeque ſors duas continebit portiones, urbi propiorem unam, alteram remotiorem. Viri quoque in tribus duodecim, quibus ſingulis deus praeerit, distribuendi. Ita in omnibus certus quidam modus ac numerus conſtitui ac praeſcribi debet, in quo tamen cavendum eſt ne, id quod Aegyptiis et Phoenicibus conſtat accidiſſe, numerorum cognitio in ſordidam abeat illiberalemque quaeſtus cupiditatem.

E.

726 Ἀκούοι δὴ πᾶς ὅςπερ νῦν δὴ τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν αὑτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. τὰ δ' αὑτοῦ διττα πάντ' ἐστι πᾶσι *)· τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δ' ἥττω καὶ χείρω δοῦλα. τῶν οὖν αὑτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν
727 αὑτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας * καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων δευτέραν ὀρθῶς παρακελεύομαι, τιμᾷ δ', ὡς ἔπος εἰπεῖν, ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ,

*) γρ. διττά ἐστι παντάπασι.

V.

Audiat igitur quicumque modo de diis et caris maioribus dicta audivit; omnium enim ſuorum bonorum poſt deos animus diviniſſimum, quippe quod maxime ſit proprium. duplicia vero omnia sunt bona omnibus; ac ſuperiora quidem et meliora dominantia, inferiora autem et deteriora ſervientia. dominantia vero ſemper praeferenda ſervientibus, ita igitur ſuum quemque animum poſt deos qui domini ſint et eos qui ipſos ſequantur colere oportere ſecundo loco ſi dico recte cohortor, colit autem nemo fere noſtrum recte, ſed videtur. divinum

θεῖον γὰρ ἀγαθόν που τιμή· τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ
δ' ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτὴν αὔξειν ἤ τισιν
ὑπείξεσι, μηδὲν *) βελτίω δὲ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμε-
νος τιμᾶν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς
εὐθὺς γενόμενος ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι
γιγνώσκειν, καὶ τιμᾶν * οἴεται ἐπαινῶν τὴν αὑτοῦ ψυχήν, B
καὶ προθυμούμενος ἐπιτρέπει πράττειν ὅ τι ἂν ἐθέλῃ· τὸ δὲ
νῦν λεγόμενόν ἐστιν ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ·
δεῖ δέ, ὥς φαμεν, μετά γε θεοὺς δευτέραν· οὐδέ γε ὅταν
ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοτε ἁμαρτημάτων μὴ ἑαυτὸν αἴ-
τιον ἡγῆται καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλ' ἄλ-
λους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ, τιμᾷ **) τὴν αὑτοῦ
ψυχήν, ὡς δὴ δοκεῖ· ὁ δὲ πολλοῦ δεῖ δρᾶν ***) τοῦτο· βλά-
πτει * γάρ· οὐδ' ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νο- C
μοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμά-
ζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν· οὐδέ γε ὁπό-
ταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ
ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν, ἀλλ' ὑπείκῃ,
τότε οὐ τιμᾷ ὑπείκων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν
τὰ τοιαῦτα ξύμπαντα· οὐδ' ὁπόταν ἡγῆται τὸ ζῆν πάντως
ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει * δ' αὐτὴν καὶ τότε· τὰ γὰρ D
ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγουμένης τῆς ψυχῆς εἶναι
ὑπείκει καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων ὡς οὐκ
οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν
ἡμῖν τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ· οὐδὲ μὴν πρὸ ἀρετῆς
ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ' ἔστιν οὐχ ἕτερον ἢ ἡ
τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία· ψυχῆς γὰρ σῶμα ἐν-
τιμότερον οὗτος ὁ λόγος φησὶν εἶναι ψευδόμενος· * οὐδὲν E
γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον· ἀλλ' ὁ περὶ ψυχῆς ἄλ-
λως δοξάζων ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ·
οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς ἢ μὴ
δυσχερῶς φέρῃ κτώμενος, * δώροις ἄρα τιμᾷ τότε τὴν ἑαυ- 728

*) γρ. αὔξειν, μηδὲν.
**) ἄλλ. τιμῶν.
***) ἴσ. οὐδὲ πολλοῦ δεῖ δρᾷ.

videlicet bonum eſt honor, malorum vero nihil honorandum; et is qui arbitratur vel ſermonibus quibusdam vel muneribus eum ſe aucturum eſſe vel obſequiis, nihilo autem meliorem e deteriore eum facit, is colere quidem videtur, colit autem nullo modo. exempli cauſa quivis homo ſtatim a puero ad omnia ſe arbitratur cognoſcenda idoneum eſſe, et honorare ſe cenſet laudans animum ſuum, et promptus eſt ad omnia ei permittenda quaecumque voluerit agere; nos autem nunc dicimus eum hoc facientem laedere, non honorare; oportet vero ut dicimus, poſt deos eum ſecundo loco coli; neque etiam, quum homo peccatorum ſuorum non ſibi culpam attribuit et plurimorum maximorumque malorum, ſed aliis, se ipſum autem ex culpa ſemper eximit, animum ſuum colit, ut ſcilicet arbitratur; multum tamen abeſt ut id faciat; laedit enim; neque quum voluptatibus praeter orationem laudemque legum latoris indulget, tum omnino colit, ſed ignominia afficit malis et poenitentia eum implens; neque quum contra in eis quos legum lator laudat laboribus et timoribus et doloribus et maeroribus non exercetur perſeveranter, ſed cedit, tum colit cedens; hominis enim expertem eum reddit haec omnia faciens; neque quum arbitratur vivere omnino bonum eſſe, honorat, ſed ignominia tum etiam eum afficit; animo enim res omnes apud inferos malas eſſe putanti cedit nec repugnat docens et convincens eum ne ſcire quidem an contra maxima omnium bonorum nobis ſint quae apud deos inferos nos maneant; porro ſi quis virtuti pulchritudinem anteponit, hoc nihil aliud eſt niſi vera et perfecta ignominia; animo enim corpus honore dignius eſſe dicit haec oratio mentiens; nihil enim terreſtre rebus caeleſtibus praeſtabilius, et qui aliter de animo ſentit is ignorat admirabilem hanc rem ſe negligere; neque etiam si quis opes ſtudet ſibi acquirere non honeſte vel non moleſte fert ſi acquiſivit, muneribus tum honorat

τοῦ ψυχήν· παντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὐτῆς τίμιον ἅμα
καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου· πᾶς γὰρ ὅ τ' ἐπὶ
γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος· οὐδέ, εἰπεῖν
ξυλλήβδην, ὅσαπερ *) ἂν νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ
διαριθμούμενος τάττῃ καὶ τοὐναντίον ἀγαθὰ καὶ καλά, τῶν
μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ, τὰ δὲ ἐπιτηδεύειν ξύμ-
πασαν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι * πᾶς ἄν- B
θρωπος ψυχὴν θειότατον ὂν ἀτιμότατα καὶ κακοσχημονέστατα
διατιθείς· τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας τὴν με-
γίστην οὐδείς, ὡς ἔπος εἰπεῖν, λογίζεται, ἔστι δ' ἡ μεγίστη
τὸ ὁμοιοῦσθαι τοῖς **) κακοῖς ἀνδράσιν, ὁμοιούμενον δὲ τοὺς
μὲν ἀγαθοὺς φεύγειν ἄνδρας καὶ λόγους καὶ ἀποσχίζεσθαι,
τοῖς δὲ προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας· προσ-
πεφυκότα δὲ τοῖς τοιούτοις ἀνάγκη ποιεῖν καὶ πάσχειν ἃ πε-
φύκασιν ἀλλήλους οἱ τοιοῦτοι * ποιεῖν καὶ λέγειν. τοῦτο οὖν C
δὴ τὸ πάθος δίκη μὲν οὐκ ἔστι· καλὸν γὰρ τό γε δίκαιον
καὶ ἡ δίκη· τιμωρία δέ, ἀδικίας ἀκόλουθος πάθη, ἧς ὅ τε
τυχὼν καὶ μὴ τυγχάνων ἄθλιος, ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ
δέ, ἵνα ἕτεροι πολλοὶ σώζωνται, ἀπολλύμενος. τιμὴ δ' ἐστὶν
ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμείνοσιν ἕπεσθαι, τὰ δὲ
χείρονα, γενέσθαι δὲ βελτίω δυνατὰ τοῦτ' αὐτὸ ὡς ἄριστα
ἀποτελεῖν. ψυχῆς οὖν ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστε-
ρον εἰς * τὸ φυγεῖν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ D
πάντων ἄριστον, καὶ ἑλόντα αὖ κοινῇ ξυνοικεῖν τὸν ἐπίλοι-
πον βίον· διὸ δεύτερον ἐτάχθη τιμῇ. τὸ δὲ τρίτον, πᾶς ἂν
τοῦτό γε νοήσειε, τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν.
τὰς δ' αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς καὶ
ὅσαι κίβδηλοι· τοῦτο δὲ νομοθέτου. μηνύειν δή μοι φαίνε-
ται τάσδε καὶ τοιάσδε τινὰς αὐτὰς εἶναι, τίμιον εἶναι σῶμα
οὐ τὸ καλὸν οὐδὲ ἰσχυρὸν οὐδὲ τάχος ἔχον οὐδὲ μέγα, οὐδέ
γε τὸ * ὑγιεινόν (καίτοι πολλοῖς ἂν τοῦτό γε δοκοῖ), καὶ E
μὴν οὐδὲ τὰ τούτων γ' ἐναντία, τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης

*) ἄλλ. ὡς δὲ εἰπεῖν ξυλλήβδην ὅς ἅπερ. ἴσ. οὐδέ, ὡς εἰπεῖν ξυλλήβδην, ὅταν ὅσαπερ.
**) ἄλλ. τοῖς οὖσι.

animum suum; prorsus igitur abest; quod enim in eo dignum est honore simulque pulchrum, id vendit pauco auro; nam quicquid auri in terra et sub terra est virtutem non aequiparat; atque, ut universe dicam, quum, quaecumque legis lator turpia esse atque mala enumerans statuit et contra bona ac pulchra, ab illis se prorsus abstinere, haec vero quam maxime colere non volt, in hisce omnibus nescit homo se animo, divinissimo bono, summam et ignominiam et turpitudinem infligere; quae enim maxima dicitur improbitatis poena, eam nemo propemodum reputat, maxima autem in hoc consistit quod huiusmodi homo viris improbis similis efficitur, similis autem factus bonos fugit viros et sermones seque ab his seiungit, illis vero adhaerescit societatem eorum sectans; his vero quum se adiungat, necesse est eum facere et pati quae eiusmodi homines inter se facere et dicere solent. haec autem affectio iusta quidem poena non est; pulchrum enim iustum iustaque poena; sed supplicium, iniustitiae comes affectio, quam et qui assequitur et qui non assequitur miser est, hic quidem quia non sanatur, ille vero quia perit, ut alii multi serventur. honor autem est nobis, ut universe dicam, meliora sequi et deteriora, si meliora fieri possint, hoc ipsum ut quam optima evadant efficere. homo vero nihil habet quod animo magis valeat naturâ ad fugiendum malum et investigandum capiendumque omnium optimum eoque capto communiter utendum reliquam per vitam; quocirca in secundo eum honoris gradu collocavimus. de tertio autem, quivis hoc quidem intelliget, corpori naturâ convenire hunc honorem. hos vero honores oportet considerari, eorumque quinam veri sint et qui adulterini; et hoc est legum latoris. indicare igitur mihi videtur hos et tales eos esse, honore dignum esse corpus non formosum neque robustum neque celeritate praeditum neque magnum, neque etiam sanum (quamquam multis hoc videatur), neque etiam horum contraria; sed quae medium hunc universum

ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε καὶ *) ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους. ὡς δ' αὔτως ἡ τῶν χρημάτων καὶ κτημάτων κτῆσις καὶ τιμήσεως **) κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει· τὰ μὲν γὰρ ὑπέρογκα ἑκάστων * τούτων ἔχθρας καὶ στάσεις ἀπεργάζεται ἐν 729
ταῖς ***) πόλεσι καὶ ἰδίᾳ, τὰ δ' ἐλλείποντα δουλείας ὡς τὸ πολύ. μὴ δή τις φιλοχρημονείτω παίδων γ' ἕνεκα, ἵνα ὅτι πλουσιωτάτους καταλίπῃ· οὔτε γὰρ ἐκείνοις οὔτ' αὖ τῇ πόλει ἄμεινον· ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δ' ἀναγκαίων μὴ ἐνδεής, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς ἅπαντα ἄλυπον τὸν βίον ἀπεργάζεται. παισὶ δὲ αἰδῶ χρὴ * πολλήν, B
οὐ χρυσὸν καταλείπειν· οἰόμεθα δ' ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσι τοῦτο καταλείψειν· τὸ δ' ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς δεῖ πάντα αἰσχύνεσθαι τὸν νέον· ὁ δὲ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι μή ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν· * ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, C
ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐτῶν οὐ τὸ νουθετεῖν, ἀλλ', ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου. ξυγγένειαν δὲ καὶ ὁμογνίων θεῶν κοινωνίαν ἅπασαν ταὐτοῦ φύσιν αἵματος ἔχουσαν τιμῶν τις καὶ σεβόμενος εὔνους ἂν γενεθλίους †) θεοὺς εἰς παίδων αὑτοῦ σπορὰν ἴσχοι κατὰ λόγον. καὶ μὴν τό γε φίλων καὶ ἑταίρων ††) πρὸς τὰς ἐν * βίῳ ὁμιλίας εὐμενὲς ἄν τις κτῷτο, D
μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὑτὸν ἡγούμενος ἢ 'κεῖνοι, ἐλάττους δ' αὖ τὰς αὑτοῦ διανοούμε-

*) γρ. ἅμα τε.
**) ἴσ. κτῆσις τιμήσεως.
***) γρ. ἀπεργάζεται ταῖς.
†) γρ. γενέσθαι οὓς.
††) γρ. ἑτέρων.

habitum attingant temperatissima simulque tutissima esse longe; altera enim inflatos et audaces reddere animos, altera vero submissos et illiberales. eandem honoris normam pecuniae et bonorum habet possessio; immoderata enim quaeque horum inimicitias et seditiones concitant in urbibus et privatim, deficientia contra servitutes plerumque. ne igitur quisquam pecuniae cupiditate teneatur liberorum gratia, ut quam divitissimos relinquat; neque enim his neque etiam civitati hoc conducit; nam iuvenum census adulatione liber nec rerum necessariarum indigens omnium maxime concinnus est atque optimus; concordans enim nobis et conveniens omnibus vitae conditionibus dolore liberam reddit vitam. pueris autem verecundiae multum, non aurum relinquendum; et arbitramur iuvenes impudentes castigando nos hoc relicturos esse; hoc autem non ex ea fit adhortatione qua nunc utuntur dicentes omnia oportere iuvenem revereri; sed sapiens legis lator seniores potius adhortabitur ut revereantur adolescentes omniumque maxime caveant ne quis umquam iuvenum ipsos videat vel audiat turpe quid facientem vel dicentem; nam ubi senes impudenter faciunt, necesse est etiam iuvenes ibi esse impudentissimos; institutio enim iuvenum simulque ipsorum praestans non est admonitio, sed hoc, si quis, quae alium admonens dicat, ea ipse reperitur faciens in vita. cognationem autem et gentiliciorum deorum communionem omnem eiusdem naturam sanguinis habentem honorans quis et venerans propitios genitales deos erga liberorum suorum fatum probabiliter habebit. atque etiam amicorum et sodalium benivolentiam in vitae consuetudine consequetur, qui maiora et graviora habet illorum ministeria in se, quam illi, minores autem

νος εἰς τοὺς φίλους χάριτας αὐτῶν τῶν φίλων τε καὶ ἑταίρων. εἰς μὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος ὅςτις πρὸ τοῦ Ὀλυμπίασι *) καὶ ἁπάντων ἀγώνων πολεμικῶν τε καὶ εἰρηνικῶν νικᾶν δέξαιτ' ἂν δόξῃ ὑπηρεσίας τῶν οἴκοι νόμων, ὡς ὑπηρετηκὼς πάντων κάλλιστ' ἀνθρώπων αὐτοῖς
* ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον ὡς ἁγιώτατα ξυμβόλαια ὄντα· σχεδὸν γὰρ πάντ' ἐστὶ τὰ τῶν ξένων· καὶ εἰς τοὺς ξένους ἁμαρτήματα παρὰ τὰ τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα τιμωρὸν μᾶλλον· ἔρημος γὰρ ὢν ὁ ξένος ἑταίρων τε καὶ ξυγγενῶν ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς· ὁ δυνάμενος οὖν τιμωρεῖν μᾶλλον βοηθεῖ προθυμότερον· δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς
* τῷ ξενίῳ ξυνεπόμενοι Διί· πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξένους ἁμαρτόντα ἐν τῷ βίῳ πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων ἁμαρτημάτων τὸ περὶ τοὺς ἱκέτας μέγιστον γίγνεται ἁμάρτημα ἑκάστοις· μεθ' οὗ γὰρ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογιῶν, φύλαξ διαφέρων οὗτος τοῦ παθόντος γίγνεται, ὥςτ' οὐκ ἄν ποτε ἀτιμώρητος πάθοι ὁ τυχὼν ὧν ἔπαθε.

* Τὰ μὲν οὖν περὶ γονέας τε καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους καὶ ξυγγένειαν ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα, τὸ δὲ ποῖός τις ὢν αὐτὸς ἂν κάλλιστα διαγάγοι **) τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν· ὅσ' ἂν οὖν μὴ νόμος, ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους εὐηνίους ***) μᾶλλον καὶ εὐμενεῖς τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται †), ταῦτ' ἐστὶ μετὰ τοῦτο ἡμῖν ῥητέον. Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν * θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη ††), ἵνα ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ· πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον· ὅτῳ δὲ ἀκούσιον, ἄνους· ὧν οὐδέτερον ζηλωτόν· ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ

Margin: E (line "ἐν τῷ βίῳ. πρὸς δ' αὖ…"); 730 (line "τῷ ξενίῳ ξυνεπόμενοι Διί…"); B (line "Τὰ μὲν οὖν…"); C (line "τοῦτο ἡμῖν ῥητέον…")

*) γρ. Ὀλυμπιάσι.
**) γρ. διάγοι.
***) γρ. εὐνοϊκούς.
†) ἴσ. ἀπεργάζηται.
††) ἴσ. ἂν εἴη.

gratias quas dedit amicis existimat quam ipsi amici et sodales. erga urbem et cives sane longe optimus erit qui victoriae in Olympiis omnibusque certaminibus tam belli quam pacis reportandae existimationem eam praefert qua omnium pulcherrime hominum legibus iudicatur in vita servisse. erga hospites porro sanctissima esse pacta cogitandum; ferme enim omnia ab hospitibus et in hospites commissa peccata prae illis quae cives inter se committunt ad deum referuntur ultorem; destitutus enim quum hospes sit ab amicis et cognatis miserabilior est hominibus et diis; quocirca qui magis ulcisci potest ad auxilium ferendum est promptior; potest autem prae ceteris hospitalis cuiusque genius et deus, qui hospitali comitantur Iovi; magnopere igitur cavere debet, in quo vel paullulum prudentiae inest, ut nullo in hospites peccato admisso ad finem vitae perveniat. peccatorum autem quae ad hospites et indigenas spectant maximum cuique est id quod in supplices committitur; quo enim supplex deo teste supplicans conditiones impetravit, hic custos eximius est afflicti; quocirca numquam impunitus qui illas impetravit affligetur.

Iam quae ad parentes et quemque ipsum et cuiusque res, quae porro ad urbis et amicorum et cognatorum et hospitum et indigenarum commercium spectant, ea fere exposuimus, qualis vero ipse debeat quisque esse si vitam optime sit traducturus, restat ut deinceps explicemus; ad quaecumque igitur non lex, sed laus et vituperatio singulos instituens flexibiles magis ac benivolos erga leges constituendas efficit, haec deinde nobis exponenda. Veritas bonorum principatum obtinet apud deos et homines, cuius qui futurus est beatus et felix ab initio statim particeps esse debet, ut quam plurimum tempus veritati studens vivat; fidus est enim; infidus vero, cui gratum est mendacium voluntarium; cui autem non voluntarium, is demens; quorum neutrum est expetendum; ab amicis enim destitutus quilibet est infidus

ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὑτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥςτε ζώντων καὶ μὴ ἑταίρων * καὶ παίδων σχεδὸν ὁμοίως D ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης * χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα E τις ἀγαθὰ κέκτηται δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι· καὶ τὸν μὲν μεταδιδόντα ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δ' αὖ μὴ δυνάμενον, ἐθέλοντα δὲ ἐᾶν *) δεύτερον, τὸν δὲ φθονοῦντα καὶ ἑκόντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ * κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ 731 κτᾶσθαι κατὰ δύναμιν. φιλονεικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως· ὁ μὲν γὰρ τοιοῦτος τὰς πόλεις αὔξει, ἁμιλλώμενος μὲν αὐτός, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς· ὁ δὲ φθονερὸς τῇ τῶν ἄλλων διαβολῇ δεῖν οἰόμενος ὑπερέχειν αὐτός τε ἧττον ξυντείνει πρὸς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνθαμιλλωμένους εἰς ἀθυμίαν καθίστησι τῷ ἀδίκως ψέγεσθαι, καὶ διὰ ταῦτα ἀγύμναστον * τὴν πόλιν ὅλην εἰς ἅμιλλαν B ἀρετῆς ποιῶν σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται. θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾶον δὲ ὡς ὅτι μάλιστα· τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυςίατα ἢ καὶ τὸ παράπαν ἀνίατα ἀδικήματα οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν ἢ μαχόμενον καὶ ἀμυνόμενον νικῶντα καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα, τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ * πᾶσα ἀδύνατος δρᾶν. τὰ δ' αὖ τῶν ὅσοι ἀδικοῦσι μέν, C ἰατὰ δέ, γιγνώσκειν χρὴ πρῶτον μὲν ὅτι πᾶς ὁ ἄδικος οὐχ

*) ἴσ. δρᾶν.

et inscitus, et tempore procedente cognitus difficili senectuti suae solitudinem quamque parat in fine vitae, et sive vivant sive non amici et liberi, fere aeque orba ei exsistat vita. Honorandus quidem etiam qui nihil iniuste facit; qui vero nec permittit ut qui iniuste facere velint iniuste faciant duplo maiore dignus est honore quam ille; hic enim unum, ille vero multos aequiparat alios, indicans ceterorum iniustitiam principibus. qui etiam pro viribus moderatores adiuvat in castigandis improbis, hic magnus in civitate vir atque perfectus pronunciator virtutis victor. eandem laudem de temperantia quoque oportet celebrari et de prudentia, et quaecumque alia quis bona possidet quae non solum ipse habet, verum etiam eum aliis communicare potest; et eum quidem qui communicat in summo honoris gradu collocari oportet, eum vero qui non potest, at facere volt, in secundo, invidentem autem nec sua sponte cuiquam bona aliqua propter amicitiam impertientem ipsum quidem vituperari, rem vero nihilo magis propter possessorem sperni, sed acquiri pro viribus. contendito nobis quisque ad virtutem sine invidia; talis enim civitates augebit, certans quidem ipse, de reliquis vero non detrahens calumniis, invidus contra reliquos calumniando se existimans oportere superiorem esse ipse minus tendit ad virtutem veram, et aemulantes iniusta vituperatione reddit animum despondentes, hancque ob causam civitatem totam ad virtutis certamen inexercitatam efficit et, quantum in ipso est, inferiorem reddit ad bonam famam. animosum quidem oportet quemque virum esse, mitem autem quam maxime; namque reliquorum iniurias graves et sanatu difficiles vel etiam omnino insanabiles non poterit aliter effugere quam ita ut pugnando seque defendendo vincat nihilque castigationis remittat, hoc autem sine animo generoso nemo potest facere. de his vero qui iniurias quidem faciunt, sed sanabiles, cognosci oportet primum quem-

ἑκὼν ἄδικος· τῶν γὰρ μεγίστων κακῶν οὐδεὶς οὐδαμοῦ οὐδὲν ἑκὼν κέκτητο *) ἄν ποτε, πολὺ δ' ἥκιστα ἐν τοῖς τῶν ἑαυτοῦ τιμιωτάτοις· ψυχὴ δ', ὡς εἴπομεν, ἀληθείᾳ γ' ἐστὶ πᾶσι τιμιώτατον· ἐν οὖν τῷ τιμιωτάτῳ τὸ μέγιστον κακὸν οὐδεὶς ἑκὼν μή ποτε λάβῃ καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό· ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅ γε * ἄδικος καὶ ὁ τὰ κακὰ ἔχων, D
ἐλεεῖν δὲ τὸν μὲν ἰάσιμα ἔχοντα ἐγχωρεῖ καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν καὶ μὴ ἀκραχολοῦντα γυναικείως πικραινόμενον διατελεῖν, τῷ δ' ἀκράτως **) καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν· διὸ δὴ θυμοειδῆ πρέπειν ***) καὶ πρᾶόν φαμεν ἑκάστοτε εἶναι δεῖν τὸν ἀγαθόν. Πάντων δὲ μέγιστον κακῶν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς ἑαυτῷ ξυγγνώμην ἔχων ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ' * ἔστιν ὃ λέγουσιν ὡς E
φίλος αὐτῷ πᾶς ἄνθρωπος φύσει τ' ἐστὶ καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε· τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ * αὑτοῦ 75a
πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος· οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὐτῷ ἐάν τε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' αὐτῷ δοκεῖν σοφίαν εἶναι γέγονε πᾶσιν· ὅθεν οὐκ εἰδότες, ὡς ἔπος εἰπεῖν, οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, * ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ B
πράττοντες. διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὑτόν, τὸν δ' ἑαυτοῦ βελτίω διώκειν δεῖ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον. Ἃ δὲ σμικρότερα μὲν τούτων καὶ λεγόμενα πολλάκις ἐστί, χρήσιμα δὲ τούτων οὐχ ἧττον, χρὴ λέγειν ἑαυτὸν ἀναμιμνήσκοντα· ὥσπερ γάρ τινος ἀποῤῥέοντος ἀεὶ δεῖ τοὐναντίον ἐπιῤῥεῖν· ἀνά-

---

*) ἴσ. κεκτῇτο.
**) ἴσ. ἀνιάτως.
***) ἴσ. εἰ πρέπει.

que iniustum non sua sponte iniustum esse; maximorum enim malorum nemo umquam ullum sua sponte sibi comparaverit, omnium vero minime in iis quae praestantissima habet; animus autem, ut diximus, revera est omnibus praestantissimum bonum; in praestantissima igitur sui parte maximum malum nemo umquam sua sponte suscipiet et per totam vitam habebit; sed misericordia dignus est iniustus et mala habens, et misereri quidem convenit eius qui sanabilia habet, ita ut iracundiam cohibeamus et mitigemus, non ferventes muliebriter in excandescentia perseveremus, in eum autem, qui tam improbus et malus est ut sanari nequeat nec admonitioni relinquat locum, immitti oportet iram; quocirca animosum et mitem dicimus quemque debere bonum esse. Omnium vero maximum malorum hominibus plerisque insitum in animis est, cuius, quia sibi quisque id ignoscit, nullum quaerit effugium, hoc est illud quod dicunt, quemque hominem se ipsum natura amare et recte habere talem esse; at revera hoc omnium peccatorum propter nimium sui amorem cuique semper est causa; occaecat enim amantem id quod amat adeo ut iusta et bona et pulchra male iudicet, suum semper magis quam verum esse colendum arbitrans; neque enim se ipsum neque res suas debet diligere qui magnus vir est futurus, sed iusta, sive ab ipso sive ab alio magis peraguntur. ex eodem autem hoc peccato etiam exsistit omnibus vitium quo suam quisque inscitiam existimat sapientiam esse; quo fit ut nihil fere scientes putemus omnia nos scire et, quia aliis non committimus quae nescimus facere, cogamur peccare ipsi facientes. idcirco quemque hominem oportet fugere nimium sui amorem, meliorem vero se ipso sectari debet nullo se pudore ab hoc impediri patiens. Quae his leviora quidem sunt saepiusque dicta, non minus tamen quam illa utilia, oportet dici in memoriam reducta; debet enim semper quasi aliquid effluat, rursus quid influere; et recordatio

μνησις δ' ἐστὶν ἐπιῤῥοὴ φρονήσεως ἀπολειπούσης. * διὸ δὴ C γελώτων τε εἴργεσθαι χρὴ τῶν ἐξαισίων καὶ δακρύων, παραγγέλλειν δὲ παντὶ πάντ' ἄνδρα, καὶ ὅλην περιχάρειαν πᾶσαν ἀποκρυπτόμενον *) καὶ περιωδυνίαν εὐσχημονεῖν πειρᾶσθαι, κατά τε εὐπραγίας ἱσταμένου τοῦ δαίμονος ἑκάστου καὶ κατὰ τύχας οἷον πρὸς ὑψηλὰ καὶ ἀνάντη δαιμόνων ἀνθισταμένων τισὶ πράξεσιν, ἐλπίζειν δ' ἀεὶ τοῖς γε ἀγαθοῖς τὸν θεὸν ἃ δωρεῖται, πόνων μὲν ἐπιπιπτόντων ἀντὶ μειζόνων ἐλάττους ποιήσειν * τῶν τ' αὖ νῦν παρόντων ἐπὶ τὸ βέλτιον με- D ταβολάς, περὶ δὲ τὰ ἀγαθὰ τὰ ἐναντία τούτων ἀεὶ πάνθ' αὐτοῖς παραγενήσεσθαι μετ' ἀγαθῆς τύχης. ταύταις **) δὴ ταῖς ἐλπίσιν ἕκαστον χρὴ ζῆν καὶ ταῖς ὑπομνήσεσι πάντων τῶν τοιούτων, μηδὲν φειδόμενον, ἀλλ' ἀεὶ κατά τε παιδιὰς καὶ σπουδὰς ἀναμιμνήσκοντα ἕτερόν τε καὶ ἑαυτὸν σαφῶς.

Νῦν οὖν δὴ περὶ μὲν ἐπιτηδευμάτων, οἷα χρὴ ἐπιτηδεύειν, καὶ περὶ αὐτοῦ ἑκάστου, ποῖόν τινα * χρεὼν εἶναι, E λέλεκται σχεδὸν ὅσα θεῖά ἐστι· τὰ δ' ἀνθρώπινα νῦν ἡμῖν οὐκ εἴρηται· δεῖ δέ· ἀνθρώποις γὰρ διαλεγόμεθα, ἀλλ' οὐ θεοῖς. ἔστι δὴ φύσει ἀνθρώπειον μάλιστα ἡδοναὶ καὶ λῦπαι καὶ ἐπιθυμίαι, ἐξ ὧν ἀνάγκη τὸ θνητὸν πᾶν ζῶον ἀτεχνῶς οἷον ἐξηρτῆσθαί τε καὶ ἐκκρεμάμενον εἶναι σπουδαῖς ταῖς μεγίσταις. δεῖ δὴ τὸν κάλλιστον βίον ἐπαινεῖν μὴ μόνον ὅτι τῷ σχήματι κρατεῖ πρὸς εὐδοξίαν, ἀλλὰ καὶ * ὡς, ἄν τις 733 ἐθέλῃ γεύεσθαι καὶ μὴ νέος ὢν φυγὰς ἀπ' αὐτοῦ γένηται, κρατεῖ καὶ τούτῳ ὃ πάντες ζητοῦμεν, τῷ χαίρειν πλείω, ἐλάττω δὲ λυπεῖσθαι παρὰ τὸν βίον ἅπαντα. ὡς δὲ ἔσται τοῦτο σαφές, ἂν γεύηταί τις ὀρθῶς, ἑτοίμως καὶ σφόδρα φανήσεται. ἡ δὲ ὀρθότης τίς ***), τοῦτο ἤδη παρὰ τοῦ λόγου χρὴ λαμβάνοντα σκοπεῖν εἴτε οὕτως ἡμῖν κατὰ φύσιν πέφυκεν εἴτε ἄλλως παρὰ φύσιν· βίον δὲ χρὴ παρὰ βίον ἡδίω καὶ λυπηρότερον ὧδε σκοπεῖν. ἡδονὴν βουλόμεθα ἡμῖν εἶναι, λύπην δὲ * οὔθ' αἱρούμεθα οὔτε βουλόμεθα, τὸ δὲ μηδέτερον B ἀντὶ μὲν ἡδονῆς οὐ βουλόμεθα, λύπης δὲ ἀλλάττεσθαι βου-

---

*) ἴσ. περιχάρειαν ἀποκρυπτόμενον.
**) ἴσ. ἐν ταύταις.
***) ἄλλ. τίς;

est quum scientia, postquam defecit, rursus influit. quocirca risu nos abstinere debemus immoderato atque lacrymis, et quisque quemque debet admonere, ut omnem et gaudii et doloris intemperantiam comprimens decorum servare studeat, sive in felici rerum statu cuiusque genius versatur sive in fortunae casibus, tamquam cum excelso quodam et arduo luctans cum infortunio, et sperari oportet, dum bonis quae deus largiatur labores incidant, fore ut ille e maioribus minores hos faciat et praesentes mutet, quod vero ad bona horum contraria attinet, omnia semper sibi eventura esse cum bona fortuna. hac igitur in spe quemque vivere oportet omniumque horum in recordatione, nihil remittentem, sed semper in ludis feriisque rebus alterum et se ipsum clare admonentem.

Nunc igitur de studiis quae colenda sint et de quoque ipso, qualem esse oporteat, fere expositum est quaecumque ad deos spectant; humana vero nunc nobis non dicta; oportet vero; hominibus enim exponimus, non diis. sunt igitur naturâ maxime humanae voluptates et dolores et cupiditates, e quibus necesse est mortale omne animal plane quasi aptum et suspensum esse maximopere. oportet vero praestantissimam vitam laudari non solum quia famae splendore excellit, sed etiam quod, si quis velit gustare nec iuvenis inde aufugerit, eo quoque superat quod omnes expetimus, maiore gaudio et minore dolore totam per vitam. hoc ita se habere si quis recte gustet, facile et admodum clare patebit. rectum vero quid in eo sit, hoc iam a ratione oportet sumi et considerari, utrum ita nobis naturae conveniat an aliter naturae adversetur; vitam autem oportet ad vitam iucundiorem et acerbiorem ita spectari. voluptatem volumus nobis esse, dolorem contra neque eligimus neque volumus, neutrum vero pro voluptate quidem non cupimus, cum dolore autem commutare volumus; dolorem porro minorem cum maiore voluptate volumus,

λόμεθα· λύπην δὲ ἐλάττω μετὰ μείζονος ἡδονῆς βουλόμεθα ἡδονὴν δὲ ἐλάττω μετὰ μείζονος λύπης οὐ βουλόμεθα, ἴσα δ' ἀντὶ ἴσων ἑκάτερα τούτων οὐχ ὡς βουλόμεθα ἔχοιμεν ἂν διασαφεῖν· ταῦτα δὲ πάντα ἐστὶ πλήθει καὶ μεγέθει καὶ σφοδρότησιν ἰσότησί τε καὶ ὅσα ἐναντία ἐστὶ πᾶσι τοῖς τοιούτοις, πρὸς βούλησιν διαφέροντά τε καὶ μηδὲν διαφέροντα * πρὸς C αἵρεσιν ἑκάστων. οὕτω δὴ τούτων ἐξ ἀνάγκης *) διακεκοσμημένων, ἐν ᾧ μὲν βίῳ ἔνεστι πολλὰ ἑκάτερα καὶ μεγάλα καὶ σφοδρά, ὑπερβάλλει δὲ τὰ τῶν ἡδονῶν, βουλόμεθα, ἐν ᾧ δὲ τὰ ἐναντία, οὐ βουλόμεθα· καὶ αὖ ἐν ᾧ ὀλίγα ἑκάτερα καὶ σμικρὰ καὶ ἠρεμαῖα, ὑπερβάλλει δὲ τὰ λυπηρά, οὐ βουλόμεθα, ἐν ᾧ δὲ τἀναντία, βουλόμεθα· ἐν ᾧ δ' αὖ βίῳ ἰσοῤῥοπεῖ, καθάπερ ἐν τοῖς πρόσθεν, δεῖ διανοεῖσθαι τὸν ἰσόῤῥοπον βίον, ὡς τῶν μὲν ὑπερβαλλόντων **) τῷ * φίλῳ D ἡμῖν βουλόμεθα, τῶν ***) δ' αὖ τοῖς ἐχθροῖς οὐ βουλόμεθα. πάντας δὴ δεῖ διανοεῖσθαι τοὺς βίους ἡμῶν ὡς ἐν τούτοις ἐνδεδεμένοι πεφύκασι, καὶ δεῖ διανοεῖσθαι ποίους φύσει βουλόμεθα· εἰ δέ τι παρὰ ταῦτα ἄρα φαμὲν βούλεσθαι, διά τινα ἄγνοιαν καὶ ἀπειρίαν τῶν ὄντων βίων αὐτὰ λέγομεν. τίνες δὴ καὶ πόσοι εἰσὶ βίοι, ὧν πέρι δεῖ προελόμενον τὸ βουλητόν τε καὶ ἑκούσιον ἀβούλητόν τε καὶ ἀκούσιον ἰδόντα, εἰς νόμον ἑαυτῷ ταξάμενον, τὸ φίλον * ἅμα καὶ ἡδὺ καὶ ἄρι- E στόν τε καὶ κάλλιστον ἑλόμενον ζῆν ὡς οἷόν τ' ἐστὶν ἄνθρωπον μακαριώτατα; λέγωμεν δὴ σώφρονα βίον ἕνα εἶναι καὶ φρόνιμον ἕνα καὶ ἕνα τὸν ἀνδρεῖον, καὶ τὸν ὑγιεινὸν βίον ἕνα ταξώμεθα· καὶ τούτοις οὖσι τέτταρσιν ἐναντίους ἄλλους τέτταρας, ἄφρονα, δειλόν, ἀκόλαστον, νοσώδη. σώφρονα μὲν οὖν βίον ὁ γιγνώσκων θήσει πρᾶον ἐπὶ πάντα καὶ ἠρεμαίας μὲν λύπας, ἠρεμαίας δὲ ἡδονάς, * μαλακὰς δὲ 734 ἐπιθυμίας καὶ ἔρωτας οὐκ ἐμμανεῖς παρεχόμενον, ἀκόλαστον δὲ ὀξὺν ἐπὶ πάντα καὶ σφοδρὰς μὲν λύπας, σφοδρὰς δὲ ἡδονάς, ξυντόνους δὲ καὶ οἰστρώδεις ἐπιθυμίας τε καὶ ἔρωτας

---

*) ἴσ. διαφέροντα. οὕτω δὴ τούτων ἐξ ἀνάγκης πρὸς αἵρεσιν ἑκάστων.
**) ἴσ. τὸν μὲν ὑπερβάλλοντα.
***) ἴσ. τόν.

voluptatem vero minorem cum maiore dolore nolumus, aequalia autem haec utraque pro aequalibus nos velle non poterimus declarare; haec vero omnia multitudine et magnitudine et vehementia et aequalitate omnibusque quae harum contraria sunt ad voluntatem nostram vel differunt vel non differunt. quae quidem quum ita ad optionem nostram necessario constituta sint, vitam quidem, in qua insunt multa utraque et magna et vehementia, superant vero voluptates, optamus, eam vero in qua contraria, non optamus; et contra in qua pauca utraque et exigua et placida sunt, superant vero acerba, non optamus, in qua vero contraria, eam optamus; eam autem vitam, in qua aequalia sunt, quemadmodum in superioribus, cogitari oportet aequalem esse, quippe appetentibus nobis eam in qua quod nobis carum et amicum est superat, eam vero in qua inimica eminent refugientibus. existimandum igitur est omnes nostras vitas his esse illigatas, et reputandum quales natura expetamus; et si quid praeter haec dicimus nos expetere, per inscientiam quandam et imperitiam vitarum quae exstant id pronunciamus. quaenam igitur et quot sunt vitae in quibus expetitum voluntariumque et neque expetitum neque voluntarium eligi et spectari legeque constitui oportet, ut amicum simulque iucundum et optimum et pulcherrimum sumentes vivamus quam felicissime homo possit? dicamus igitur temperantem vitam unam esse et prudentem unam et unam fortem, atque etiam sanam vitam unam statuamus; et harum quae sunt quattuor contrarias alias quattuor, imprudentem, ignavam, effrenatam, aegrotam. ac temperatam quidem vitam qui cognitam habet mitem ponet esse in omnibus et placidos dolores placidasque voluptates itemque cupiditates lenes et amores non furiosos afferentem, effrenatam vero acrem in omnibus esse et vehementes dolores vehementesque voluptates itemque cupiditates intentiores et insanas et amores quam maxime

ὡς οἷόν τ' ἐμμανεστάτους παρεχόμενον, ὑπερβαλλούσας δὲ
ἐν μὲν τῷ σώφρονι βίῳ τὰς ἡδονὰς τῶν ἀχθηδόνων, ἐν δὲ
τῷ ἀκολάστῳ τὰς λύπας τῶν ἡδονῶν μεγέθει καὶ πλήθει καὶ
πυκνότησιν. ὅθεν ὁ μὲν ἡδίων ἡμῖν τῶν βίων, ὁ δὲ λυπη-
ρότερος ἐξ ἀνάγκης ξυμβαίνει * κατὰ φύσιν γίγνεσθαι, καὶ B
τόν γε βουλόμενον ἡδέως ζῆν οὐκέτι παρείκει ἑκόντα γε ἀκο-
λάστως ζῆν, ἀλλ' ἤδη δῆλον ὡς, εἰ τὸ νῦν λεγόμενον ὀρ-
θόν, πᾶς ἐξ ἀνάγκης ἄκων ἐστὶν ἀκόλαστος· ἢ γὰρ δι' ἀμα-
θίαν ἢ δι' ἀκράτειαν ἢ δι' ἀμφότερα τοῦ σωφρονεῖν ἐνδεὴς
ὢν ζῇ ὁ πᾶς ἀνθρώπινος ὄχλος. ταῦτα δὲ περὶ νοσώδους τε
καὶ ὑγιεινοῦ βίου διανοητέον, ὡς ἔχουσι μὲν ἡδονὰς καὶ λύ-
πας, ὑπερβάλλουσι δὲ ἡδοναὶ μὲν λύπας ἐν ὑγιείᾳ, * λῦ- C
παι δὲ ἡδονὰς ἐν νόσοις. ἡμῖν δὲ ἡ βούλησις τῆς αἱρέσεως
τῶν βίων οὐχ ἵνα τὸ λυπηρὸν ὑπερβάλλῃ *), ὅπου δ' ὑπερ-
βάλλεται, τοῦτον τὸν βίον ἡδίω κεκρίκαμεν. [ὁ δὴ σώφρων
τοῦ ἀκολάστου] καὶ ὁ φρόνιμος τοῦ ἄφρονος, φαῖμεν ἄν,
καὶ ὁ τῆς ἀνδρείας τοῦ τῆς δειλίας ἐλάττονα καὶ σμικρότερα
καὶ μανώτερα **) ἔχων ἀμφότερα, τῇ τῶν ἡδονῶν ἑκάτερος
ἑκάτερον ὑπερβάλλων, τῇ τῆς λύπης ἐκείνων ὑπερβαλλόντων
αὐτούς, ὁ μὲν ἀνδρεῖος * τὸν δειλόν, ὁ δὲ φρόνιμος τὸν D
ἄφρονα, νικῶσιν, ὥστε ἡδίους εἶναι τοὺς βίους τῶν βίων,
σώφρονα καὶ ἀνδρεῖον καὶ φρόνιμον καὶ ὑγιεινὸν δειλοῦ καὶ
ἄφρονος καὶ ἀκολάστου καὶ νοσώδους, καὶ ξυλλήβδην τὸν
ἀρετῆς ἐχόμενον κατὰ σῶμα ἢ καὶ κατὰ ψυχὴν τοῦ τῆς μοχ-
θηρίας ἐχομένου βίου ἡδίω τε εἶναι καὶ τοῖς ἄλλοις ὑπερ-
έχειν ἐκ περιττοῦ κάλλει καὶ ὀρθότητι καὶ ἀρετῇ καὶ εὐδο-
ξίᾳ, ὥστε τὸν ἔχοντα αὐτὸν ζῆν εὐδαιμονέστερον ἀπεργάζε-
σθαι * τοῦ ἐναντίου τῷ παντὶ καὶ ὅλῳ. E

Καὶ τὸ μὲν προοίμιον τῶν νόμων ἐνταῦθα λεχθὲν τῶν λόγων τέλος ἐχέτω, μετὰ δὲ τὸ προοίμιον ἀναγκαῖόν που νόμον ἕπεσθαι, μᾶλλον δὲ τό γε ἀληθὲς νόμους πολιτείας ὑπογράφειν. καθάπερ οὖν δή τινα ξυνυφὴν ἢ καὶ πλέγμ' ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τ' ἐστὶ τήν τε ἐφυφὴν καὶ τὸν στήμονα ἀπεργάζεσθαι, διαφέρειν δ' ἀναγκαῖον τὸ τῶν

*) ἴσ. ὑπερβάλλει.
**) ἄλλ. μανότερα.

furiosos afferentem, in temperata autem vita voluptates semel superare dolores, in effrenata vero dolores superare voluptates magnitudine et multitudine et densitate. unde una quidem nobis vita iucundior, altera vero acerbior necessario naturâ existit, eique qui iucunde volt vivere iam non licet ultro effrenate vivere, sed perspicuum est, si quod nunc dicitur rectum est, quemque necessario invitum esse effrenatum; nam vel per inscitiam vel per intemperantiam vel per utrumque moderationis expers vivit quaeque humana turba. idem de aegrota et sana vita cogitandum, eas habere quidem voluptates ac dolores, superari autem a voluptatibus dolores in sanitate et a doloribus voluptates in morbis. nostra autem voluntas et optio vitarum non ad eam tendit, ubi acerbum superat, sed ubi superatur, hanc vitam iucundiorem iudicavimus. etiam prudens vita imprudentem, dicemus, et fortitudinis vita ignaviae vitam superant, quod, licet pauciora, minora et tenuiora utraque habeant, tamen voluptatibus antecellunt illis in quibus dolor eminet, fortis ignavae et prudens imprudenti; ita ut vitae vitis suaviores sint, temperata et fortis et prudens et sana ignava et imprudente et effrenata et aegrota, et in universum vita corporis vel etiam animi virtute praestans iucundior sit quam ea quae cum improbitate coniuncta est et reliquis insuper antecellat, pulchro, recto, virtute et gloria; quo fit ut qui eam habeat is prorsus et omnino beatius vivat quam contrarius.

Ac prooemium quidem legum hactenus dictum finem habeto, post prooemium vero necesse est legem sequi, vel potius reapse leges civitatis praescribi. quemadmodum igitur in textura quovisque alio opere quod nectitur non ex isdem confici possunt subtemen et stamen, sed staminum genus virtute praestet necesse est

στημόνων πρὸς ἀρετὴν γένος (ἰσχυρόν τε γάρ καί τινα * βε- 735
βαιότητα ἐν τοῖς τρόποις *) εἰληφός, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον)· ὅθεν δὴ τοὺς μεγάλας ἀρχὰς **) ἐν ταῖς πόλεσιν ἄρξοντας δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ καὶ τοὺς σμικρὰ ***) παιδείᾳ βασανισθέντας ἑκάστοτε κατὰ λόγον· ἐστὸν γάρ δὴ δύο πολιτείας εἴδη, τὸ μὲν ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες.

Τὸ δὲ πρὸ τούτων ἁπάντων δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν * καὶ βουκόλος τροφεύς τε ἵππων, B
καὶ ὅσα ἄλλα τοιαῦτα, παραλαβὼν οὐκ ἄλλως μή ποτε ἐπιχειρήσειε †) θεραπεύειν, ἢ πρῶτον μὲν τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθάρῃ ††) τῇ ξυνοικήσει, διαλέξας δὲ τά τε ὑγιῆ καὶ τὰ μὴ καὶ τὰ γενναῖα καὶ ἀγεννῆ τὰ μὲν ἀποπέμψει πρὸς ἄλλας τινὰς ἀγέλας, τὰ δὲ θεραπεύσει, διανοούμενος ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος περί τε σῶμα καὶ ψυχάς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα * προσαπόλ- C
λυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος ἐν ἑκάστοις τῶν κτημάτων, ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθαίρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζώων ἐλάσσων τε σπουδὴ καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ, τὰ δὲ τῶν ἀνθρώπων σπουδῆς τῆς μεγίστης τῷ τε νομοθέτῃ διερευνᾶσθαι καὶ φράζειν τὸ προσῆκον ἑκάστοις καθαρμοῦ τε πέρι καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων. αὐτίκα γὰρ
* τὸ περὶ καθαρμοὺς πόλεως ὧδ' ἔχον ἂν εἴη. πολλῶν οὐ- D
σῶν τῶν διακαθάρσεων αἱ μὲν ῥᾴους εἰσίν, αἱ δὲ χαλεπώτεραι, καὶ τὰς μὲν τύραννος μὲν ὢν καὶ νομοθέτης ὁ αὐτός, ὅσαι χαλεπαί τ' εἰσὶ καὶ ἄρισται, δύναιτ' ἂν καθῆραι, νομοθέτης δὲ ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν καὶ νόμους, εἰ καὶ τὸν πρᾳότατον τῶν καθαρμῶν καθήρειεν, ἀγαπητῶς ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ' ὁ μὲν ἄριστος ἀλγεινός, καθάπερ ὅσα τῶν φαρμάκων * τοιουτότροπα, E

*) ἴσ. ἐν ταῖς στροφαῖς.
) ἴσ. τὰς ἀρχάς. *) ἄλλ. σμικρᾷ.
†) ἄλλ. ἐπιχειρήσῃ. ἴσ. οὐκ ἄλλως δήποτε ἐπιχειρήσει. ††) ἴσ. καθαρεῖ.

(firmum est enim et stabilitatem quandam torquendo accepit, illud vero mollius est et lenitatem quandam iustam habet), sic etiam eos qui potestates in urbibus gesturi sint discerni oportet quodammodo hac ratione et eos qui leviter disciplina explorati sint rite; sunt enim duo civitatis genera, unum potestatum cuique convenientium constitutio, alterum leges potestatibus datae.

Ante haec vero omnia cogitandum est hoc. quemque gregem pastor et bubulcus equorumque altor, et quaecumque alia eiusdem generis, suscipiens numquam aliter incipiet procurare nisi ita ut primum purgationem cuique contubernio convenientem adhibeat, et sanis ab aegrotis et generosis a vilibus secretis haec quidem amandet ad alios quos greges, illa vero procuret, secum reputans, vanum fore laborem atque irritum in corpus et animum insumptum, quae natura pravaque educatio quum corruperit praeterea perdat sanorum et integrorum morum corporumque genus in singulis mancipiis, nisi quis praesentia perpurget. ac reliquorum quidem animantium minor est cura et exempli tantum causa digna quam oratio apponat, hominum vero res maximo cum studio legum lator investigabit, ut quod cuique conveniat praecipiat quod ad purgationem omnesque reliquas actiones attinet. vel urbis purgatio sic se habebit. multae quum exstent purgationes aliae faciliores sunt, aliae difficiliores; ac tyrannus qui est itemque legis lator, quaecumque difficiles sunt atque optimae, poterit adhibere, legum autem lator sive tyrannide novam civitatem legesque constituens si lenissimam adhibuerit purgationem, praeclare se res habeat. est autem optima acerba, quemadmodum medicamenta omnia eiusdem

ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς· τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην δὲ οὖσαν βλάβην πόλεως, ἀπαλλάττειν εἴωθεν. ὁ δὲ πρᾳότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόςδε ἡμῖν· ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες * ἕπεσθαι, τούτοις ὡς νο- 736
σήματι πόλεως ἐμπεφυκότι δι' εὐφημίαν ἀπαλλαγῆς *) ὄνομα ἀποικίαν τιθέμενος, εὐμενῶς ὅτι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἀμωσγέπως κατ' ἀρχὰς δραστέον, ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ ξυμβεβηκότα νῦν· οὔτε γὰρ ἀποικίαν οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρόν, οἷον δέ τινων ξυῤῥεόντων ἐκ πολλῶν τὰ μὲν πηγῶν τὰ δὲ χειμάῤῥων * εἰς B
μίαν λίμνην, ἀναγκαῖον προςέχοντας τὸν νοῦν φυλάττειν ὅπως ὅτι καθαρώτατον ἔσται τὸ ξυῤῥέον ὕδωρ, τὰ **) μὲν ἐξαντλοῦντας, τὰ δ' ἀποχετεύοντας καὶ παρατρέποντας. πόνος δ', ὡς ἔοικε, καὶ κίνδυνός ἐστιν ἐν πάσῃ κατασκευῇ πολιτικῇ· ἀλλ' ἐπείπερ λόγῳ γ' ἐστὶ τὰ νῦν, ἀλλ' οὐκ ἔργῳ πραττόμενα, πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ καὶ κατὰ νοῦν ἡ καθαρότης αὐτῆς ἔστω ξυμβεβηκυῖα· τοὺς γὰρ κακοὺς τῶν ἐπιχειρούντων * εἰς τὴν νῦν πόλιν ὡς πολιτευσομένους ξυν- C
ιέναι, πειθοῖ πάσῃ καὶ ἱκανῷ χρόνῳ διαβασανίσαντες, διακωλύσωμεν ἀφικνεῖσθαι, τοὺς δ' ἀγαθοὺς εἰς δύναμιν εὐμενεῖς ἵλεῴ τε ***) προςαγώμεθα.

Τόδε δὲ μὴ λανθανέτω γιγνόμενον ἡμᾶς εὐτύχημα, ὅτι, καθάπερ εἴπομεν τὴν τῶν Ἡρακλειδῶν ἀποικίαν εὐτυχεῖν, ὡς γῆς καὶ χρεῶν ἀποκοπῆς καὶ νομῆς πέρι †) δεινὴν καὶ ἐπικίνδυνον ἔριν ἐξέφυγεν, ἣν νομοθετεῖσθαι ἀναγκασθείσῃ
* πόλει τῶν ἀρχαίων οὔτε ἐᾶν οἷόν τε ἀκίνητον οὐδὲν οὔτ' D
αὖ κινεῖν δυνατόν ἐστί τινα τρόπον, εὐχὴ δὲ μόνον, ὡς ἔπος

---

*) ἄλλ. δι' εὐφημίας ἀπαλλαγήν. ἴσ. δι' εὐφημίαν ἀπαλλαγῇ. **) γρ. καὶ τά.
***) γρ. ἵλεω τε. ἄλλ. ἵλεώς τε.
†) ἴσ. εὐτυχεῖν, καὶ χρεῶν ἀποκοπῆς καὶ γῆς νομῆς πέρι.

generis, quae videlicet iustum per supplicium ad castigationem ducit, mortem vel exsilium supplicii finem imponens; nam qui maxima peccaverunt et insanabiles sunt, maxima civitatis pernicies, eiicere solet. mitior vero purgatio talis est nobis: quicumque propter victus inopiam ducibus se praebent comites paratos in eis qui in bonorum possessione sunt exspoliandis, hos tamquam morbum civitatis innatum, amotioni honestum coloniae nomen imponens, benivole quam maxime emittit, et cuilibet quidem qui leges dat hoc omni modo initio faciundum, nobis autem his etiam admirabiliora hac in re nunc acciderunt; neque enim coloniam neque delectum quendum purgationis causa in praesentia excogitare debemus, sed, velut confluentibus quibusdam e multis partim fontibus partim torrentibus unum in lacum, necesse est attente nos observare, ut quam purissima sit confluens aqua, partim eam exhaurientes, partim derivantes et avertentes. labor autem, ut patet, et periculum est in quavis constitutione civili; attamen, quum verbis nunc, non re haec peragantur, absoluta nobis esto collectio et ex animi sententia eius puritas effecta; malos enim qui in civitatem praesentem tamquam administraturi eam convenire conaturi sint, persuasione omni et tempore satis longo exploratos prohibeamus accedere, bonos vero pro viribus benivoli ac propitii adsciscamus. ;

Hoc autem ne lateat nos urbi nostrae fortuna secunda idem obtigisse, quod Heraclidarum coloniae obtigisse diximus, ut de tabulis novis agrorumque distributione gravem ac periculosam litem effugeret, quam quidem rem lege constituere si civitas cogitur neque pristinorum quicquam immutatum sinere neque etiam commovere quodammodo potest, sed votum tantum,

εἰπεῖν, λείπεται καὶ σμικρὰ μετάβασις εὐλαβὴς ἐν πολλῷ χρόνῳ σμικρὸν μεταβιβάζουσιν· ἥδε *) τῶν κινούντων ἀεὶ κεκτημένων μὲν αὐτῶν γῆν ἄφθονον ὑπάρχει **), κεκτημένων δὲ καὶ ὀφειλέτας αὐτοῖς πολλούς, ἐθελόντων τε ***) τούτων πῃ τοῖς ἀπορουμένοις δι' ἐπιείκειαν κοινωνεῖν τὰ μὲν ἀφιέντας, τὰ δὲ * νεμομένους, ἀμηγέπῃ τῆς μετριότητος ἐχομένους, καὶ πενίαν ἡγουμένους εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω· σωτηρίας τε γὰρ ἀρχὴ μεγίστη πόλεως αὕτη γίγνεται, καὶ ἐπὶ ταύτης οἷον κρηπῖδος μονίμου ἐποικοδομεῖν δυνατὸν ὅντινα ἂν ὕστερον ἐποικοδομῇ τις κόσμον πολιτικὸν προσήκοντα τῇ τοιαύτῃ καταστάσει· ταύτης δὲ σαθρᾶς οὔσης τῆς μεταβάσεως οὐκ * εὔπορος ἡ μετὰ ταῦτα πολιτικὴ πρᾶξις οὐδεμία γίγνοιτ' ἂν πόλει· ἣν ἡμεῖς μέν, ὥς φαμεν, ἐκφεύγομεν, ὅμως δὲ εἰρῆσθαί γε ὀρθότερον, εἰ καὶ μὴ ἐξεφεύγομεν ****), ὅπῃ ποτ' ἂν ἐποιούμεθα αὐτῆς τὴν φυγήν· εἰρήσθω δὴ νῦν †) ὅτι διὰ τοῦ μὴ φιλοχρηματεῖν μετὰ δίκης ††)· ἄλλη δ' οὐκ ἔστιν οὔτ' εὐρεῖα οὔτε στενὴ τῆς τοιαύτης μηχανῆς διαφυγή. καὶ τοῦτο μὲν οἷον ἕρμα πόλεως ἡμῖν κείσθω τὰ νῦν· ἀνεγκλήτους γὰρ δεῖ τὰς οὐσίας πρὸς * ἀλλήλους κατασκευάζεσθαι ἁμωσγέπως, ἢ μὴ προϊέναι πρότερον εἰς τοὔμπροσθεν ἑκόντα εἶναι τῆς ἄλλης κατασκευῆς, οἷς †††) ᾖ παλαιὰ ἐγκλήματα πρὸς ἀλλήλους, καὶ ὅσοις νοῦ καὶ σμικρὸν μετῇ· οἷς δέ, ὡς ἡμῖν νῦν, θεὸς ἔδωκε καινήν τε πόλιν οἰκίζειν καὶ μή τινας ἔχθρας εἶναί πω πρὸς ἀλλήλους, τούτους ἔχθρας αὐτοῖς αἰτίους γενέσθαι διὰ τὴν διανομὴν τῆς γῆς τε καὶ οἰκήσεων οὐκ ἀνθρώπινος ἂν εἴη μετὰ κάκης πάσης ἀμαθία;

E

737

B

* Τίς οὖν δὴ τρόπος ἂν εἴη τῆς ὀρθῆς διανομῆς; πρῶτον μὲν τὸν αὐτῶν (*) ὄγκον τοῦ ἀριθμοῦ δεῖ τάξασθαι, πόσον εἶναι χρεών, μετὰ δὲ τοῦτο τὴν διανομὴν τῶν πολιτῶν, καθ' ὁπόσα μέρη πλήθει καὶ ὁπηλίκα (**) διαιρετέον αὐτοῖς, ἀνομολογητέον· ἐπὶ δὲ ταῦτα τήν τε γῆν καὶ τὰς οἰκήσεις C

---

*) γρ. ἡ δέ. **) ἄλλ. ὑπάρχειν.
) γρ. δέ. *) γρ. ἐκφεύγομεν.
†) γρ. δὲ νῦν. ἴσ. δή νυν. ††) ἴσ. μετ' ἀδικίας.
†††) ἴσ. οἷς ἄν. (*) γρ. αὐτόν. (**) γρ. πηλίκα.

ut ita dicam, relinquitur parvaque mutatio cauta, dum longo ſpatio paullatim res novantur; haec autem lenis mutatio fit, ſi agrorum multorum poſſeſſores ſemper aliquid mutant et multos debitores habentes bona ſua volunt cum indigentibus fere communicare alia remittentes, alia distribuentes, dum plane moderationi ſtudent et paupertatem non in opum imminutione, ſed in cupiditate creſcente ſitam eſſe cenſent; ſalutis enim hoc eſt maximum principium civitatis, et ſuper hoc tamquam fundamento ſtabili ſtrui poterit quemcumque poſtea quis ſtruere voluerit ordinem civilem tali conſtitutioni convenientem; haec autem mutatio quum vitioſa eſt, haud facilis erit deinde ulla actio civilis in urbe ſusceptu; quam nos quidem, ut dicimus, effugimus, vel, quod rectius dicitur, etiamſi non effugimus, tamen aliquo modo eius effugium asſequuti ſumus, idque, ut nunc dictum eſto, iniuſta pecuniae cupiditate remota; alia non eſt neque lata neque anguſta horum effugiendorum via. et hoc quidem tamquam id quo civitas fulciatur nobis nunc poſitum eſto; opes enim prorſus a criminatione vacuas inter ſe parare debent cives, aut ſua ſponte non ulterius progredi in reliquis parandis, ſi vetera inter ſe crimina inferunt, quicumque vel parum ſapiunt; quibus vero, ut nobis nunc, deus permittit novam urbem condere, in qua nondum mutuae ſunt inimicitiae, ſi hi inimicitias ſibi ipſi commoveant, nonne extremae hoc ſit inſcitiae omnisque pravitatis?

Quaenam igitur recte distribuendi ratio erit? primum numeri eorum magnitudinem oportet conſtitui quantam eſſe debeat, deinde distributio civium in quot et quantas partes dividendi ſint, definienda; et praeterea agri et habitationes quam maxime aequalia distribuenda. magnitudo igitur numeri non aliter dici poterit iuſta niſi terrae ac vicinorum urbium rationem ha-

ὅτι μάλιστα ἴσας ἐπινεμητέον. ὄγκος δὴ πλήθους ἱκανὸς οὐκ
ἄλλως ὀρθῶς γίγνοιτ' ἂν λεχθεὶς ἢ πρὸς τὴν γῆν καὶ τὰς
τῶν πλησιοχώρων * πόλεις· γῆς μὲν, ὁπόση πόσους σώφρο- D
νας ὄντας ἱκανὴ τρέφειν, πλείονος δ' οὐδὲν προσδεῖ· πλή-
θους δὲ, ὁπόσοι τοὺς προσχώρους ἀδικοῦντάς τε αὐτοὺς ἀμύ-
νασθαι δυνατοὶ καὶ γείτοσιν ἑαυτῶν ἀδικουμένοις βοηθῆσαι
μὴ παντάπασιν ἀπόρως δύναιντ' ἄν. ταῦτα δ' ἰδόντες τὴν
χώραν καὶ τοὺς γείτονας ὁριούμεθα ἔργῳ καὶ λόγοις· νῦν δὲ
σχήματος ἕνεκα καὶ ὑπογραφῆς, ἵνα περαίνηται, πρὸς τὴν
νομοθεσίαν ὁ λόγος ἴτω. * πεντάκις μὲν χίλιοι ἔστωσαν καὶ E
τετταράκοντα, ἀριθμοῦ τινὸς ἕνεκα προσήκοντος, γεωμόροι
τε καὶ ἀμυνοῦντες τῇ νομῇ· γῆ δὲ καὶ οἰκήσεις ὡσαύτως τὰ
αὐτὰ μέρη διανεμηθήτων *), γενόμενα ἀνὴρ καὶ κλῆρος ξυν-
νομῇ **)· δύο μὲν δὴ μέρη τοῦ παντὸς ἀριθμοῦ τὸ πρῶτον
νεμηθήτω, μετὰ δὲ ταῦτα τρία τὸν αὐτόν ***)· πέφυκε γὰρ
καὶ τέτταρα καὶ πέντε καὶ μέχρι τῶν δέκα ἐφεξῆς. δεῖ δὴ
περὶ ἀριθμοῦ ****) τό γε τοσοῦτον πάντα ἄνδρα νομοθε-
τοῦντα νενοηκέναι †), τίς * ἀριθμὸς καὶ ποῖος πάσαις πό- 738
λεσι χρησιμώτατος ἂν εἴη· λέγωμεν δὴ τὸν πλείστας καὶ ἐφε-
ξῆς μάλιστα διανομὰς ἐν αὐτῷ κεκτημένον. οὐ ††) μὲν δὴ
πᾶς εἰς πάντα πάσας τομὰς εἴληχεν· ὁ δὲ τῶν τετταράκοντα
καὶ πεντακισχιλίων εἴς τε πόλεμον καὶ ὅσα κατ' εἰρήνην
πρὸς ἅπαντα τὰ ξυμβόλαια καὶ κοινωνήματα, εἰσφορῶν τε
πέρι καὶ διανομῶν, οὐ πλείους μιᾶς δεουσῶν ἑξήκοντα δύ-
ναιτ' ἂν τέμνεσθαι τομῶν, ξυνεχεῖς δὲ ἀπὸ μιᾶς μέχρι * τῶν B
δέκα †††). ταῦτα μὲν οὖν δὴ καὶ κατὰ σχολὴν δεῖ βεβαίως
λαβεῖν, οἷς ἂν ὁ νόμος προστάττῃ λαμβάνειν· ἔχει γὰρ οὖν
οὐκ ἄλλως ἢ ταύτῃ· δεῖ δὲ αὐτὰ ῥηθῆναι τῶνδ' ἕνεκα κα-
τοικίζοντι πόλιν. οὔτ' ἂν καινὴν ἐξ ἀρχῆς τις ποιῇ οὔτ' ἂν
παλαιὰν διεφθαρμένην ἐπισκευάζηται, περὶ θεῶν τε καὶ ἱε-
ρῶν, ἅττα τε ἐν τῇ πόλει ἑκάστοις ἱδρύσθαι δεῖ καὶ ὧν τι-

---

*) γρ. διανεμηθέντων. ἄλλ. διανεμηθήτω.
**) ἄλλ. ξυννομή. ἴσ. ξύννομα.
) ἴσ. τοῦ αὐτοῦ. *) ἄλλ. ἀριθμῶν.
†) γρ. νενοηκέναι τὸν ἀριθμὸν, καί.
††) γρ. ὁ. †††) ἴσ. δώδεκα.

bueris; ac terra quidem tanta erit quanta viros tot temperatos poterit nutrire, maiore non erit opus; ad multitudinem vero tot sunto quot satis erunt ad vicinos iniuriam ipsis inferentes propulsandos et finitimos suos iniuria affectos auxilio iuvandos. haec vero contemplati regionem et vicinos definiemus re et verbis; nunc autem exempli causa et adumbrationis, ut absolvatur, ad legum lationem oratio progrediatur. quinquies mille sunto et quadraginta, numeri convenientis gratia, agrorum possessores et distributionis defensores; terra autem et habitationes itidem easdem in partes dividuntor, ita ut viri et sortes portione inter se respondeant. ac primum quidem duae partes universi numeri distribuuntor, deinde tres eiusdem; potest enim etiam in quattuor et quinque usque ad denarium numerum ordine dividi. oportet igitur de numero quemque virum leges ferentem tantum certe perspectum habere, quis numerus et qualis omnibus civitatibus convenientissimus sit; dicamus autem eum esse convenientissimum qui plurimas et ordine maxime se excipientes partitiones in se habeat. non enim quivis numerus quasvis in omnia divisiones habet; quinquies vero millesimus et quadragesimus ratione belli et pacis, quod ad omnia pacta et conventa et commercia, porro ad tributa et partitiones attinet, non poterit in plures quam undesexaginta partes dividi. ab una vero ad duodecimam continuas. et haec quidem etiam per otium firma concepta habere debent quos lex ea comprehendere iubet; neque enim aliter nisi hoc modo se habent; oportet autem ea hanc ob causam urbis conditori dici. neque si quis novam ab initio condit neque si veterem eamque corruptam reficit, de diis et templis, quae in urbe cuique ponenda et a quibus diis

νῦν ἐπονομάζεσθαι θεῶν ἢ δαιμόνων, οὐδεὶς ἐπιχειρήσει κινεῖν νοῦν ἔχων ὅσα ἐκ Δελφῶν * ἢ Δωδώνης ἢ παρ' Ἄμμω- C
νος ἤ τινες ἔπεισαν παλαιοὶ λόγοι ὅπῃ δή τινας πείσαντες, φασμάτων γενομένων ἢ ἐπιπνοίας λεχθείσης θεῶν, πείσαντες δὲ θυσίας τελεταῖς ξυμμίκτους κατεστήσαντο εἴτε αὐτόθεν ἐπιχωρίους εἴτ' οὖν Τυῤῥηνικὰς εἴτε Κυπρίας εἴτ' ἄλλοθεν ὁθενοῦν, καθιέρωσαν δὲ τοῖς τοιούτοις λόγοις φήμας τε καὶ ἀγάλματα καὶ βωμοὺς καὶ ναούς, τεμένη τε τούτων ἑκάστοις ἐτεμένισαν· τούτων νομοθέτῃ τὸ σμικρότατον * ἁπάντων οὐ- D
δὲν κινητέον, τοῖς δὲ μέρεσιν ἑκάστοις θεὸν ἢ δαίμονα ἢ καί τινα ἥρωα ἀποδοτέον, ἐν δὲ τῇ τῆς γῆς διανομῇ πρώτοις ἐξαίρετα τεμένη τε καὶ πάντα τὰ προσήκοντα ἀποδοτέον, ὅπως ἂν ξύλλογοι ἑκάστων τῶν μερῶν κατὰ χρόνους γιγνόμενοι τούς προσταχθέντας εἴς τε τὰς χρείας ἑκάστας εὐμάρειαν παρασκευάζωσι καὶ φιλοφρονῶνταί τε ἀλλήλους μετὰ θυσιῶν καὶ οἰκειῶνται καὶ γνωρίζωσιν, οὗ μεῖζον οὐδὲν πόλει ἀγαθόν, * ἢ γνωρίμους αὐτοὺς αὐτοῖς εἶναι· ὅπου γὰρ E
μὴ φῶς ἀλλήλοις ἐστὶν ἀλλήλων ἐν τοῖς τρόποις, ἀλλὰ σκότος, οὔτ' ἂν τιμῆς τῆς ἀξίας οὔτ' ἀρχῶν οὔτε δίκης ποτέ τις ἂν τῆς προσηκούσης ὀρθῶς τυγχάνοι. δεῖ δὴ πάντα ἄνδρα ἓν πρὸς ἓν τοῦτο σπεύδειν ἐν πάσαις πόλεσιν, ὅπως μήτε αὐτὸς κίβδηλός ποτε φανεῖται ὁτῳοῦν, ἁπλοῦς δὲ καὶ ἀληθὴς ἀεί, μήτε ἄλλος τοιοῦτος ὢν αὐτὸν διαπατήσει.

Ἡ δὴ * τὸ μετὰ τοῦτο φορά, καθάπερ πεττῶν ἀφ' ἱε- 739
ροῦ, τῆς τῶν νόμων κατασκευῆς ἀήθης οὖσα τάχ' ἂν θαυμάσαι τὸν ἀκούοντα τὸ πρῶτον ποιήσειεν· οὐ μὴν ἀλλ' ἀναλογιζομένῳ καὶ πειρωμένῳ φανεῖται δευτέρως ἂν πόλις οἰκεῖσθαι πρὸς τὸ βέλτιστον· τάχα δ' οὐκ ἄν τις προσδέξαιτο αὐτὴν διὰ τὸ μὴ ξύνηθες νομοθέτῃ μὴ τυραννοῦντι. τὸ δ' ἔστιν ὀρθότατα, εἰπεῖν μὲν τὴν ἀρίστην πολιτείαν καὶ δευτέραν καὶ τρίτην, δοῦναι δὲ εἰπόντα αἵρεσιν * ἑκάστῳ τῷ B
τῆς ξυνοικήσεως κυρίῳ. ποιῶμεν δὴ κατὰ τοῦτον τὸν λόγον καὶ τὰ νῦν ἡμεῖς, εἰπόντες ἀρετῇ πρώτην πολιτείαν καὶ δευτέραν καὶ τρίτην· τὴν δὲ αἵρεσιν Κλεινίᾳ τε ἀποδιδῶμεν τὰ νῦν καὶ εἴ τις ἄλλος ἂν δήποτε ἐθελήσειεν ἐπὶ τὴν τῶν τοιού-

vel geniis denominanda sint, audebit, si sapiat, mutare quicquam eorum quae Delphicum vel Dodonaeum vel Ammonis oraculum praescripserit vel veteres quaedam famae persuaserint quomodocumque persuaserint aliquibus, vel visis quibusdam, vel afflatu qui dicitur divino, quae quum persuasissent, sacrificia cum mysteriis coniuncta sive istic vernacula sive Tyrrhenica sive Cypria sive aliunde assumpta constituerunt homines, et famis illis consecrarunt oracula et simulacra et aras et templa, agrosque cuique consecratos dicarunt; horum igitur omnium ne minimum quidem legis latori movendum, sed partibus singulis deus vel genius vel etiam heros attribuendus est, et in terrae distributione primis eximii agri omniaque convenientia assignanda sunt, ut coetus singularum partium temporibus celebrati statutis ad usus quosque facilitatem praebeant civesque amice inter se accipiant, in familiaritatem mutuam veniant seque cognoscant; nam maius urbi nullum est bonum quam si cives inter se noti sunt; ubi enim non in mutua luce civium mores collocati sunt, sed in tenebris, neque honorem dignum neque potestates neque iustitiam umquam aliquis convenientem recte consequetur. oportet igitur quemque maxime hoc contendere in omnibus civitatibus, ut neque ipse umquam alicui adulterinus videatur, sed simplex verusque semper, neque alius qui talis sit ipsum decipiat.

Iam quae sequitur legum constituendarum latio, tamquam calculorum motio a linea sacra, quum insolita sit forsitan primo audienti admirationem iniiciat; verumtamen rem secum reputanti et experienti videbitur secundo loco civitas constitui ratione optimi; forsitan autem quisquam eam non accipiat; quia non adsuetus sit legis latori tyrannidem non exercenti. at vero rectissimum est, civitatem optimam et secundam et tertiam proponere et quum proposueris optionem dare cuique potestatem contubernii habenti. faciamus autem secun-

των ἐκλογὴν ἐλθὼν κατὰ τὸν ἑαυτοῦ τρόπον ἀπονείμασθαι τὸ φίλον αὐτῷ τῆς αὑτοῦ πατρίδος. Πρώτη μὲν τοίνυν πόλις τέ ἐστι καὶ πολιτεία καὶ νόμοι ἄριστοι, ὅπου τὸ πάλαι λεγόμενον ἂν * γίγνηται κατὰ πᾶσαν τὴν πόλιν ὅτι μάλιστα· C λέγεται δὲ ὡς ὄντως ἐστὶ κοινὰ τὰ φίλων. τοῦτ' οὖν, εἴτε που νῦν ἔστιν εἴτ' ἔσται ποτέ, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ εἶναι παῖδας, κοινὰ δὲ χρήματα ξύμπαντα, καὶ πάσῃ μηχανῇ τὸ λεγόμενον ἴδιον πανταχόθεν ἐκ τοῦ βίου ἅπαν ἐξῄρηται, μεμηχάνηται δ' εἰς τὸ δυνατὸν καὶ τὰ φύσει ἴδια κοινὰ ἁμηγέπῃ γεγονέναι, οἷον ὄμματα καὶ ὦτα καὶ χεῖρας κοινὰ μὲν ὁρᾶν δοκεῖν καὶ ἀκούειν καὶ πράττειν, ἐπαινεῖν * τε αὖ καὶ ψέγειν καθ' ἓν *) ὅτι μάλιστα ξύμπαντας ἐπὶ D τοῖς αὐτοῖς χαίροντας καὶ λυπουμένους, καὶ κατὰ δύναμιν οἵτινες νόμοι μίαν ὅτι μάλιστα πόλιν ἀπεργάζονται, τούτων ὑπερβολῇ πρὸς ἀρετὴν οὐδείς ποτε ὅρον ἄλλον θέμενος ὀρθότερον οὐδὲ βελτίω θήσεται. Ἡ μὲν δὴ τοιαύτη πόλις, εἴτε που θεοὶ ἢ παῖδες θεῶν αὐτὴν οἰκοῦσι πλείους ἑνός, οὕτω διαζῶντες εὐφραινόμενοι κατοικοῦσι· διὸ δὴ παράδειγμά γε πολιτείας οὐκ ἄλλῃ **) * χρὴ σκοπεῖν, ἀλλ' ἐχομέ- E νους ταύτης τὴν ὅτι μάλιστα τοιαύτην ζητεῖν κατὰ δύναμιν. ἣν δὲ νῦν ἡμεῖς ἐπικεχειρήκαμεν, εἴη τε ἂν γενομένη πως ἀθανασίας ἐγγύτατα καὶ ἡ μὲν δευτέρως· τρίτην δὲ μετὰ ταῦτα, ἐὰν θεὸς ἐθέλῃ, διαπερανούμεθα. νῦν δ' οὖν ταύτην τίνα λέγομεν καὶ πῶς γενομένην ἂν τοιαύτην;

Νειμάσθων μὲν δὴ πρῶτον γῆν τε καὶ οἰκίας, καὶ μὴ κοινῇ γεωργούντων, ἐπειδὴ τὸ τοιοῦτον * μεῖζον ἢ κατὰ τὴν 740 νῦν γένεσίν τε καὶ τροφὴν καὶ παίδευσιν εἴρηται· νεμέσθων δ' οὖν τοιᾷδε διανοίᾳ πως, ὡς ἄρα δεῖ τὸν λαχόντα τὴν λῆξιν ταύτην νομίζειν μὲν κοινὴν αὐτὴν τῆς πόλεως ξυμπάσης, πατρίδος δὲ οὔσης τῆς χώρας θεραπεύειν αὐτὴν δεῖ μειζόνως ἢ μητέρα παῖδας, τῷ καὶ δέσποιναν θεὸν αὐτὴν

*) ἴσ. καθ' ἕνα.
**) ἴσ. ἄλλο.

dum hanc orationem nos quoque nunc, proponentes ad virtutem primam civitatem et secundam et tertiam; optionem vero Cliniae demus nunc et si quis alius aliquando voluerit ad harum rerum delectum aggressus secundum suum ingenium attribuere quae in patria sua ipsi placeant. Prima igitur urbs est et civitas et leges optimae, ubi vetus illud dictum per totam civitatem quam maxime locum habet, quod indicat amicorum omnia esse communia. hoc igitur sive nunc alicubi fit sive fiet aliquando, communes esse mulieres, communes liberos et communia bona universa ponit omnique modo omne quod dicitur proprium undique e vita tollit, atque etiam, quoad eius fieri potuit, id effecit ut natura propria prorsus communia exsistant, velut oculi et aures et manus communiter cernere videantur et audire et agere, laudentque et vituperent coniunctim quam maxime omnes isdem gaudentes ac dolentes, et quaecumque leges quam maxime unam efficiunt civitatem, virtutis praestantia tantopere excellunt, ut nemo rectiorem ac meliorem eis finem terminumque possit constituere. Hanc igitur urbem, sive dii sive deorum filii eam incolent plures uno, ita vitam transigentes laetitia affecti tenebunt; quocirca exemplar civitatis non aliud oportet considerari, sed hanc tenentes quam maxime talem quaerere debemus pro viribus. quam vero nunc nos instituimus civitatem, accedet illa, si constituta fuerit, proxime ad immortalitatem et secunda erit, tertiam autem deinde, si deus voluerit, absolvemus. nunc vero hanc quamnam dicimus et quomodo fieri posse talem?

Distribuunto igitur primum agros et domos, nec communiter agrum colunto, quia hoc maius est dictum quam ut in homines nunc generatos et educatos et institutos possit cadere; dividunto autem hac fere mente ut censeant a quoque qui sortem acceperit hanc existimandam esse communem civitatis universae, et quia patria sit regio, colendam esse magis quam matrem a natis,

οὖσαν θνητῶν ὄντων γεγονέναι· ταὐτὰ δ' ἔχειν διανοήματα καὶ περὶ τοὺς ἐγχωρίους θεούς τε ἅμα καὶ δαίμονας. ὅπως δ' ἂν * ταῦτα εἰς τὸν ἀεὶ χρόνον οὕτως ἔχοντα ὑπάρχῃ, B τάδε προςδιανοητέον, ὅσαι εἰσὶ τὰ νῦν ἡμῖν ἑστίαι διανεμηθεῖσαι τὸν ἀριθμόν, ταύτας δεῖν ἀεὶ τοσαύτας εἶναι, καὶ μήτε τι πλείους γίγνεσθαι μήτε τί ποτε ἐλάττους. ὧδ' οὖν τὸ *) τοιοῦτον βεβαίως γίγνοιτο περὶ πᾶσαν τὴν πόλιν, ὁ λαχὼν τὸν κλῆρον καταλειπέτω ἀεὶ ταύτης τῆς οἰκήσεως ἕνα μόνον κληρονόμον τῶν ἑαυτοῦ παίδων, ὃν ἂν αὐτῷ μάλιστα ᾖ **) φίλον, διάδοχον καὶ θεραπευτὴν θεῶν καὶ γένους καὶ πόλεως, * τῶν δὲ ζώντων καὶ ὅσους ἂν ἤδη τέλος εἰς τὸν C τότε χρόνον ἔχῃ, τοὺς δὲ ἄλλους παῖδας, οἷς ἂν πλείους ἑνὸς γίγνωνται, θηλείας τε ἐκδόσθαι κατὰ νόμον τὸν ἐπιταχθησόμενον, ἄῤῥενάς τε, οἷς ἂν τῆς ***) γενέσεως ἐλλείπῃ τῶν πολιτῶν, τούτοις υἱεῖς διανέμειν, κατὰ χάριν μὲν μάλιστα· ἐὰν δέ τισιν ἐλλείπωσι χάριτες, ἢ πλείους ἐπίγονοι γίγνωνται θήλεις ἤ τινες ἄῤῥενες ἑκάστων, ἢ καὶ τοὐναντίον ὅταν ἐλάττους ὦσι παίδων ἀφορίας γενομένης, πάντων * τούτων ἀρχὴν ἣν ἂν θώμεθα μεγίστην καὶ τιμιωτάτην, D αὕτη σκεψαμένη τί χρὴ χρῆσθαι τοῖς περιγενομένοις ἢ τοῖς ἐλλείπουσι, πορ:ζέτω μηχανὴν ὅτι μάλιστα ὅπως αἱ πεντακιςχίλιαι καὶ τετταράκοντα οἰκήσεις ἀεὶ μόνον ἔσονται. μηχαναὶ δ' εἰσὶ πολλαί· καὶ γὰρ ἐπισχέσεις γενέσεως οἷς ἂν εὔρους ᾖ †) γένεσις, καὶ τοὐναντίον ἐπιμέλειαι καὶ σπουδαὶ πλήθους γεννημάτων εἰσὶ τιμαῖς τε καὶ ἀτιμίαις καὶ νουθετήσεσι ††) πρεσβυτῶν περὶ νέους διὰ λόγων * νουθετητικῶν ἀπαντῶσαι, δύνανται ποιεῖν ὃ λέγομεν. καὶ δὴ καὶ τό γε E τέλος, ἂν πᾶσα ἀπορία περὶ τὴν ἀνίσωσιν τῶν πεντακιςχιλίων καὶ τετταράκοντα οἴκων γίγνηται, ἐπίχυσις δ' ὑπερβάλλουσα ἡμῖν πολιτῶν διὰ φιλοφροσύνην τὴν τῶν ξυνοικούντων ἀλλήλοις ξυμβαίνῃ καὶ ἀπορῶμεν, τὸ παλαιόν που ὑπάρχει μηχάνημα ὃ πολλάκις εἴπομεν, ἐκπομπὴ ἀποικιῶν

*) γρ. ᾧ δ' οὖν ἂν τό. **) γρ. εἴη.
***) ἴσ. τὰ τῆς. †) γρ. εἴη.
††) ἴσ. τιμαί τε καὶ ἀτιμίαι καὶ νουθετήσεις.

propterea quod illa et dea eſt et domina mortalium; idem etiam cogitari oportet de indigenis diis ac daemonibus. ut vero haec in perpetuum ita maneant, hoc inſuper ſtatuendum eſt ut, quot nunc foci nobis numero distributi ſint, totidem ſemper maneant, nec plures exſiſtant neque umquam pauciores. ita igitur hoc ſtabile erit universa in civitate: quisque ſortem nactus unum tantum ſemper huius domicilii haeredem relinquito e filiis ſuis, quem maxime ei viſum fuerit, ſucceſſorem cultoremque deorum et generis et civitatis, tam viventium quam eorum qui ad vitae iam finem tum pervenerunt, de reliquis vero natis, qui plures uno habent, ii feminas in matrimonium collocanto ſecundum legem conſtituendam, et maſculos eis civibus, qui prole carent, filios attribuunto, ſecundum favorem maxime; ſin autem favore quidam carent, vel plures habent natos, feminas vel maſculos, aut contra ſi pauciores ſunt, ſterilitate quadam prolis exorta, de his omnibus magiſtratus, quem ſummum conſtituerimus atque honoratiſſimum, quum deliberaverit quid faciendum ſit redundantibus aut deficientibus, modum quaerito, quo domus quam maxime quinquies mille et quadraginta ſemper tantummodo exſtent. modi autem ſunt multi; nam et cohiberi poteſt procreatio apud nos quibus larga fluit, et contra cura ſtudioque prolis multitudo excitari poteſt; honores enim et ignominiae et admonitiones dum ſenes iuvenibus verba ſuaſoria obiiciunt, id poſſunt efficere quod dicimus. atque etiam ad extremum, ſi ob aequationem quinquies mille et quadraginta domorum plane haeſitamus et nimia civium abundantia propter mutuam hominum una habitantium benivolentiam nobis contingit, ut haeſitemus, vetus ſane ſuppetit artificium quod ſaepius memoravimus, emiſſio coloniarum amica ab ami-

φίλη γιγνομένη παρὰ φίλων, οἷ *) ἂν ἐπιτήδειον εἶναι δοκῇ·
ἐὰν δ' **) αὖ καὶ τοὐναντίον ἐπέλθῃ ποτὲ κῦμα κατακλυ-
σμὸν φέρον * νόσων ***) ἢ πολέμων φθορά, ἐλάττους δὲ 741
πολὺ τοῦ τεταγμένου ἀριθμοῦ δι' ὀρφανίας γένωνται, ἑκόν-
τας μὲν οὐ δεῖ πολίτας παρεμβάλλειν νόθῃ παιδείᾳ πεπαιδευ-
μένους, ἀνάγκην δὲ οὐδὲ θεὸς εἶναι λέγεται δυνατὸς βιάζε-
σθαι. ταῦτ' οὖν δὴ τὸν νῦν λεγόμενον λόγον ἡμῖν φῶμεν
παραινεῖν λέγοντα· Ὦ πάντων ἀνδρῶν ἄριστοι, τὴν ὁμοιότητα
καὶ ἰσότητα καὶ τὸ ταὐτὸν καὶ ὁμολογούμενον τιμῶντες κατὰ
φύσιν μὴ ἀνίετε κατά τε ἀριθμὸν καὶ πᾶσαν δύναμιν * τὴν B
τῶν καλῶν κἀγαθῶν πραγμάτων· καὶ δὴ καὶ νῦν τὸν ἀρι-
θμὸν μὲν πρῶτον διὰ βίου παντὸς φυλάξατε τὸν εἰρημένον,
εἶτα τὸ τῆς οὐσίας ὕψος τε καὶ μέγεθος, ὃ τὸ πρῶτον ἐνεί-
μασθε μέτριον ὄν, μὴ ἀτιμάσητε τῷ τε ὠνεῖσθαι καὶ τῷ πω-
λεῖν πρὸς ἀλλήλους· οὔτε γὰρ ὁ νείμας κλῆρον ὢν θεὸς ὑμῖν
ξύμμαχος, οὔτε ὁ νομοθέτης· νῦν γὰρ δὴ πρῶτον τῷ ἀπει-
θοῦντι νόμος προστάττει, προειπὼν ἐπὶ τούτοις κληροῦσθαι
τὸν ἐθέλοντα * ἢ μὴ κληροῦσθαι, ὡς πρῶτον μὲν τῆς γῆς C
ἱερᾶς οὔσης τῶν πάντων θεῶν, εἶτα ἱερέων τε καὶ ἱερειῶν
εὐχὰς ποιησομένων ἐπὶ τοῖς πρώτοις θύμασι καὶ δευτέροις
καὶ μέχρι τριῶν, τὸν πριάμενον ἢ ἀποδόμενον ὧν ἔλαχεν οἰ-
κοπέδων ἢ γηπέδων τὰ ἐπὶ τούτοις πρέποντα πάσχειν πάθη.
γράψαντες δ' ἐν τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας μνήμας
εἰς τὸν ἔπειτα χρόνον καταγεγραμμένας· πρὸς τούτοις δ' ἔτι
φυλακτήρια τούτων, ὅπως ἂν γίγνηται, * καταστήσουσιν ἐν D
ταύτῃ τῶν ἀρχῶν ἥτις ἂν ὀξύτατον ὁρᾶν δοκῇ, ἵν' αἱ παρὰ
ταῦτα ἑκάστοτε παραγωγαὶ γιγνόμεναι μὴ λανθάνωσιν αὐ-
τούς, ἀλλὰ κολάζωσι τὸν ἀπειθοῦντα ἅμα νόμῳ καὶ τῷ θεῷ.
ὅσον γὰρ δὴ τὸ νῦν ἐπιταττόμενον ἀγαθὸν ὂν τυγχάνει πά-
σαις ταῖς πειθομέναις πόλεσι τὴν ἑπομένην κατασκευὴν προς-
λαβόν, κατὰ τὴν παλαιὰν παροιμίαν οὐδεὶς εἴσεταί ποτε κα-
κὸς ὤν, ἀλλ' ἔμπειρός τε καὶ ἐπιεικὴς ἤθεσι †) γενόμενος·
* χρηματισμὸς γὰρ οὔτ' ἔνεστι σφόδρα ἐν τῇ τοιαύτῃ κατα- E

---

*) ἄλλ. ὧν. **) γρ. ἐάν τ'.
***) ἴσ. ἢ νόσων. †) ἔθεσι.

cis peragenda, quocumque videbitur commodum esse; sin autem contra fluctus aliquando accessit eluvionem afferens vel pernicies per morbos vel bella parata, et multo pauciores quam numerus statutus postulat propter orbitatem exstiterunt, ultro quidem non oportet cives interponi adulterina disciplina institutos, attamen necessitatem ne deus quidem cogere posse dicitur. hoc igitur sermonem nunc institutum nos dicamus admonere dicentem O virorum omnium optimi, similitudinem et aequalitatem et idem et consentaneum ne secundum naturam colere negligite et in numero et in omni pulchrarum et bonarum rerum vi; atque etiam nunc numerum primum omnem per vitam servate iam dictum, deinde opum altitudinem et magnitudinem, quam primo moderatam distribuistis, ne laedatis ementes inter vos et vendentes; neque enim qui sortem tribuit deus vobis auxilio erit, neque legis lator; nunc enim primum eum qui non obtemperat legis praescriptio, praedicens ea conditione, qui velit, sortiri aut non sortiri, docet, primum sacram esse terram omnibus diis, deinde sacerdotes, tam viros quam mulieres, precationes interposituros esse primis et secundis et tertiis sacrificiis, ut emptor vel venditor eorum quae sorte nactus fuerit domiciliorum vel praediorum iusta afficiatur poena. haec autem litteris consignata in templis ponent cupressina monumenta in posteritatem scripta; praeterea vigiliam, ut haec fiant, custodientem ei magistratui tradent qui acerrime videbitur cernere, ne, si qua in haec peccentur, ipsos lateat, sed castigent simul legi et deo adversantem. quantum enim bonum sit quod nunc praescripsimus omnibus civitatibus obtemperantibus si constitutionem assumpserit consentaneam, secundum vetus proverbium nullus umquam malus intelliget, sed peritus modestisque moribus praeditus; quaestus enim studium neque inest magnum in huiusmodi constitutione eique consequens

σκευῇ, ξυνέπεταί τε αὐτῇ μηδὲ δεῖν μηδ' ἐξεῖναι χρηματίζε-
σθαι τῶν ἀνελευθέρων χρηματισμῶν μηδενὶ μηδένα, καθ'
ὅσον ἐπονείδιστος λεγομένη βαναυσία ἦθος ἀποτρέπει ἐλεύ-
θερον, μηδὲ τὸ παράπαν ἀξιοῦν ἐκ τῶν τοιούτων ξυλλέγειν
χρήματα. Πρὸς τούτοις δ' ἔτι νόμος ἕπεται πᾶσι τούτοις,
μηδ' ἐξεῖναι χρυσὸν μηδὲ ἄργυρον * κεκτῆσθαι μηδένα μη- 742
δενὶ ἰδιώτῃ, νόμισμα δ' ἕνεκα ἀλλαγῆς τῆς καθ' ἡμέραν,
ἣν δημιουργοῖς τε ἀλλάττεσθαι σχεδὸν ἀναγκαῖον καὶ πᾶσιν
ὁπόσων χρεία τῶν τοιούτων, μισθοὺς μισθωτοῖς, δούλοις
καὶ ἐποίκοις ἀποτίνειν· ὧν ἕνεκά φαμεν τὸ νόμισμα κτητέον
αὐτοῖς μὲν ἔντιμον, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀδόκιμον. κοι-
νὸν δ' Ἑλληνικὸν νόμισμα ἕνεκά τε στρατειῶν καὶ ἀποδη-
μιῶν εἰς τοὺς ἄλλους ἀνθρώπους, οἷον πρεσβειῶν ἢ καί τι-
νος ἀναγκαίας ἄλλης * κηρυκείας, ἀνάγκη ἑκάστοτε κεκτῆ- B
σθαι τῇ πόλει· ἰδιώτῃ *) δ' ἂν ἄρα ποτὲ ἀνάγκη τις γί-
γνηται ἀποδημεῖν, παρέμενος **) μὲν τοὺς ἄρχοντας ἀποδη-
μείτω, νόμισμα δὲ ἄν ποθεν ***) ἔχων ξενικὸν οἴκαδε ἀφί-
κηται περιγενόμενον, τῇ πόλει αὐτὸ καταβαλλέτω πρὸς λόγον
ἀπολαμβάνων τὸ ἐπιχώριον· ἰδιούμενος δ' ἄν τις φαίνηται,
δημόσιόν τε γιγνέσθω καὶ ὁ ξυνειδὼς καὶ μὴ φράζων ἀρᾷ
καὶ ὀνείδει μετὰ τοῦ ἀγαγόντος ἔνοχος ἔστω, καὶ ζημίᾳ πρὸς
τούτοις μὴ ἐλάττονι * τοῦ ξενικοῦ κομισθέντος νομίσματος. C
γαμοῦντα δὲ καὶ ἐκδιδόντα μήτ' οὖν διδόναι μήτε δέχεσθαι
προῖκα τὸ παράπαν μηδ' ἡντινοῦν· μηδὲ νόμισμα παρακα-
τατίθεσθαι ὅτῳ μή τις πιστεύει, μηδὲ δανείζειν ἐπὶ τόκῳ,
ὡς ἐξὸν μὴ ἀποδιδόναι τὸ παράπαν τῷ δανεισαμένῳ μήτε
τόκον μήτε κεφάλαιον. ταῦτα δ' ὅτι βέλτιστά ἐστι πόλει ἐπι-
τηδεύματα ἐπιτηδεύειν, ὧδε ἄν τις σκοπῶν ὀρθῶς αὐτὰ †)
διακρίνοι, ἐπαναφέρων * εἰς τὴν ἀρχὴν ἀεὶ καὶ τὴν βούλη- D
σιν. ἔστι δὴ τοῦ νοῦν ἔχοντος πολιτικοῦ βούλησις, φαμέν,
οὐχ ἥνπερ ἂν οἱ πολλοὶ φαῖεν, δεῖν βούλεσθαι τὸν ἀγαθὸν

*) γρ. ἄλλης τῇ πόλει νόμισμα Ἑλληνικόν. ἰδιώτῃ. ἄλλ. ἄλλης τῇ πόλει κηρυκείας, ἐκπέμπειν τινὰ ἂν δέῃ, τούτων χάριν ἀνάγκη—τῇ πόλει νόμισμα Ἑλληνικόν. ἰδιώτῃ.

**) γρ. παραιτησάμενος.

***) γρ. ποτε.

†) γρ. ὀρθῶς ἄν.

est ut neque debeat neque liceat ulli ullum illiberalem quaestum facere, quatenus probrosa illa artificia quae dicuntur sordida ingenium avertunt liberale, neque omnino ex his opes quisquam velit colligere. Praeterea haec omnia lex excipit quae praescribit ut neque aurum liceat neque argentum possidere cuiquam privato, numo autem uti commercii quotidiani causa quod cum opificibus cives habeant fere necesse est et cum omnibus huiusmodi hominibus quorum indigent, ut mercedem mercenariis, servis et colonis solvant; quam ob causam necessarium esse dicimus numum eos possidere qui apud ipsos pretium habeat, apud reliquos vero homines non sit probatus. communem autem Graecum numum propter expeditiones et peregrinationes ad reliquos homines, velut legationes vel aliam quam necessariam nunciationem, necesse est urbem possidere; privato porro si qua necessitas obvenit peregrinandi, venia a magistratibus impetrata peregrinator; numum vero peregrinum alicunde habens reliquum si domum revertitur, apud urbem eum deponito pro ratione recipiens domesticum; si vero aliquis repertus fuerit talem sibi vindicans, numus in publicum addicendus et conscius, qui rem non indicavit, cum eo qui numum adduxit, exsecrationi et ignominiae obnoxius esto, poenaque praeterea mulctator non minore quam peregrinus apportatus numus valet. qui uxorem ducit et filiam in matrimonium collocat, is neque dato neque accipito omnino dotem ullam; neque pecuniam deponito quisquam apud eum cui non fidit, neque mutuum dato fenori, quum liceat neque fenus omnino reddere neque sortem ei qui pecuniam fenore acceperit. haec autem esse optima civitati instituta, ita considerans recte quispiam iudicaverit, si ad principium semper et voluntatem ea retulerit. spectat videlicet sapientis viri civilis voluntas non hoc, quod plerique dixerint, oportere bonum legum latorem id

νομοθέτην ὡς μεγίστην τε εἶναι τὴν πόλιν ἣ νοῶν εὖ νομο-
θετοῖ καὶ ὅτι μάλιστα πλουσίαν, κεκτημένην δ' αὖ χρυσία καὶ
ἀργύρια καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἄρχουσαν ὅτι πλεί-
στων· προσθεῖεν δ' ἂν καὶ ὡς ἀρίστην δεῖν βούλεσθαι τὴν
πόλιν εἶναι καὶ ὡς εὐδαιμονεστάτην τόν γε ὀρθῶς * νομο- E
θετοῦντα. τούτων δὲ τὰ μὲν δυνατά ἐστι γίγνεσθαι, τὰ δὲ
οὐ δυνατά· τὰ μὲν οὖν δυνατὰ βούλοιτ' ἂν ὁ διακοσμῶν,
τὰ δὲ μὴ δυνατὰ οὔτ' ἂν βούλοιτο ματαίας βουλήσεις οὔτ'
ἂν ἐπιχειροῖ. σχεδὸν μὲν γὰρ εὐδαίμονας ἅμα καὶ ἀγαθοὺς
ἀνάγκη γίγνεσθαι· τοῦτο μὲν οὖν βούλοιτ' ἄν· πλουσίους
δ' αὖ σφόδρα καὶ ἀγαθοὺς ἀδύνατον, οὕς γε δὴ πλουσίους
οἱ πολλοὶ καταλέγουσι· λέγουσι δὲ τοὺς κεκτημένους ἐν ὀλί-
γοις τῶν ἀνθρώπων πλείστου νομίσματος ἄξια κτήματα, ἃ
καὶ κακός τις κεκτῇτ' ἄν. εἰ δ' ἔστι τοῦτο οὕτως ἔχον, * οὐκ 743
ἂν ἔγωγε αὐτοῖς ποτὲ ξυγχωροίην τὸν πλούσιον εὐδαίμονα
τῇ ἀληθείᾳ γίγνεσθαι μὴ καὶ ἀγαθὸν ὄντα· ἀγαθὸν δὲ ὄντα
διαφερόντως καὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον. τί
δή; φαίη τις ἂν ἴσως. ὅτι, φαῖμεν ἄν, ἥ τε ἐκ δικαίου καὶ
ἀδίκου κτῆσις πλέον ἢ διπλασία ἐστὶ τῆς ἐκ τοῦ δικαίου μό-
νον. τά τε ἀναλώματα μήτε καλῶς μήτε αἰσχρῶς ἐθέλοντα
ἀναλίσκεσθαι τῶν καλῶν καὶ εἰς καλὰ ἐθελόντων δαπανᾶσθαι
διπλασίῳ *) ἐλάττονα. οὔκουν ποτὲ * ἂν τῶν ἐκ διπλασίων B
μὲν κτημάτων, ἡμίσεων δὲ ἀναλωμάτων ὁ τὰ ἐναντία τού-
των πράττων γένοιτ' ἂν πλουσιώτερος. ἔστι δὲ ὁ μὲν ἀγα-
θὸς τούτων, ὁ δὲ οὐ κακός, ὅταν ᾖ φειδωλός· τοτὲ **) δὲ ποτε
καὶ πάγκακος, ἀγαθὸς δέ, ὅπερ εἴρηται τὰ νῦν, οὐδέποτε·
ὁ μὲν γὰρ δικαίως καὶ ἀδίκως λαμβάνων καὶ μήτε δικαίως
μήτε ἀδίκως ἀναλίσκων πλούσιος, ὅταν καὶ φειδωλὸς ᾖ· ὁ
δὲ πάγκακος ὡς τὰ πολλὰ ὢν ἄσωτος μάλα πένης· ὁ δὲ
ἀναλίσκων * τε εἰς τὰ καλὰ καὶ κτώμενος ἐκ ***) τῶν δι- C
καίων μόνον οὔτ' ἂν διαφέρων πλούτῳ ῥᾳδίως ἄν ποτε γέ-
νοιτο οὐδ' αὖ σφόδρα πένης· ὥστε ὁ λόγος ἡμῖν ὀρθός,
ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί, εἰ δὲ μὴ ἀγαθοί, οὐδὲ

---

*) γρ. διπλασίως.
) γρ. τότε. *) γρ. ἀπό.

contendere ut maxima ſit urbs cui bene conſulere velit et quam maxime dives, et aurum argentumque poſſidens terra et mari quam plurimis imperet; adiecerint vero illi recte leges dantem oportere etiam hoc contendere ut quam optima ſit civitas et quam beatiſſima. quorum quidem alia fieri poſſunt, alia vero non poſſunt; et quae fieri poſſunt, ea volet is qui rem ordinat, de iis vero quae non poſſunt fieri, neque inanem voluntatem ſuscipiet neque aggredietur. ſane enim beati ſimul et boni ſint cives neceſſe eſt; id igitur volet; hoc autem ut admodum divites ſint atque boni fieri nequit, quos quidem divites multitudo vocat; vocat vero divites eos qui in paucis hominibus opes poſſident plurimo numo aeſtimandas, quas etiam improbus aliquis poſſidere poſſit. quae quidem ſi ita ſe habent, equidem numquam ei conceſſerim divitem revera beatum eſſe, niſi etiam bonus ſit; bonus autem ſi eximie eſt, fieri nequit ut etiam dives ſit eximie. cur tandem? quaeſiverit fortaſſe quispiam. quia, dixerimus, opum comparatio iuſta et iniuſta plus quam duplo eam ſuperat quae iuſta tantum eſt, et impenſae quas neque pulchre neque turpiter facimus duplo minores ſunt eis quae pulchrae ſunt et in res pulchras fiunt. numquam igitur his qui duplo plus acquirunt et dimidio minus impendunt is qui contrarium facit erit divitior. eſt autem alter horum bonus, alter non malus, ſi parcus eſt; nonnumquam vero etiam prorſus improbus, at bonus, quod modo dictum eſt, numquam; etenim qui et iuſte et iniuſte accipit et neque iuſte neque iniuſte impendit dives eſt, ſi etiam parcum ſe exhibet, prorſus autem improbus, qui plerumque ſimul prodigus, admodum eſt pauper; qui vero in pulchra impenſas facit et iuſto tantum modo opes ſibi comparat, is neque divitiis facile umquam excellet neque admodum pauper erit: ut recta ſit oratio noſtra, non eſſe eos qui prorſus divites ſint bonos, et ſi non ſint boni, nec beatos eſſe. nobis autem legum propoſitum

εὐδαίμονες. ἡμῖν δὲ ἡ τῶν νόμων ὑπόθεσις ἐνταῦθα ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται καὶ ὅτι μάλιστα ἀλλήλοις φίλοι· εἶεν δὲ οὐκ ἄν ποτε πολῖται φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ * ἀδικίαι, ἀλλ' ὅπου ὡς D
ὅτι σμικρόταται καὶ ὀλίγισται. λέγομεν δὴ μήτε χρυσὸν εἶναι δεῖν μήτε ἄργυρον ἐν τῇ πόλει, μήτ' αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων μηδὲ βοσκημάτων αἰσχρῶν, ἀλλ' ὅσα γεωργία δίδωσι καὶ φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσει *) ἀμελεῖν ὧν ἕνεκα πέφυκε τὰ χρήματα· ταῦτα δ' ἐστὶ ψυχὴ καὶ σῶμα, ἃ χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου.
* διὸ δὴ χρημάτων ἐπιμέλειαν οὐχ ἅπαξ εἰρήκαμεν ὡς χρὴ E
τελευταῖον τιμᾶν· ὄντων γὰρ τριῶν τῶν ἁπάντων περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδή, σώματος δὲ **) μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν, ἣν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τάττεται, ὀρθῶς νενομοθέτηται, εἰ δέ τις τῶν προσταττομένων αὐτόθι νόμων σωφροσύνης ἔμπροσθεν ὑγίειαν ἐν τῇ * πόλει φανεῖται ποιῶν 744
τιμίαν ἢ πλοῦτον ὑγιείας καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἀναφανεῖται τιθέμενος. τοῦτ' οὖν δὴ πολλάκις ἐπισημαίνεσθαι χρὴ τὸν νομοθέτην, τί τε βούλομαι; καί, εἴ μοι ξυμβαίνει τοῦτο, ἢ καὶ ἀποτυγχάνω τοῦ σκοποῦ; καὶ οὕτω τάχ' ἂν ἴσως ἐκ τῆς νομοθεσίας αὐτός τε ἐκβαίνοι καὶ τοὺς ἄλλους ἀπαλλάττοι, κατ' ἄλλον δὲ τρόπον οὐδ' ἂν ἕνα ποτέ.

Ὁ δὴ λαχὼν κεκτήσθω, φαμέν, τὸν κλῆρον ἐπὶ τούτοις οἷς εἰρήκαμεν. ἦν * μὲν δὴ καλὸν καὶ τἄλλα ἴσα πάντ' B
ἔχοντα ἕνα ἕκαστον ἐλθεῖν εἰς τὴν ἀποικίαν· ἐπειδὴ δὲ οὐ δυνατόν, ἀλλ' ὁ μέν τις πλείω κεκτημένος ἀφίξεται χρήματα, ὁ δ' ἐλάττονα, δεῖ δὴ πολλῶν ἕνεκα τῶν τε κατὰ πόλιν καιρῶν ἰσότητος ἕνεκα τιμήματα ἄνισα γενέσθαι, ἵν' ἀρχαί τε καὶ εἰσφοραὶ καὶ διανομαὶ τὴν τῆς ἀξίας ἑκάστοις ***) τιμὴν μὴ κατ' ἀρετὴν μόνον τήν τε προγόνων καὶ τὴν αὐτοῦ μηδὲ

*) γρ. ἀναγκάσειεν.
) ἄλλ. δὲ πέρι. *) ἴσ. ἕκαστος.

hac ſpectat, ut quam beatiſſimi ſint cives et maxime inter ſe amici; erunt autem cives numquam amici, ſi multae lites inter eos agitantur multaeque iniuriae, ſed ſi quam minimae et pauciſſimae. dicimus igitur neque aurum neque argentum eſſe oportere in civitate, neque etiam magnam quaeſtus faciendi cupiditatem per artificia ſordida et fenus vel pecora turpia, ſed per ea quae agricultura dat et offert, et ea quidem quae quaeſtum facientem non cogent ea negligere quorum cauſa opes quaeruntur; haec vero ſunt animus et corpus, quae ſine arte gymnaſtica reliquaque diſciplina numquam aeſtimatione erunt digna, quocirca opum acquirendarum ſtudium non ſemel diximus poſtremo loco eſſe colendum; tria enim quum ſint omnia ad quae quilibet homo omne ſtudium confert, poſtremum et tertium eſt ſtudium quod recte ad pecuniam confertur, corporis vero ſtudium medium et primum animi. atque etiam nunc quam perſequimur civitas, ſi honores ita conſtituit, recte legibus erit temperata, ſin autem lex aliqua ex eis quae hic praeſcribuntur prae temperantia ſanitatem in civitate reperietur honore afficiens vel divitias prae ſanitate et temperantia, eam non recte patebit poſitam eſſe. hoc igitur ſaepius ſignificare oportet legum latorem: quid volo? et: numquid mihi hoc ſuccedet, an propoſitum non asſequar? et ita fortaſſe et ipſe legum latione perſungetur et ceteros liberabit, numquam vero alia ratione.

Itaque qui ſortem nactus eſt, dicimus, poſſideto eam his quas diximus conditionibus. eſſet quidem pulchrum, ſi reliqua quoque omnia unusquisque aequalia habens in coloniam veniret; quoniam vero id fieri nequit, ſed alius plures poſſidens adveniet opes, alius pauciores, oportet multas ob cauſas et ut omnium in civitate conditio aequalis fiat, cenſus inaequales eſſe, ut, quod ad magiſtratus et vectigalia et distributiones attinet, dignitatis quisque aeſtimationem non ſolum ſecundum vir-

κατὰ σωμάτων ἰσχὺν καὶ εὐμορφίαν, ἀλλὰ καὶ * κατὰ πλού- C
του χρῆσιν *) καὶ πενίαν **) τὰς τιμάς τε καὶ ἀρχὰς ὡς ἰσαίτατα τῷ ἀνίσῳ, ξυμμέτρῳ δὲ ἀπολαμβάνοντες μὴ διαφέρωνται. τούτων χάριν τέτταρα μεγέθει ***) τῆς οὐσίας τιμήματα ποιεῖσθαι χρεών, πρώτους καὶ δευτέρους καὶ τρίτους καὶ τετάρτους, ἤ τισιν ἄλλοις προσαγορευομένους ὀνόμασιν, ὅταν τε μένωσιν ἐν τῷ αὐτῷ τιμήματι καὶ ὅταν πλουσιώτεροι ****) ἐκ πενήτων καὶ ἐκ πλουσίων πένητες γιγνόμενοι μεταβαίνωσιν εἰς τὸ προσῆκον * ἕκαστοι ἑαυτοῖς τίμημα. τόδε D
δ' ἐπὶ τούτοις αὖ νόμου σχῆμα ἔγωγ' ἂν τιθείην ὡς ἑπόμενον· δεῖ γὰρ ἐν πόλει που, φαμέν, τῇ τοῦ μεγίστου νοσήματος οὐ μεθεξούσῃ, ὃ διάστασιν ἢ στάσιν ὀρθότερον ἂν εἴη κεκλῆσθαι, μήτε πενίαν τὴν χαλεπὴν ἐνεῖναι παρά τισι τῶν πολιτῶν μήτ' αὖ πλοῦτον, ὡς ἀμφότερα τικτόντων ταῦτα ἀμφότερα †)· νῦν οὖν ὅρον δεῖ τούτων ἑκατέρου τὸν νομοθέτην φράζειν. ἔστω δὴ πενίας μὲν ὅρος ἡ τοῦ κλήρου τιμή, ὃν * δεῖ μένειν καὶ ὃν ἄρχων οὐδεὶς οὐδενί ποτε περιό- E
ψεται ἐλάττω γιγνόμενον, τῶν τε ἄλλων κατὰ ταὐτὰ οὐδεὶς ὅστις φιλότιμος ἐπ' ἀρετῇ. μέτρον δὲ αὐτῶν θέμενος ὁ νομοθέτης διπλάσιον ἐάσει τούτου κτᾶσθαι καὶ τριπλάσιον καὶ μέχρι τετραπλασίου· πλείονα δ' ἄν τις κτᾶται τούτων εὑρὼν ἢ δοθέντων ποθὲν ἢ χρηματισάμενος ἤ τινι τύχῃ τοιαύτῃ κτησάμενος * ἄλλῃ, τὰ περιγιγνόμενα τῇ πόλει ἂν αὐτὰ ††) 745
καὶ τοῖς τὴν πόλιν ἔχουσι θεοῖς ἀπονέμων εὐδόκιμός τε καὶ ἀζήμιος ἂν εἴη· ἐὰν δέ τις ἀπειθῇ τούτῳ τῷ νόμῳ, φανεῖ μὲν ὁ βουλόμενος ἐπὶ τοῖς ἡμίσεσιν, ὁ δὲ ὄφλων ἄλλο τοσοῦτον μέρος ἀποτίσει τῆς αὐτοῦ κτήσεως, τὰ δ' ἡμίσεα τῶν θεῶν. ἡ δὲ κτῆσις χωρὶς τοῦ κλήρου πάντων πᾶσα ἐν τῷ φανερῷ γεγράφθω παρὰ φύλαξιν ἄρχουσιν, οἷς ἂν ὁ νόμος προστάξῃ, ὅπως ἂν αἱ δίκαι * περὶ πάντων, ὅσαι †††) B
εἰς χρήματα, ῥᾴδιαί τε ὦσι καὶ σφόδρα σαφεῖς.

---

*) ἴσ. κτῆσιν. **) γρ. πενίας.
) γρ. μεγέθη. *) γρ. πλουσιώτατοι.
†) ἴσ. τίκτοντα. ἢ· τικτόντων — ἀμφοτέρων.
††) ἴσ. ἅπαντα. ἄλλ. τὰ περιγιγνόμενα τοῦ μέτρου, τῇ πόλει ἂν αὐτά. †††) ἴσ. ὅσα.

tutem maiorum suamque ipsius neque secundum corporis robur et formositatem consequatur, sed etiam secundum divitiarum possessionem et paupertatem honores et magistratus quam maxime aequaliter e ratione quidem inaequali, sed congruente cives assequantur nec inter se dissideant. hanc ob causam quattuor ad magnitudinem rei familiaris census oportet constitui, primos et secundos et tertios et quartos, vel aliis quibusdam signatos nominibus, sive manent in eodem censu sive divitiores e pauperibus et e divitibus pauperes facti in censum transgrediuntur cuique convenientem. hanc vero praeterea equidem legis formam posuerim ut consequentem; oportet videlicet in urbe, dicimus, maximi morbi nullam partem habitura, quem dissidium vel seditionem rectius erit appellari, neque paupertatem gravem inesse apud aliquos cives neque etiam divitias, quum utraque pariant haec utraque. nunc vero terminos oportet horum utriusque legum latorem constituere. esto igitur paupertatis terminus sortis census, quam stabilem esse oportet quamque nullus magistratus cuiquam permittet minorem reddere neque reliquorum quisquam virtutis studiosus. modum his statuens legis lator duplum eius sinet acquirere et triplum usque ad quadruplum; plura autem his si quis possidet inventa vel dono alicunde accepta vel quaestu comparata vel alia huiusmodi fortuna acquisita, quae supersunt omnia urbi vel diis urbis tutoribus tribuens laudabilis poenaque liber erit; si quis vero non obtemperat huic legi, indicabit quicumque volet ea conditione ut dimidium accipiat, et reus tantumdem pendet de sua possessione dimidium vero diis consecrabitur. possessio sine sorte omnium omnis publice scripta esto apud custodes magistratus, quibus lex id mandaverit, ut iudicia de omnibus rebus ad pecuniam pertinentibus committenda facilia sint et admodum dilucida.

Τὸ δὴ μετὰ τοῦτο πρῶτον μὲν τὴν πόλιν ἱδρῦσθαι δεῖ
τῆς χώρας ὅτι μάλιστα ἐν μέσῳ, καὶ τἆλλα ὅσα πρόσφορα
πόλει τῶν ὑπαρχόντων ἔχοντα τόπον ἐκλεξάμενον, ἃ νοῆσαί
τε καὶ εἰπεῖν οὐδὲν χαλεπόν· μετὰ δὲ ταῦτα μέρη δώδεκα
διελέσθαι, θέμενον Ἑστίας πρῶτον καὶ Διὸς καὶ Ἀθηνᾶς
ἱερόν, ἀκρόπολιν ὀνομάζοντα, κύκλον περιβάλλοντα, ἀφ' οὗ
τὰ δώδεκα * μέρη τέμνειν τήν τε πόλιν αὐτὴν καὶ πᾶσαν C
τὴν χώραν. ἴσα δὲ δεῖ γίγνεσθαι τὰ δώδεκα μέρη τῷ τὰ μὲν
ἀγαθῆς γῆς εἶναι σμικρά, τὰ δὲ χείρονος μείζω. κλήρους δὲ
διελεῖν τετταράκοντα καὶ πεντακισχιλίους, τούτων δὲ αὖ δίχα
τεμεῖν ἕκαστον καὶ ξυγκληρῶσαι δύο τμήματα, τοῦ τ' ἐγγὺς
καὶ τοῦ πόῤῥω μετέχοντα ἑκάτερον *)· τὸ πρὸς τῇ πόλει
μέρος τῷ πρὸς τοῖς ἐσχάτοις εἷς κλῆρος καὶ τὸ δεύτερον ἀπὸ
πόλεως τῷ ἀπ' ἐσχάτων * δευτέρῳ, καὶ τἆλλα οὕτω πάντα. D
μηχανᾶσθαι δὲ καὶ ἐν τοῖς δίχα τμήμασι τὸ νῦν δὴ λεγόμε-
νον **) φαυλότητός τε καὶ ἀρετῆς χώρας, ἐπανισουμένους
τῷ πλήθει τε καὶ ὀλιγότητι τῆς διανομῆς. νείμασθαι δὲ δεῖ †)
καὶ τοὺς ἄνδρας δώδεκα μέρη, τὴν ††) τῆς ἄλλης οὐσίας εἰς
ἴσα ὅτι μάλιστα τὰ δώδεκα μέρη ξυνταξάμενον, ἀπογραφῆς
πάντων γενομένης. καὶ δὴ καὶ †††) τὸ μετὰ τοῦτο δώδεκα
θεοῖς δώδεκα κλήρους θέντας ἐπονομάσαι καὶ καθιερῶσαι
τὸ * λαχὸν μέρος ἑκάστῳ τῷ θεῷ, καὶ φυλὴν αὐτὴν ἐπο- E
νομάσαι. τέμνειν δὲ αὖ καὶ τὰ τῆς πόλεως δώδεκα τμήματα
τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τὴν ἄλλην χώραν διένεμον·
καὶ δύο νέμεσθαι ἕκαστον οἰκήσεις, τήν τε ἐγγὺς τοῦ μέ-
σου καὶ τὴν τῶν ἐσχάτων· καὶ τὴν μὲν κατοίκισιν οὕτω τέ-
λος ἔχειν.

Ἐννοεῖν δὲ ἡμᾶς τὸ τοιόνδ' ἐστὶ χρεὼν ἐκ παντὸς τρό-
που, ὡς τὰ νῦν εἰρημένα πάντα οὐκ ἄν ποτε εἰς τοιούτους
καιροὺς ξυμπέσοι, ὥστε ξυμβῆναι κατὰ λόγον οὕτω ξύμπαν-
τα γενόμενα * ἄνδρας τε οἳ μὴ δυσχερανοῦσι τὴν τοιαύτην 746
ξυνοικίαν, ἀλλ' ὑπομενοῦσι χρήματά τε ἔχοντες τακτὰ καὶ
μέτρια διὰ βίου παντὸς καὶ παίδων γενέσεις ἃς εἰρήκαμεν

*) ἴσ. ἑκατέρου. **) ἴσ. λεγόμενον περὶ.
†) ἄλλ. δή. ††) ἴσ. τά. †††) γρ. καὶ δή.

Deinceps primum quidem urbem collocari oportet in regionis quam maxime medio, ita ut locus ex iis qui praesto sunt eligatur reliqua quoque habens urbi accommodata, quae neque cognitu neque dictu difficilia sunt; deinde in partes duodecim dividenda est regio, ita ut prima pars Vestae et Iovi et Minervae consecretur, arx nominanda, circulo circumiecto, a quo duodecim in partes urbs ipsa totaque regio dividenda. aequales autem esse debent duodecim partes, ita ut bonae terrae partes minores sint, deterioris vero maiores. sortes discernendae quadraginta et quinquies mille, quarum quaeque bipartito distribuenda, et duae particulae in unam sortem conferendae, utriusque, tam propinquioris quam remotioris agri, participes, ita ut urbis proxima et extrema una sit sors secunda ab urbe et secunda ab extremitate, et reliquae ita omnes. peragendum autem est etiam in geminis partitionibus id quod modo monuimus de vilitate et bonitate regionis, et multitudine atque exiguitate distributio exaequanda. distribuendi vero etiam viri in duodecim partes, et reliquae opes in aequales quam maxime duodecim partes componendae, descriptione omnium facta. atque etiam deinde duodecim diis duodecim sortes ponendae et nuncupandae et pars sorte constituta cuique deo consecranda tribusque appellanda. dividendae etiam urbis duodecim partes eodem modo, quo reliquam regionem diviserunt; et in duas quaeque dispertienda habitationes, unam prope medium et alteram prope extremitates; et urbis constitutio ita absolvenda.

Cogitare autem hoc nos oportet omni modo numquam fore ut omnia nunc dicta tales in opportunitates concurrant, ita ut eveniant rationi convenienter sic omnia, et viri huiusmodi communitatem non aegre ferant, sed sustineant opes habentes statutas et mediocres in omni vitali berorumque procreationes quas diximus singu-

ἑκάστοις, καὶ χρυσοῦ στερόμενοι καὶ ἑτέρων ὧν δῆλος ὁ νομοθέτης προστάξων ἐστὶν ἐκ τούτων τῶν νῦν εἰρημένων, ἔτι δὲ χώρας τε καὶ ἄστεος, ὡς εἰρήκαμεν *), μεσότητάς τε καὶ ἐν κύκλῳ οἰκήσεις, πάντῃ **) σχεδὸν οἷον ὀνείρατα λέγων ἢ πλάττων καθάπερ ἐκ κηροῦ τινὰ πόλιν καὶ πολίτας. ἔχει δὴ τὰ τοιαῦτα οὐ * κακῶς τινὰ τρόπον εἰρημένα, χρὴ B δ' ἐπαναλαμβάνειν πρὸς αὑτὸν τὰ τοιάδε. πάλιν ἄρα ἡμῖν ὁ νομοθετῶν φράζει τόδε, Ἐν τούτοις τοῖς λόγοις, ὦ φίλοι, μηδ' αὐτὸν δοκεῖτέ με λεληθέναι τὸ νῦν λεγόμενον, ὡς ἀληθῆ διεξέρχεταί τινα τρόπον· ἀλλὰ γὰρ ἐν ἑκάστοις τῶν μελλόντων ἔσεσθαι δικαιότατον οἶμαι τόδε εἶναι, τὸν τὸ παράδειγμα δεικνύντα, οἷον δεῖ τὸ ἐπιχειρούμενον γίγνεσθαι, μηδὲν ἀπολείπειν τῶν καλλίστων τε καὶ ἀληθεστάτων· ᾧ δὲ ἀδύνατόν τι ξυμβαίνει * τούτων γίγνεσθαι, τοῦτο μὲν αὐτὸ C ἐκκλίνειν καὶ μὴ πράττειν, ὅ τι δὲ τούτου τῶν λοιπῶν ἐγγύτατά ἐστι καὶ ξυγγενέστατον ἔφυ τῶν προσηκόντων πράττειν, τοῦτ' αὐτὸ διαμηχανᾶσθαι ὅπως ἂν γίγνηται· τὸν νομοθέτην δ' ἐᾶσαι τέλος ἐπιθεῖναι τῇ βουλήσει, γενομένου δὲ τούτου, τότ' ἤδη κοινῇ μετ' ἐκείνου σκοπεῖν ὅ τί τε ξυμφέρει τῶν εἰρημένων καὶ τί πρόσαντες εἴρηται τῆς νομοθεσίας· τὸ ὁμολογούμενον αὐτὸ αὑτῷ δεῖ που ***) πανταχῇ ἀπεργάζεσθαι καὶ * τὸν τοῦ φαυλοτάτου δημιουργὸν ἄξιον ἐσόμενον λόγου. D

Νῦν δὴ τοῦτ' αὐτὸ προθυμητέον ἰδεῖν μετὰ τὴν δόξαν τῆς τῶν δώδεκα μερῶν διανομῆς, τὸ τίνα τρόπον. δῆλον †) δὴ τὰ δώδεκα μέρη τῶν ἐντὸς αὐτοῦ ††) πλείστας ἔχοντα διανομάς, καὶ τὰ τούτοις ξυνεπόμενα καὶ ἐκ τούτων γεννώμενα, μέχρι τῶν τετταράκοντά τε καὶ πεντακισχιλίων· ὅθεν φρατρίας καὶ δήμους καὶ κώμας, καὶ πρός γε τὰς πολεμικὰς τάξεις τε καὶ ἀγωγάς, καὶ ἔτι νομίσματα καὶ μέτρα ξηρά * τε E καὶ ὑγρὰ καὶ σταθμά, πάντα ταῦτα ἔμμετρά τε καὶ ἀλλήλοις ξύμφωνα δεῖ τόν γε νόμον διατάττειν. πρὸς δὲ τούτοις οὐδ' ἐκεῖνα φοβητέα δείσαντα τὴν δόξασαν ἂν γίγνεσθαι σμικρο-

---

*) ἄλλ. εἴρηκε. **) ἴσ. πάντα ***) γρ. δήπου.
†) γρ. τρόπον δῆλον. ††) ἴσ. αὐτῶν.

lis, auro carentes et aliis quae legum latorem praeſcripturum eſſe patet ex eis quae modo dicta ſunt, praeterea regionis et urbis, ut diximus, media et habitationes in orbem collocatas, omnia fere tamquam ſomnia dicentem vel fingentem quaſi e cera urbem aliquam et cives. haud male igitur ſe habent quodammodo haec b
dicta, apud nosmet ipſos vero haec repetamus oportet. rurſus igitur nobis legum lator dicit hoc: His in orationibus, amici, ne exiſtimate me ipſum fugere vere quodammodo quod nunc profertur exponi; at in omnibus quae futura ſunt iuſtiſſimum arbitror eſſe, eum qui exemplar proponat, quale oporteat inſtitutum fieri, nihil praetermittere pulcherrimi et optimi; cui vero accidit aliquid quod fieri nequit, hoc ipſum quidem evitandum nec faciundum, quod vero de ceteris huic proximum eſt maximeque cognatum eis quae fieri par eſt, hoc ipſum elaborandum ut fiat; legum latori autem permittendum, ut finem imponat voluntati, quo facto tum demum communiter cum eo conſiderandum quidnam ex dictis conducat et quidnam propoſitum ſit a ſcribendis legibus averſi; opus enim ſecum conſentiens plane efficere oportet etiam viliſſimae rei artificem, ſi laudem ſit conſequuturus.

Nunc igitur hoc ipſum conandum eſt ſpectare, quum viſum fuerit duodecim in partes urbem distribuere, quomodo hoc fieri poſſit. perſpicuum autem duodecim partes plurimas eorum quae in ſe contineant habere distributiones, et quae cum his coniuncta ſint et ex his procreata, usque ad quadraginta et quinque millia; unde familiarum communiones et curias et vicos, praetereaque militares ordines et ductus, et inſuper numos et menſuras ſiccorum et liquidorum et pondera, omnia haec moderata et inter ſe concinentia oportet legem conſtituere. praeterea nec illud verendum, ne res minutas videatur conſectari qui nihil eorum quaecumque

λογίαν, ἂν τις προςτάττῃ πάντα ὁπόσ' ἂν σκεύη κτῶνται,
μηδὲν ἄμετρον αὐτῶν ἐᾶν εἶναι, καὶ κοινῷ λόγῳ νομίσαντα
πρὸς * πάντα εἶναι χρησίμους τὰς τῶν ἀριθμῶν διανομὰς 747
καὶ ποικίλσεις, ὅσα τε αὐτοὶ ἐν ἑαυτοῖς ποικίλλονται καὶ
ὅσα ἐν μήκεσι καὶ ἐν βάθεσι ποικίλματα, καὶ δὴ καὶ ἐν
φθόγγοις καὶ κινήσεσι ταῖς τε κατὰ τὴν εὐθυπορίαν τῆς ἄνω
καὶ κάτω φορᾶς καὶ τῆς κύκλῳ περιφορᾶς· πρὸς γὰρ ταῦτα
πάντα δεῖ βλέψαντα τόν γε νομοθέτην προςτάττειν τοῖς πο-
λίταις πᾶσιν εἰς δύναμιν τούτων μὴ ἀπολείπεσθαι τῆς ξυν-
τάξεως· πρός τε γὰρ οἰκονομίαν καὶ πρὸς * πολιτείαν καὶ B
πρὸς τὰς τέχνας πάσας ἓν οὐδὲν οὕτω δύναμιν ἔχει παίδειον
μάθημα μεγάλην, ὡς ἡ περὶ τοὺς ἀριθμοὺς διατριβή· τὸ δὲ
μέγιστον, ὅτι τὸν νυστάζοντα καὶ ἀμαθῆ φύσει ἐγείρει καὶ
εὐμαθῆ καὶ μνήμονα καὶ ἀγχίνουν ἀπεργάζεται, παρὰ τὴν
αὐτοῦ φύσιν ἐπιδιδόντα θείᾳ τέχνῃ. ταῦτα δὴ πάντα, ἐὰν
μὲν ἄλλοις νόμοις τε καὶ ἐπιτηδεύμασιν ἀφαιρῆταί τις τὴν
ἀνελευθερίαν καὶ φιλοχρηματίαν ἐκ τῶν ψυχῶν τῶν μελλόν-
των αὐτὰ * ἱκανῶς τε καὶ ὀνησίμως κτήσεσθαι, καλὰ τὰ C
παιδεύματα καὶ προςήκοντα γίγνοιτ' ἄν· εἰ δὲ μή, τὴν κα-
λουμένην ἄν τις πανουργίαν ἀντὶ σοφίας ἀπεργασάμενος λά-
θοι, καθάπερ Αἰγυπτίους καὶ Φοίνικας καὶ πολλὰ ἕτερα
ἀπειργασμένα γένη νῦν ἔστιν ἰδεῖν ὑπὸ τῆς τῶν ἄλλων ἐπι-
τηδευμάτων καὶ κτημάτων ἀνελευθερίας, εἴτε τις νομοθέτης
αὐτοῖς φαῦλος ἂν γενόμενος ἐξειργάσατο *) τὰ τοιαῦτα εἴτε
χαλεπὴ τύχη προςπεσοῦσα εἴτε καὶ * φύσις ἄλλη τις τοιαύ- D
τη. καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς
λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσὶν **) ἄλλοι τινὲς διαφέ-
ροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους
καὶ χείρους, οἷς οὐκ ἐναντία νομοθετητέον· οἱ μέν γέ που
διὰ πνεύματα παντοῖα καὶ δι' εἱλήσεις ἀλλόκοτοί τ' εἰσὶ καὶ
ἀναίσιοι ***) αὐτῶν, οἱ δὲ δι' ὕδατα, οἱ δὲ καὶ διὰ ταύτην
τὴν ἐκ τῆς γῆς τροφήν, ἀναδιδοῦσιν οὐ μόνον τοῖς σώμασιν
ἀμείνω καὶ χείρω, * ταῖς δὲ ψυχαῖς οὐχ ἧττον δυναμένην E

*) ἴσ. ἐξεργάσαιτο. **) ἴσ. ὡς εἰσίν.
***) ἄλλ. ἐναίσιοι. ἴσ. ἐξαίσιοι.

poſſideant utenſilium immoderatum ſinat eſſe, et communi ratione cenſeat ad omnia eſſe utiles numerorum distributiones ac varietates tam inter ipſos conſpicuas quam in longitudinibus et altitudinibus, atque etiam in ſonis et motionibus, tam iis quae recta ſurſum et deorſum peraguntur quam iis quae in orbem circumferuntur; haec enim omnia reſpicientem oportet legum latorem praecipere civibus omnibus pro viribus ne discedant ob horum deſcriptione et ordine; ad rerum enim domeſticarum curam et ad civitatem et ad artes omnes nulla tam magnam habet vim puerilis diſciplina, quam numerorum ſtudium; maximum vero hoc eſt, quod dormitantem et natura indocilem excitat et docilem, memorem ſagacemque efficit, praeter naturam ſuam proficientem divina arte. haec igitur omnia, ſi quis aliis legibus atque inſtitutis eximat illiberalitatem et pecuniae cupiditatem ex animis eorum qui ea ſatis et utiliter percepturi ſint, pulchrae ſint diſciplinae atque convenientes; ſin minus, malitiam quae dicitur pro ſapientia inſcius quispiam effecerit, quemadmodum. Aegyptios et Phoenices multasque alias gentes nunc licet videre conformatas ab illiberalitate ceterorum ſtudiorum et poſſeſſionum, ſive legis lator eis vilis hoc effecerit ſive gravis caſus oblatus ſive aliud quid eiusdem generis. etenim, o Megille et Clinia, nec hoc nos fugito de locis, alios quosdam eſſe inſignes prae aliis locis ad homines procreandos meliores et deteriores, quibus conſentanea ſunt legibus conſtituenda; alii enim per ventos varios et aeſtus inſolentes ſunt modumque excedunt, alii per aquas, alii etiam per alimenta a terra ſubminiſtrata, quae non ſolum corporibus meliora et deteriora ſuppeditant, verum etiam animis non minus omnia haec poſſunt inii-

πάντα τὰ τοιαῦτα ἐμποιεῖν· τούτων δ' αὖ πάντων μέγιστον διαφέροιεν ἂν τόποι χώρας, ἐν οἷς θεία τις ἐπίπνοια καὶ δαιμόνων λήξεις εἶεν, τοὺς ἀεὶ κατοικιζομένους ἵλεῳ δεχόμενοι καὶ τοὐναντίον· οἷς *) ὅ γε νοῦν ἔχων νομοθέτης ἐπισκεψάμενος, ὡς ἄνθρωπον οἷόν τ' ἐστὶ σκοπεῖν τὰ τοιαῦτα, οὕτω πειρῷτ' ἂν τιθέναι τοὺς νόμους. ὃ δὴ καὶ σοὶ ποιητέον, ὦ Κλεινία· πρῶτον τρεπτέον ἐπὶ τὰ τοιαῦτα μέλλοντί γε κατοικίζειν χώραν.

ΚΛ. Ἀλλ', ὦ ξένε Ἀθηναῖε, λέγεις τε παγκάλως ἐμοί τε οὕτω ποιητέον.

cere; his autem omnibus maxime praeſtabunt loci regionis, in quibus divinus quidam afflatus et agri diis ſorte aſſignati exſtant, ubi dii quosque domicilium collocantes propitii recipiunt et contra; quos quidem prudens legum lator quum ſpectaverit, quantum homo poteſt talia perſcrutari, tum conabitur leges ſcribere. quod tibi quoque faciundum, Clinia: primum convertendum tibi ad talia regionem domicilio delecturo.

Cl. Sane, o hoſpes Athenienſis, praeclare loqueris mihique ita faciundum.

---

*) ἴσ. οὗς.

LIBER SEXTUS.

Progreditur Atheniensis ad magistratuum creationem et, nonnullis de magistratuum probatione eorumque, penes quos creandi potestas, institutione praemissis, primos esse legum custodes creandos monet. Qui armati sunt et bello iam interfuerunt, ii tabellis suffragia ferent; e trecentis vero, qui pluribus suffragiis probati fuerint, centum et ex his rursus triginta septem, plurimis ornati suffragiis, deliguntor (754). Hi magistratus id habebunt muneris, ut leges custodiant, census tabulas asservent et peccantibus mulctam irrogent (755). Deinde exercitus duces, magistri equitum, alii legendi sunt. Senatores sunto trecenti sexaginta, quos ita creari oportet, ut e quattuor singulis civium classibus nonaginta sortito capiantur (757). Senatores porro in duodecim partes ita describuntor, ut singulae singulis mensibus rei publicae saluti et securitati prospiciant (758). Etiam sacerdotes et aeditui creantor, qui rebus sacris praesint, aediles, quibus viarum, domorum et quae sunt alia eiusdem generis, cura demandetur, et agoranomi, qui rebus vendendis et emendis praeficiantur. Praeterea sex sunto religionum interpretes rerumque sacrarum quaestores (759). Agros procuranto agrorum praefecti tribuumque principes annui; tribus videlicet singulae quinque eligent, quorum quisque duodecim e tribu sua adiutores designabit: hi viis et locorum tam securitati quam fertilitati prospicient (761). Sexaginta viri sunto qui civium lites componant, si vero ipsi peccaverint, ignominia afficiantur vel gravioribus poenis (763). Tres aediles et fori praefecti quinque creantor. Etiam gymnasiorum et musicae praefectos creari oportet qui insti-

tutioni et certaminibus praesint. Ad civitatis vero salutem quum plurimum interfit iuventutem recte institui, optimus e civium numero deligendus, qui institutioni universae praesit (766). — Quod ad iudicia attinet, privati inter se litigantes arbitros sumunto; quodsi hoc modo lis componi nequit, ad iudices publicos res deferenda et ab his decernenda est; quos quomodo creari oporteat deinceps exponitur (768). Quae in hac legum expositione forte praetermissa sunt, ea intra decem annos ita sunt explenda, ut magistratus singuli ad legum custodes deferant quae animadverterint, et commune postea consilium habeatur (772). — Iam de matrimonio exponitur, cuius tempus legitimum viris statuitur annus aetatis quintus vicesimus usque ad quintum tricesimum. In connubio autem ineundo non divitias, sed civitatis rationes hominumque ingenium respici oportet; igitur qui calido ac feroci animo est, is parentibus modestis natam, sedatior vero parentum alacriorum filiam in matrimonium ducito, ut ingeniorum diversitas ad aequalitatem quandam redigatur. Caelebs mulctator et a iunioribus contemnitor. Dotem qui dat vel accipit quinquaginta drachmarum pretium excedentem, itidem mulctator. Patris, fratris germani, avi paterni et, his finitis, matris esto despondere. In convivia nuptialia non licet impensam facere nec usque ad ebrietatem bibere, omnium minime novis coniugibus, qui liberorum sanorum ac robustorum procreationi debeant prospicere. Novi praeterea coniuges a parentibus et affinibus separatim habitanto (776). — Omnium quae ad possessionem pertinent difficillima sunt servitia, propterea quod homo servitutem aegre patitur. Quocirca dominum, ne servi coniurare possint, videre oportet, ut diversis e gentibus diversarumque linguarum sint. Praeterea dominus a contumelia et iniustitia in servos non minus, quam a ioco et familiaritate se abstinebit (778). — Dein de templis, aedificiis ac muris disseritur, quorum pro-

curatio aedilium eſt munus. — Coniugibus vivendi ratio quam ſequantur praeſcribenda eſt; etenim quanto natura muliebris inferior ac deterior eſt virili, tanto plus civitas detrimenti accipit, ſi feminarum nulla ratio habetur; inprimis vero amoris cupiditas, quae omnium eſt vehementiſſima, legibus debet coërceri, ut maritus et uxor temperate et continenter vivant; quocirca publice, ſi peccaverint, accuſantor. Denique matrimonio ineundo, magiſtratui gerendo et militiae tempus ſtatuitur.

ΣΤ.

Ἀλλὰ μὴν μετά γε πάντα τὰ νῦν εἰρημένα σχεδὸν ἂν ἀρ- 751
χῶν εἶέν σοι καταστάσεις τῇ πόλει.

ΚΛ. Ἔχει γὰρ οὖν οὕτως.

ΑΘ. Δύο εἴδη ταῦτα περὶ πολιτείας κόσμον γιγνόμενα
τυγχάνει, πρῶτον μὲν καταστάσεις ἀρχῶν τε καὶ ἀρξόντων,
ὅσας τε αὐτὰς εἶναι δεῖ καὶ τρόπον ὅντινα καθισταμένας·
ἔπειτα οὕτω δὴ τοὺς νόμους ταῖς ἀρχαῖς ἑκάσταις ἀποδοτέον,
οὕςτινάς * τε αὖ καὶ ὅσους καὶ οἵους προςῆκον ἂν ἑκάσταις B
εἴη. σμικρὸν δὲ ἐπισχόντες πρὸ τῆς αἱρέσεως εἴπωμεν προς-
ήκοντά τινα λόγον περὶ αὐτῆς ῥηθῆναι.

ΚΛ. Τίνα δὴ τοῦτον;

ΑΘ. Τόνδε. παντί που δῆλον τὸ τοιοῦτον, ὅτι μεγάλου
τῆς νομοθεσίας ὄντος ἔργου, τοῦ πόλιν εὖ παρεσκευασμένην
ἀρχὰς ἀνεπιτηδείους ἐπιστῆσαι *) τοῖς εὖ κειμένοις νόμοις,
οὐ μόνον οὐδὲν πλέον εὖ τεθέντων, οὐδ' ὅτι γέλως ἂν πάμ-
πολυς ξυμβαίνοι; σχεδὸν δὲ * βλάβαι καὶ λῶβαι πολὺ μέγι- C
σται ταῖς πόλεσι γίγνοιντ' ἂν ἐξ αὐτῶν.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τοῦτο τοίνυν νοήσωμέν σοι περὶ τῆς νῦν, ὦ φίλε,
πολιτείας τε καὶ πόλεως ξυμβαῖνον· ὁρᾷς γὰρ ὅτι πρῶτον
μὲν δεῖ τοὺς ὀρθῶς ἰόντας ἐπὶ τὰς τῶν ἀρχῶν δυνάμεις βά-
σανον ἱκανὴν αὐτούς τε καὶ γένος ἑκάστων ἐκ παίδων μέχρι

---

*) Ἴσ. ἀρχὰς ἐπιτηδείους ἔχειν, εἰ ἀνεπιτηδείους ἐπιστῆσαι.

LIBER SEXTUS.

Iam post omnia nunc exposita magistratus fere civitatis a te constituendi erunt.

Cl. Habet sane se res ita.

Ath. Duae hae species in civitate ordinanda sunt; prima est creatio magistratuum et eorum qui imperaturi sint, quot esse oportet et eo modo quo constituendi; deinde leges magistratibus singulis scribendae sunt, quae, quot qualesque cuique conveniant. paullulum vero morae interponentes antequam eos eligimus orationem proferamus quam de hac re par est dici.

Cl. Quamnam?

Ath. Hanc; cuilibet fere patet hoc, quum magnum sit opus legum lationis curare, ut civitas bene constituta magistratus habeat idoneos. si legibus bene positis magistratus praeficiat non idoneos, non solum nihil prodesse bonam legum lationem, neque solum risum movere permagnum, sed etiam detrimenta et perniciem longe maximam civitatibus inde exsistere.

Cl. Quippini?

Ath. Hoc igitur cogitemus tuae quam nunc condis, amice, civitati et urbi accidere; vides enim primum oportere qui recte aggrediantur ad magistratuum potestates satis tam ipsos quam genus cuiusque a pueris us-

τῆς αἱρέσεως εἶναι δεδωκότας, ἔπειτα αὖ τοὺς μέλλοντας αἱ-
ρήσεσθαι τεθράφθαι τε *) ἐν ἤθεσι νόμων εὖ πεπαιδευμέ-
νους * πρὸς τὸ δυςχεραίνοντάς τε καὶ ἀποδεχομένους ὀρ- D
θῶς κρίνειν καὶ ἀποκρίνειν δυνατοὺς γίγνεσθαι τοὺς ἀξίους
ἑκατέρων· ταῦτα δὲ οἱ νεωστὶ ξυνεληλυθότες ὄντες τε ἀλλή-
λων ἀγνῶτες, ἔτι δ' ἀπαίδευτοι, πῶς ἄν ποτε δύναιντο ἀμέμ-
πτως τὰς ἀρχὰς αἱρεῖσθαι;

ΚΛ. Σχεδὸν οὐκ ἄν ποτε.

ΑΘ. Ἀλλὰ γὰρ ἀγῶνα προφάσεις οὐ πάνυ δέχεσθαι **)
καὶ δὴ καὶ σοὶ τοῦτο νῦν καὶ ἐμοὶ ποιητέον· ἐπείπερ σὺ μὲν
δὴ τὴν πόλιν ὑπέστης τῷ * Κρητῶν ἔθνει προθύμως κα- E
τοικιεῖν δέκατος * αὐτός, ὥς φῃς, τὰ νῦν, ἐγὼ δ' αὖ σοὶ 752
ξυλλήψεσθαι κατὰ τὴν παροῦσαν ἡμῖν τὰ νῦν μυθολογίαν.
οὔκουν δήπου λέγων γε ἂν μῦθον ἀκέφαλον ἑκὼν καταλίποι-
μι· πλανώμενος γὰρ ἂν ἀπάντῃ †) τοιοῦτος ὢν ἄμορφος φαί-
νοιτο ††).

ΚΛ. Ἄριστ' εἴρηκας, ὦ ξένε.

ΑΘ. Οὐ μόνον γε, ἀλλὰ καὶ δράσω κατὰ δύναμιν οὕτως.

ΚΛ. Πάνυ μὲν οὖν ποιῶμεν, ᾗπερ καὶ λέγομεν.

ΑΘ. Ἔσται τοῦτ', ἂν θεὸς ἐθέλῃ καὶ γήρως ἐπικρα-
τῶμεν τό γε τοσοῦτον.

ΚΛ. * Ἀλλ' εἰκὸς ἐθέλειν. B

ΑΘ. Εἰκὸς γὰρ οὖν· ἑπόμενοι δὲ αὐτῷ λάβωμεν καὶ τόδε.

ΚΛ. Τὸ ποῖον;

ΑΘ. Ὡς ἀνδρείως καὶ παρακεκινδυνευμένως ἐν τῷ νῦν
ἡ πόλις ἡμῖν ἔσται κατῳκισμένη.

ΚΛ. Περὶ τί βλέπων καὶ ποῖ μάλιστα αὐτὸ εἴρηκας
τὰ νῦν;

ΑΘ. Ὡς εὐκόλως καὶ ἀφόβως ἀπείροις ἀνδράσι νομο-
θετοῦμεν, ὅπως δέξονταί ποτε τοὺς νῦν τεθέντας νόμους.
δῆλον δὲ τό γε τοσοῦτον, ὦ Κλεινία, παντὶ σχεδὸν καὶ τῷ
μὴ πάνυ σοφῷ, * τὸ μὴ ῥαδίως γε αὐτοὺς μηδένα προςδέ- C

---

*) ἴσ. δεῖ. **) ἴσ. δέχεσθαί φασι.
†) ἴσ. ἀπαντᾷ. ††) ἴσ. ἂν φαίνοιτο.

que ad creationem esse exploratos, deinde eos qui creaturi sint educatos esse in moribus legitimis bene institutos, ut repudiantes et accipientes recte possint eligere et reiicere utroque dignos. quapropter qui confluxerunt, inter se ignoti et praeterea inculti, quomodo umquam poterunt sine reprehensione magistratus creare?

Cl. Numquam fere.

Ath. At enim certamen excusationes non sane admittere dicimus. atque etiam tibi hoc nunc et mihi faciundum, siquidem tu civitatem promisisti Cretum populo prompto animo condere cum novem collegis, ut narras, nunc, ego autem tibi pollicitus sum in hoc quod nunc facimus colloquio auxilium meum. minime igitur dicens sermonem sponte relinquam mancum; vagans enim si ita comparatus obviam veniat, deformis reperiatur.

Cl. Optime dixisti, o hospes.

Ath. Non solum hoc, sed agam quoque pro viribus ita.

Cl. Sane quidem faciamus, sicut dicimus.

Ath. Erit hoc, si deus voluerit et senectutem superemus tantum.

Cl. Probabile vero est eum velle.

Ath. Probabile sane; sequentes autem ipsum sumamus etiam hoc.

Cl. Quidnam?

Ath. Audacter et periculose nunc urbem a nobis conditam esse.

Cl. Quid et quorsum maxime spectans istud nunc dixisti?

Ath. Huc quod facile et intrepide viris imperitis praecipimus ut accipiant leges nunc constitutas. perspicuum vero hoc certe, Clinia, cuique etiam non valde sapienti, haud facile eas quemquam suscipere initio, si

ξασθαι κατ' ἀρχάς, εἰ δὲ μείναιμέν πως τοσοῦτον χρόνον, ἕως οἱ γευσάμενοι παῖδες τῶν νόμων καὶ ξυντραφέντες ἱκανῶς ξυνήθεις τε αὐτοῖς γενόμενοι τῶν ἀρχαιρεσιῶν τῇ πόλει πάσῃ κοινωνήσειαν, γενομένου γε μὴν οὗ λέγομεν, εἴπερ τινὶ τρόπῳ καὶ μηχανῇ γίγνοιτο ὀρθῶς, πολλὴν ἔγωγε ἀσφάλειαν ἡγοῦμαι καὶ μετὰ τὸν τότε παρόντα χρόνον ἂν γενέσθαι τοῦ μεῖναι τὴν παιδαγωγηθεῖσαν οὕτω πόλιν.

ΚΛ. * Ἔχει γοῦν *) λόγον. D

ΑΘ. Ἴδωμεν τοίνυν πρὸς τοῦτο εἴ πῄ τινα πόρον ἱκανὸν πορίζοιμεν ἂν κατὰ τάδε. φημὶ γάρ, ὦ Κλεινία, Κνωσίους χρῆναι τῶν ἄλλων διαφερόντως Κρητῶν μὴ μόνον ἀφοσιώσασθαι περὶ τῆς χώρας ἣν νῦν κατοικίζετε **), ξυντόνως δ' ἐπιμεληθῆναι τὰς πρώτας ἀρχὰς εἰς δύναμιν, ὅπως ἂν στῶσιν ὡς ἀσφαλέστατα καὶ ἄριστα. τὰς μὲν οὖν ἄλλας καὶ βραχύτερον ἔργον, νομοφύλακας δ' ἂν ***) ἡμῖν * πρώτους E αἱρεῖσθαι ἀναγκαιότατον ἁπάσῃ σπουδῇ.

ΚΛ. Τίνα οὖν ἐπὶ τούτῳ πόρον καὶ λόγον ἀνευρίσκομεν;

ΑΘ. Τόνδε. φημί, ὦ παῖδες Κρητῶν, χρῆναι Κνωσίους διὰ τὸ πρεσβεύειν τῶν πολλῶν πόλεων κοινῇ μετὰ τῶν ἀφικομένων εἰς τὴν ξυνοίκησιν ταύτην ἐξ αὐτῶν τε καὶ ἐκείνων αἱρεῖσθαι τριάκοντα μὲν καὶ ἑπτὰ τοὺς πάντας, ἐννέα δὲ καὶ δέκα ἐκ τῶν ἐποικησόντων †), τοὺς δὲ ἄλλους ἐξ αὐτῆς * Κνωσοῦ. τούτους δ' οἱ Κνώσιοι τῇ πόλει σοι δόντων, 753 καὶ αὐτὸν σέ, πολίτην εἶναι ταύτης τῆς ἀποικίας καὶ ἕνα τῶν ὀκτωκαίδεκα, πείσαντες ἢ τῇ μετρίᾳ δυνάμει βιασάμενοι.

ΚΛ. Τί δῆτα οὐ καὶ σύ τε καὶ ὁ Μέγιλλος, ὦ ξένε, ἐκοινωνησάτην ἡμῖν τῆς πολιτείας;

ΑΘ. Μέγα μέν, ὦ Κλεινία, φρονοῦσιν αἱ Ἀθῆναι, μέγα δὲ καὶ ἡ Σπάρτη, καὶ μακρὰν ἀποικοῦσιν ἑκάτεραι· σοὶ δὲ κατὰ πάντα ἐμμελῶς ἔχει καὶ τοῖς ἄλλοις οἰκισταῖς κατὰ ταὐτά, ὥσπερ * τὰ περὶ σοῦ νῦν λεγόμενα. ὡς μὲν B οὖν γένοιτ' ἂν ἐπιεικέστατα ἐκ τῶν ὑπαρχόντων ἡμῖν τὰ νῦν,

---

*) γρ. γ' οὖν. **) ἄλλ. ἣ — κατοικίζεται.
***) ἴσ. αὖ. †) γρ. ἐποικησάντων.

tam diu exſpectaremus, donec pueri leges guſtaviſſent et in eis educati ſatis adſuetique cum civitate univerſa ad magiſtratuum creationem adhiberentur, hoc ſi fieret quod dicimus, ſiquidem aliquo modo et machinatione fieret recte, equidem cenſeo multa nos poſſe cum ſecuritate ſperare fore ut civitas ſic inſtituta maneret.

Cl. Certe eſt conſentaneum.

Ath. Spectemus igitur ſi qua modum aliquem idoneum illa conſequendi reperiamus. dico enim, Clinia, Cnoſios oportere prae reliquis Cretibus non defungendi tantum cauſa regionem quam nunc habitabilem redditis tractare, ſed pro viribus contente proſpicere ut primi magiſtratus quam firmiſſime et optime conſtituantur. ac reliquos quidem conſtituere levius opus, legum cuſtodes autem primos omni ſtudio eligere maxime nobis neceſſarium.

Cl. Quem igitur modum et orationem ad haec efficienda invenimus?

Ath. Hanc. aio, o filii Cretum, oportere Cnoſios, quum plurimas urbes dignitate praecedant, communiter cum hominibus in hanc civitatem venturis ex ſemet ipſis et ex illis eligere triginta et ſeptem univerſos, undeviginti ex adventiciis, et reliquos ex ipſa Cnoſo. hos Cnoſii civitati tuae danto teque ipſum, ut civis ſis huius coloniae unusque duodeviginti virorum, perſuadentes vel mediocri vi cogentes.

Cl. Quin et tu et Megillus, o hoſpes, in partem nobiscum venitis civitatis?

Ath. Valde ſe iactant, Clinia, Athenae, valde etiam Sparta, et procul habitant utriusque incolae, tecum autem in omnibus concinunt et cum ceteris habitatoribus itidem, quemadmodum de te nunc dicitur. quomodo igitur commodiſſime id fieri poſſit pro praeſente rerum ſtatu, expoſitum eſto; procedente vero tempore

εἰρήσθω· προελθόντος δὲ χρόνου καὶ μεινάσης τῆς πολιτείας αἵρεσις αὐτῶν ἔστω τοιάδε τις. πάντες μὲν κοινωνούντων τῆς τῶν ἀρχόντων αἱρέσεως, ὁπόσοιπερ ἂν ὅπλα ἱππικὰ ἢ πεζικὰ τιθῶνται καὶ πολέμου κεκοινωνήκωσιν ἐν ταῖς σφετέραις αὐτῶν τῆς ἡλικίας δυνάμεσι· ποιεῖσθαι δὲ τὴν αἵρεσιν ἐν ἱερῷ ὅπερ ἂν ἡ πόλις ἡγῆται τιμιώτατον, * φέρειν δ' ἐπὶ C
τὸν τοῦ θεοῦ βωμὸν ἕκαστον εἰς πινάκιον γράψαντα τοὔνομα πατρόθεν καὶ φυλῆς καὶ δήμου, ὁπόθεν ἂν δημοτεύηται, παρεγγράφειν δὲ καὶ τὸ αὑτοῦ κατὰ ταὐτὰ οὕτως ὄνομα. τῷ βουλομένῳ δ' ἐξέστω τῶν πινακίων ὅ τιπερ ἂν φαίνηται μὴ κατὰ νοῦν αὐτῷ γεγραμμένον, ἀνελόντα εἰς ἀγορὰν θεῖναι μὴ ἔλαττον τριάκοντα ἡμερῶν· τὰ δὲ τῶν πινάκων *) κριθέντα ἐν πρώτοις μέχρι τριακοσίων δεῖξαι τοὺς ἄρχοντας ἰδεῖν πάσῃ τῇ πόλει· * τὴν δὲ πόλιν ὡσαύτως ἐκ τούτων D
φέρειν πάλιν ὃν ἂν ἕκαστος βούληται, τοὺς δὲ τὸ δεύτερον ἐξ αὐτῶν προκριθέντας ἑκατὸν δεῖξαι πάλιν ἅπασι· τὸ δὲ τρίτον φερέτω μὲν ἐκ τῶν ἑκατὸν ὁ βουληθεὶς ὃν ἂν βούληται, διὰ τῶν αὐτῶν **) πορευόμενος· ἑπτὰ δὲ καὶ τριάκοντα, οἷς ἂν πλεῖσται γένωνται ψῆφοι, κρίναντες ἀποφηνάντων ἄρχοντας. Τίνες οὖν, ὦ Κλεινία καὶ Μέγιλλε, πάντα ἡμῖν ταῦτ' ἐν τῇ πόλει καταστήσουσι τῶν ἀρχῶν τε πέρι * καὶ τῶν δο- E
κιμασιῶν αὐτῶν; ἆρα ἐννοοῦμεν ὡς ταῖς πρῶτον οὕτω καταζευγνυμέναις πόλεσιν ἀνάγκη μὲν εἶναί τινας, οἵτινες δὲ εἶεν ἂν πρὸς ***) πασῶν τῶν ἀρχῶν γεγονότες οὐκ ἔστι; δεῖ μὴν ἀμωσγέπως, καὶ ταῦτα οὐ φαύλους, ἀλλ' ὅτι μάλιστα ἄκρους· ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργου, καὶ τό γε καλῶς ἄρξασθαι πάντες ἐγκωμιάζομεν ἑκάστοτε· τὸ δ' ἔστι τε, ὡς ἐμοὶ φαίνεται, πλέον ἢ τὸ ἥμισυ καὶ οὐδεὶς αὐτὸ καλῶς * γενόμενον ἐγκεκωμίακεν 754
ἱκανῶς.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Μὴ τοίνυν γιγνώσκοντές γε παρῶμεν αὐτὸ ἄρρητον, μηδὲν διασαφήσαντες ἡμῖν αὐτοῖς τίνα ἔσται τρόπον.

---

*) ἄλλ. πινακίων.
**) ἄλλ. διὰ τομίων.
***) ἴσ. πρό.

et manente civitate eorum creatio talis fere esto. omnes in magistratuum creationis partem vocantor, quicumque arma equestria vel pedestria gerunt et bello interfuerunt pro aetatis suae viribus; creatio autem peragenda est in templo quod civitas in maximo honore habet, et ad aram dei cuique ferendum in tabula scriptum nomen patris et tribus et curiae unde est, et adscribendum ipsius quoque nomen eodem modo. et cuicumque qui voluerit licebit tabulam, quae non ex sua sententia ipsi scripta videatur, auferre et in foro ponere non brevius quam triginta dies; tabulas vero in primis iudicatas usque ad trecentas exhibento magistratus spectandas universae civitati; et civitas similiter ex his rursus creato quem quisque voluerit, et centum secundo ex his electi ostenduntor rursus omnibus; tertio autem eligito e centum illis quilibet quem voluerit per eosdem procedens; septem vero et triginta, quibus plurima suffragia obtigerint, iudicantes declaranto magistratus. Quinam igitur, o Clinia et Megille, omnia nobis haec in civitate constituent, quod ad magistratus eorumque probationes attinet? num intelligimus civitatibus primum ita coniunctis necessario esse aliquos, nullos autem esse ante magistratus omnes creatos? oportet vero omni modo. eosque non viles, sed quam maxime perfectos; initium enim, ut proverbii loco dicitur, omnis operis est dimidium, et bene incipere omnes laudamus semper; at vero, ut mihi videtur, hoc plus est quam dimidium, nec quisquam id bene factum satis laudavit.

Cl. Rectissime loqueris.

Ath. Quare id quum perspiciamus ne praetereamus silentio, nihil declarantes nobismet ipsis quomodo fieri

ἐγὼ μὲν οὖν οὐδαμῶς εὐπορῶ πλήν γε ἑνὸς εἰπεῖν πρὸς τὸ παρὸν ἀναγκαίου καὶ ξυμφέροντος λόγου.

ΚΛ. Τίνος δή;

ΑΘ. Φημὶ ταύτῃ τῇ πόλει, ἣν οἰκίζειν μέλλομεν, οἷον πατέρα καὶ μητέρα οὐκ εἶναι πλὴν τὴν κοτοικίζουσαν αὐτὴν πόλιν, οὐκ ἀγνοῶν ὅτι * πολλαὶ τῶν κατοικισθεισῶν διά- B φοροι ταῖς κατοικισάσαις πολλάκις ἔνιαι γεγόνασί τε καὶ ἔσονται. νῦν μὴν ἐν τῷ παρόντι, καθάπερ παῖς, εἰ καί ποτε μέλλει διάφορος εἶναι τοῖς γεννήσασιν, ἔν γε τῇ παρούσῃ παιδείας *) ἀπορίᾳ στέργει τε καὶ στέργεται ὑπὸ τῶν γεννησάντων, καὶ φεύγων ἀεὶ πρὸς τοὺς οἰκείους ἀναγκαίους μόνους εὑρίσκει ξυμμάχους· ἃ δὴ νῦν φημὶ Κνωσίοις διὰ τὴν ἐπιμέλειαν πρὸς τὴν νέαν πόλιν καὶ τῇ νέᾳ πρὸς Κνωσὸν * ὑπάρχειν ἑτοίμως γεγονότα. λέγω δέ, καθάπερ εἶπον νῦν C δή, δὶς γάρ τό γε καλὸν ῥηθὲν οὐδὲν βλάπτει, Κνωσίους δεῖν ἐπιμεληθῆναι πάντων τούτων κοινῇ, προσελομένους τῶν εἰς τὴν ἀποικίαν ἀφικομένων τοὺς πρεσβυτάτους τε καὶ ἀρίστους εἰς δύναμιν, ἑλομένους μὴ ἔλαττον ἑκατὸν ἀνδρῶν· καὶ αὐτῶν Κνωσίων ἔστωσαν ἑκατὸν ἕτεροι. τούτους δὲ ἐλθόντες φημὶ δεῖν εἰς τὴν καινὴν πόλιν ξυνεπιμεληθῆναι ὅπως αἵ τε ἀρχαὶ καταστῶσι * κατὰ νόμους καταστᾶσαί τε D δοκιμασθῶσι· γενομένων δὲ τούτων τὴν μὲν Κνωσὸν τοὺς Κνωσίους οἰκεῖν, τὴν δὲ νέαν πόλιν αὐτὴν αὑτὴν πειρᾶσθαι σώζειν τε καὶ εὐτυχεῖν. οἱ δὲ δὴ γενόμενοι τῶν ἑπτὰ καὶ τριάκοντα νῦν τε καὶ εἰς τὸν ἔπειτα ξύμπαντα χρόνον ἐπὶ τοῖςδε ἡμῖν ᾑρήσθωσαν· πρῶτον μὲν φύλακες ἔστωσαν τῶν νόμων, ἔπειτα τῶν γραμμάτων ὧν **) ἂν ἕκαστος ἀπογράψῃ τοῖς ἄρχουσι τὸ πλῆθος τῆς αὑτῶν οὐσίας, πλὴν ὁ μὲν μέγιστον τίμημα * ἔχων τεττάρων μνῶν, ὁ δὲ τὸ δεύτερον E τριῶν, ὁ δὲ τρίτος δυεῖν μναῖν, μνᾶς δὲ ὁ τέταρτος· ἐὰν δέ τις ἕτερον φαίνηταί τι παρὰ τὰ γεγραμμένα κεκτημένος, δημόσιον μὲν ἔστω τὸ τοιοῦτον ἅπαν, πρὸς τούτῳ δὲ δίκην ὑπεχέτω τῷ βουλομένῳ μετιέναι μὴ καλὴν μηδ' εὐώνυμον,

*) ἴσ. παιδίας.
**) ἴσ. δι' ὧν.

possit. equidem vero nequaquam in promptu habeo quod dicam in praesentia praeter unam necessariam et accommodatam orationem.

Cl. Quamnam?

Ath. Aio huic civitati quam condere volumus velut patrem et matrem non esse nisi ipsam quae eam condat civitatem, haud ignorans saepius iam factum esse et fore ut civitates conditae ab eis quae condiderunt dissideant. nunc tamen in praesentia, quemadmodum puer, si quando adversaturus est parentibus, in praesenti consilii inopia qua pueritia afficitur diligit et diligitur a parentibus semperque confugiens ad propinquos necessarios solos reperit socios, ita nunc dico idem Cnosiis novaeque civitati propter mutuam curam praesto esse. dico autem, quod modo memoravi (bis enim si pulchrum dicitur nihil nocet), Cnosios oportere de his omnibus curam adhibere communiter, cooptantes ex eis qui in coloniam venerint natu maximos optimosque pro viribus, eligentes non minus quam centum viros; ipsorumque Cnosiorum sunto centum alii. his igitur in novam urbem profectis dico communiter curandum esse ut magistratus constituantur secundum leges constitutique probentur; quo quidem facto Cnosii incolent Cnosum, nova vero urbs se ipsam studebit servare et felicem reddere. illi autem qui in septem et triginta virorum numero sunt nunc et posterum universum tempus ad haec munera sustinenda creantor: primum custodes sunto legum, deinde tabularum in quibus quisque perscripserit magistratibus magnitudinem rei suae familiaris; et maximus quidem census sit quattuor minarum, secundus trium, tertius duarum et unius minae quartus; si vero quispiam aliud quid reperiatur praeter perscripta possidens, publicator hoc totum, et praeterea in iudicium vocator a quolibet accusare volente neque honestum neque faustum, sed

ἀλλ' αἰσχράν, ἐὰν ἁλίσκηται διὰ τὸ κέρδος τῶν νόμων καταφρονῶν· αἰσχροκερδείας οὖν αὐτὸν γραψάμενος ὁ βουληθεὶς ἐπεξίτω τῇ δίκῃ ἐν αὐτοῖς τοῖς νομοφύλαξιν· ἐὰν δ' ὁ
φεύγων ὄφλῃ, τῶν κοινῶν κτημάτων * μὴ μετεχέτω, διανο- 755
μὴ δὲ ὅταν τῇ πόλει γίγνηταί τις, ἄμοιρος ἔστω πλήν γε τοῦ κλήρου, γεγράφθω δὲ ὠφληκώς, ἕως ἂν ζῇ, ὅπου πᾶς ὁ βουλόμενος αὐτὰ ἀναγνώσεται. μὴ πλέον δὲ εἴκοσιν ἐτῶν νομοφύλαξ ἀρχέτω, φερέσθω δ' εἰς τὴν ἀρχὴν μὴ ἔλαττον ἢ πεντήκοντα γεγονὼς ἐτῶν· ἑξηκοντούτης δὲ ἐνεχθεὶς δέκα μόνον ἀρχέτω ἔτη, καὶ κατὰ τοῦτον τὸν λόγον, ὅπως ἄν τις
πλέον ὑπερβὰς ἑβδομήκοντα ζῇ, μηκέτι ἐν τούτοις τοῖς * ἄρ- B
χουσι τὴν τηλικαύτην ἀρχὴν ὡς ἄρξων διανοηθήτω.

Τὰ μὲν οὖν περὶ τῶν νομοφυλάκων ταῦτα εἰρήσθω προστάγματα τρία, προϊόντων δὲ εἰς τοὔμπροσθεν τῶν νόμων ἕκαστος προστάξει τούτοις τοῖς ἀνδράσιν ὧντινων αὐτοὺς δεῖ πρὸς τοῖς νῦν εἰρημένοις προσεπιμελεῖσθαι· νῦν δ' ἑξῆς ἄλλων ἀρχῶν αἱρέσεως πέρι λέγοιμεν ἄν. δεῖ γὰρ δὴ τὰ μετὰ ταῦτα στρατηγοὺς αἱρεῖσθαι, καὶ τούτοις εἰς τὸν πόλεμον
οἷόν τινας ὑπηρέτας * ἱππάρχους καὶ φυλάρχους καὶ τῶν C
πεζῶν φυλῶν κοσμητὰς τῶν τάξεων, οἷς πρέπον ἂν εἴη τοῦτ' αὐτὸ τοὔνομα μάλιστα, οἷον καὶ οἱ πολλοὶ ταξιάρχους αὐτοὺς ἐπονομάζουσι. τούτων δὴ στρατηγοὺς μὲν ἐξ αὐτῆς τῆς πόλεως ταύτης οἱ νομοφύλακες προβαλλέσθων, αἱρείσθων δ' ἐκ τῶν προβληθέντων πάντες οἱ τοῦ πολέμου κοινωνοὶ γενόμενοί τε ἐν ταῖς ἡλικίαις καὶ γιγνόμενοι ἑκάστοτε· ἐὰν δέ
τις ἄρα δοκῇ τινὶ τῶν μὴ προβεβλημένων ἀμείνων * εἶναι D
τῶν προβληθέντων τινός, ἐπονομάσας ἀνθ' ὅτου ὅντινα προβάλλεται, τοῦτ' αὐτὸ ὀμνὺς ἀντιπροβαλλέσθω τὸν ἕτερον· ὁπότερος δ' ἂν δόξῃ, διαχειροτονούμενος εἰς τὴν αἵρεσιν ἐγκρινέσθω· τρεῖς δέ, οἷς ἂν ἡ πλείστη χειροτονία γίγνηται, τούτους εἶναι στρατηγούς τε καὶ ἐπιμελητὰς τῶν κατὰ πόλεμον, δοκιμασθέντων, καθάπερ οἱ νομοφύλακες· ταξιάρχους δὲ αὐτοῖσι προβάλλεσθαι μὲν τοὺς αἱρεθέντας στρατηγοὺς δώ-

turpe, si reperiatur lucri causa leges contemnens; turpis igitur lucri cupiditatis eum accusans quicumque voluerit actionem intendito apud ipsos legum custodes: et si accusatus convictus fuerit, communium possessionum expers esto, et si qua distributio in civitate contingat, nihil praeter sortem accipiat, consignetur autem damnatus, quamdiu vivat, ubi quisque qui velit ea legere possit. non amplius vero quam viginti annos custos legum hunc magistratum habeto, eumque ingreditor non minus quam quinquaginta annos natus; sexagenarius eum ingrediens decem tantum annos gerito, et secundum hanc rationem, ut quis septuagesimum annum transgressus fuerit, iam ne cogitato in viris illis tantum se magistratum gesturum esse.

Ac de legum custodibus quidem haec dicta sunto praecepta tria, procedentibus vero porro legibus quisque praecipiet his viris quarum rerum ipsos oporteat praeter ea quae modo diximus procurationem habere; nunc deinceps de aliorum magistratuum creatione dicamus. oportet enim deinde imperatores creari horumque in bello quasi ministros quosdam, magistros equitum et equitibus unius tribus praefectos et cohortum e pedestribus tribulibus constantium moderatores, quibus hoc ipsum nomen maxime conveniet, quemadmodum etiam plerique cohortum praefectos eos appellamus. ex his igitur imperatores ex ipsa urbe hac legum custodes eligendos proponunto, eligunto vero e propositis omnes qui sua aetate bello interfuerunt et quandoque intersunt; si quis autem alicui visus fuerit eorum qui non propositi sint melior esse aliquo ex eis qui propositi sint, nominans quem pro altero proponat, idque ipsum iureiurando confirmans alterum pro illo proposito; et utercumque praestantior visus fuerit, is suffragiis probatus ad creationem admittitor; tres vero plurimis suffragiis ornati sunto imperatores rerumque militarium curatores, quum probati fuerint, sicut legum custodes; cohortum praefectos duodecim sibimet ipsis designanto

δεκα, ἑκάστῃ φυλῇ * ταξίαρχον· τὴν δ' ἀντιπροβολὴν εἶναι, E καθάπερ τῶν στρατηγῶν ἐγίγνετο, τὴν αὐτὴν καὶ περὶ τῶν ταξιαρχῶν καὶ τὴν ἐπιχειροτονίαν καὶ τὴν κρίσιν. τὸν δὲ ξύλλογον τοῦτον ἐν τῷ παρόντι, πρὶν πρυτάνεις τε καὶ βουλὴν ᾑρῆσθαι, τοὺς νομοφύλακας συλλέξαντας εἰς χωρίον ὡς ἱερώτατόν τε καὶ ἱκανώτατον καθίσαι, χωρὶς μὲν τοὺς ὁπλίτας, χωρὶς δὲ τοὺς ἱππέας, τρίτον δ' ἐφεξῆς τούτοις πᾶν ὅσον ἐμπολέμιον· χειροτονούντων δὲ στρατηγοὺς μὲν καὶ ἱππάρχους πάντες, ταξιάρχους δὲ οἱ τὴν * ἀσπίδα τιθέμενοι, φυ- 756 λάρχους δὲ αὖ τούτοις *) πᾶν τὸ ἱππικὸν αἱρείσθω, ψιλῶν δὲ ἢ τοξοτῶν ἤ τινος ἄλλου τῶν ἐμπολεμίων ἡγεμόνας οἱ στρατηγοὶ ἑαυτοῖς καθιστάντων. ἱππάρχων δὴ κατάστασις ἂν ἡμῖν ἔτι λοιπὴ γίγνοιτο· τούτους οὖν προβαλλέσθων μὲν οἵπερ καὶ τοὺς στρατηγοὺς προὐβάλλοντο, τὴν δὲ αἵρεσιν καὶ τὴν ἀντιπροβολὴν τούτων τὴν αὐτὴν γίγνεσθαι καθάπερ ἡ τῶν στρατηγῶν ἐγίγνετο, χειροτονείτω δὲ τὸ ἱππικὸν αὐτοὺς ἐναντίον * ὁρώντων τῶν πεζῶν, δύο δέ, οἷς ἂν πλείστη χει- B ροτονία γίγνηται, τούτους ἡγεμόνας εἶναι πάντων τῶν ἱππευόντων. τὰς δὲ ἀμφισβητήσεις τῶν χειροτονιῶν μέχρι δυοῖν εἶναι· τὸ δὲ τρίτον ἐὰν ἀμφισβητῇ τις, διαψηφίζεσθαι τούτους οἷσπερ τῆς χειροτονίας μέτρον ἑκάστοις ἑκάστων **) ἦν.

Βουλὴν δὲ εἶναι μὲν τριάκοντα δωδεκάδας, ἑξήκοντα δὲ καὶ τριακόσιοι γίγνοιντο ἂν πρέποντες ταῖς διανομαῖς· μέρη δὲ διανείμαντας τέτταρα κατὰ ἐνενήκοντα * τὸν ἀριθμὸν τού- C των ***) ἐξ ἑκάστου τῶν τιμημάτων φέρειν ἐνενήκοντα βουλευτάς· πρῶτον μὲν ἐκ τῶν μεγίστων τιμημάτων ἅπαντας φέρειν ἐξ ἀνάγκης, ἢ ζημιοῦσθαι τὸν μὴ πειθόμενον τῇ δοξάσῃ ζημίᾳ· ἐπειδὰν δ' ἐνεχθῶσι, τούτους μὲν κατασημήνασθαι, τῇ δὲ ὑστεραίᾳ φέρειν ἐκ τῶν δευτέρων τιμημάτων κατὰ ταυτὰ καθάπερ τῇ πρόσθεν, τρίτῃ δ' ἐκ τῶν τρίτων τιμημάτων φέρειν μὲν τὸν βουλόμενον, ἐπάναγκες δὲ εἶναι τοῖς τῶν * τριῶν τιμημάτων, τὸ δὲ τέταρτόν τε καὶ σμικρό- D τατον ἐλεύθερον ἀφεῖσθαι τῆς ζημίας ὃς ἂν αὐτῶν μὴ βού-

---

*) αὐτοῖς.
) ἄλλ. ἕκαστον. *) ἴσ. οὕτως.

electi duces, cuique cohorti praefectum; et quemadmodum duces, sic etiam cohortum praefecti proponuntor unus pro altero, suffragiis creantor et iudicantor. conventum vero hunc in praesentia, ante principum consilii publici et senatus creationem, legum custodes convocantes in locum quam sanctissimum et amplissimum agunto, seorsum collocantes armaturae gravis milites, seorsum equites et tertio deinceps omne quodcumque militare; per suffragia creanto duces equitumque magistros omnes, cohortum vero praefectos clypeo armati, et equitibus unius tribus praefectos universi equites eligunto, velitum vel sagittariorum vel aliorum militum duces imperatores sibimet ipsis constituunto. equitum magistrorum creatio nobis adhuc reliqua erit; hos igitur designanto qui etiam duces designarunt, creatio vero et designatio unius pro altero eadem esto quae ducum fuit, et per suffragia eos creanto equites ante oculos peditum, duo autem, qui plurimis suffragiis probati fuerint, duces sunto omnium equitum. disceptationes vero in suffragiis ferendis usque ad duas concedendae; tertio si quis disceptet, sententiam dicunto hi qui creationem cuiusque praefecti moderantur.

Senatus constabit triginta duodenariis; nam sexaginta et trecenti congruent cum distributionibus; partes autem quattuor secundum numerum nonagenarium describendae et ex quoque censu eligendi nonaginta senatores; primum e maximo censu omnes creanto necessario, alioquin non obtemperans poena afficiendus prout visum fuerit; quum vero creati fuerint: consignandi sunt, et postridie creandi e secundo censu eodem modo quo antecedente die, tertio e tertio censu creato quicumque voluerit, coacti vero erunt cives trium censuum, quartus et minimus census nulla poena tenebitur,

ληται φέρειν· τετάρτῃ δὲ φέρειν μὲν ἐκ τοῦ τετάρτου καὶ
σμικροτάτου τιμήματος ἅπαντας, ἀζήμιον δ' εἶναι τὸν ἐκ τοῦ
τετάρτου καὶ τρίτου τιμήματος, ἐὰν ἐνεγκεῖν μὴ βούληται,
τὸν δ' ἐκ τοῦ δευτέρου καὶ πρώτου μὴ φέροντα ζημιοῦσθαι,
τὸν μὲν ἐκ τοῦ δευτέρου τριπλασίᾳ τῆς πρώτης ζημίας, τὸν
δ' * ἐκ τοῦ πρώτου τετραπλασίᾳ· πέμπτῃ δὲ ἡμέρᾳ τὰ κα- E
τασημανθέντα ὀνόματα ἐξενεγκεῖν μὲν τοὺς ἄρχοντας ἰδεῖν
πᾶσι τοῖς πολίταις, φέρειν δ' ἐκ τούτων αὖ πάντα ἄνδρα
ἢ ζημιοῦσθαι τῇ πρώτῃ ζημίᾳ· ὀγδοήκοντα δὲ καὶ ἑκατὸν
ἐκλέξαντας ἀφ' ἑκάστων τῶν τιμημάτων, τοὺς ἡμίσεις τού-
των ἀποκληρώσαντας δοκιμάσαι, τούτους δ' εἶναι τὸν ἐνιαυ-
τὸν βουλευτάς.

Ἡ μὲν αἵρεσις οὕτω γιγνομένη μέσον ἂν ἔχοι μοναρχι-
κῆς καὶ δημοκρατικῆς πολιτείας, ἧς ἀεὶ δεῖ μεσεύειν τὴν
πολιτείαν· δοῦλοι γὰρ ἂν καὶ δεσπόται οὐκ ἄν * ποτε γέ- 757
νοιντο φίλοι, οὐδὲ ἐν ἴσαις τιμαῖς διαγορευόμενοι *) φαῦλοι
καὶ σπουδαῖοι. τοῖς γὰρ ἀνίσοις τὰ ἴσα ἄνισα γίγνοιτ' ἄν,
εἰ μὴ τυγχάνοι τοῦ μέτρου· διὰ γὰρ ἀμφότερα ταῦτα στά-
σεων αἱ πολιτεῖαι πληροῦνται. παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν,
ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἴρηται
καὶ ἐμμελῶς, ἥτις δ' ἐστί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυνα-
μένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι σφόδρα ἡμᾶς διατα-
ράττει. δυεῖν * γὰρ ἰσοτήτοιν οὔσαιν, ὁμωνύμοιν μέν, ἔργῳ B
δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς
πᾶσα πόλις ἱκανὴ παραγαγεῖν καὶ πᾶς νομοθέτης, τὴν μέ-
τρῳ ἴσην καὶ σταθμῷ καὶ ἀριθμῷ, κλήρῳ ἀπευθύνων εἰς
τὰς διανομὰς αὐτήν, τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσό-
τητα οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν· Διὸς γὰρ δὴ κρίσις ἐστί, καὶ
τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν ἐπαρκεῖ, πᾶν δὲ ὅσον ἂν ἐπαρ-
κέσῃ πόλεσιν ἢ καὶ ἰδιώταις, πάντ' ἀγαθὰ ἀπεργάζεται· * τῷ C
μὲν γὰρ μείζονι πλείω, τῷ δὲ ἐλάττονι σμικρότερα νέμει, μέ-
τρια διδοῦσα πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ, καὶ δὴ καὶ τιμὰς
μείζοσι μὲν πρὸς ἀρετὴν ἀεὶ μείζους, τοῖς δὲ τοὐναντίον ἔχου-

*) ἴσ. διαγόμενοι.

ſi quis ex eo noluerit creare; quarto deinde die e quarto minimoque cenſu ſuffragium ferunto omnes, ac poenam quidem nullam ſubito ſi quis e quarto et tertio cenſu ſuffragium noluerit ferre, cives autem e ſecundo et primo ſuffragium non ferentes puniuntor, e ſecundo qui cenſu eſt triplo et qui e primo eſt quadruplo primae poenae mulctator; quinto die conſignata nomina promulganto magiſtratus ut omnes ea cives ſpectent, et ex his rurſus quisque eligito, alioquin prima poena mulctator; viris denique octoginta et centum ex quoque cenſu electis, dimidia eorum pars forte ducitor et explorator, et hi ſunto per annum ſenatores.

Et creatio quidem quae ita peragitur medium quiddam eſt inter regiam et popularem civitatem, in quarum medio ſemper verſari oportet rem publicam; ſervi enim et domini numquam erunt amici, nec in aequalibus honoribus viventes viles et probi. inaequalibus enim aequalia inaequalia fiunt, niſi conſequuntur modum; nam per utraque haec ſeditionum civitates implentur. vetus enim dictum quod verum eſt, aequalitatem amicitiam efficere, admodum recte et concinne ſe habet, quaenam vero ſit aequalitas hoc ipſum efficiens, propterea quod non valde manifeſta eſt, admodum nos perturbat. etenim duae quum ſint aequalitates, cognomines quidem, re autem in multis fere inter ſe contrariae, alteram quidem in honores quaevis civitas poteſt inducere et quivis legum lator, eam quae menſura et pondere et numero continetur, per ſortem eam dirigens ad distributiones, veriſſima autem et optima aequalitas iam non cuique facilis eſt ad cernendum; Iovis eſt enim iudicium, et hominibus pauca ſemper ſuppeditat, quicquid autem ſuppeditat civitatibus vel etiam privatis, omnia id bona efficit; maiori enim plura, minori pauciora tribuit, moderata praebens ſecundum eorum naturam utrique, atque etiam honores maioribus quidem ad virtutem ſemper maiores, ſed eis qui contrario modo

σιν ἀρετῆς τε καὶ παιδείας τὸ πρέπον ἑκατέροις ἀπονέμει κατὰ λόγον. ἔστι γὰρ δήπου καὶ τὸ πολιτικὸν ἡμῖν ἀεὶ τοῦτ' αὐτὸ τὸ δίκαιον· οὗ καὶ νῦν ἡμᾶς ὀρεγομένους δεῖ καὶ πρὸς ταύτην τὴν ἰσότητα, ὦ Κλεινία, ἀποβλέποντας τὴν νῦν * φυομένην D
κατοικίζειν πόλιν· ἄλλην τε ἄν ποτέ τις οἰκίζῃ, πρὸς ταὐτὸ τοῦτο σκοπούμενον χρεὼν νομοθετεῖν, ἀλλ' οὐ πρὸς ὀλίγους τυράννους ἢ πρὸς ἕνα ἢ καὶ κράτος δήμου τι, πρὸς δὲ τὸ δίκαιον ἀεί. τοῦτο δ' ἐστὶ τὸ νῦν δὴ λεχθέν, τὸ κατὰ φύσιν ἴσον ἀνίσοις ἑκάστοτε δοθέν. ἀναγκαῖόν γε μὴν καὶ τούτοις παρωνυμίοισί ποτε προσχρήσασθαι πόλιν ἅπασαν, εἰ μέλλει στάσεων ἑαυτῇ μὴ προσκοινωνήσειν κατά τι μέρος· τὸ γὰρ ἐπιεικὲς καὶ ξύγγνωμον * τοῦ τελέου καὶ ἀκριβοῦς παρὰ δίκην E
τὴν ὀρθήν ἐστι παρατεθραυμένον, ὅταν γίγνηται. διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι δυσκολίας τῶν πολλῶν ἕνεκα, θεὸν καὶ ἀγαθὴν τύχην καὶ τότε ἐν εὐχαῖς ἐπικαλουμένους ἀπορθοῦν αὐτοὺς τὸν κλῆρον πρὸς τὸ δικαιότατον. οὕτω δὴ χρηστέον ἀναγκαίως μὲν τοῖν ἰσοτήτοιν ἀμφοῖν, ὡς δ' ὅτι μάλιστα * ἐπ' ὀλιγίστοις τῇ ἑτέρᾳ, τῇ τῆς τύχης 758
δεομένῃ.

Ταῦτα οὕτω διὰ ταῦτα, ὦ φίλοι, ἀναγκαῖον τὴν μέλλουσαν σώζεσθαι δρᾶν πόλιν. ἐπειδὴ δὲ ναῦς τε ἐν θαλάττῃ πλέουσα φυλακῆς ἡμέρας δεῖται καὶ νυκτὸς ἀεί, πόλις τε ὡσαύτως ἐν κλύδωνι τῶν ἄλλων πόλεων διαγομένη καὶ παντοδαπαῖσιν ἐπιβουλαῖς οἰκεῖ κινδυνεύουσα ἁλίσκεσθαι, δεῖ δὴ δι' ἡμέρας τε εἰς νύκτα καὶ ἐκ νυκτὸς ξυνάπτειν πρὸς ἡμέραν ἄρχοντας ἄρχουσι, * φρουροῦντάς τε φρουροῦσι δια- B
δεχομένους ἀεὶ καὶ παραδιδόντας μηδέποτε λήγειν· πλῆθος δὲ οὐ δυνατὸν ὀξέως οὐδέποτε οὐδὲν τούτων πράττειν. ἀναγκαῖον δὲ *) τοὺς μὲν πολλοὺς τῶν βουλευτῶν ἐπὶ τὸ πλεῖστον τοῦ χρόνου ἐᾶν ἐπὶ τοῖς αὐτῶν ἰδίοισι μένοντας εὐθημονεῖσθαι τὰ κατὰ τὰς αὐτῶν οἰκήσεις, τὸ δὲ δωδέκατον μέρος αὐτῶν ἐπὶ δώδεκα μῆνας νείμαντας ἓν ἐφ' ἑνὶ παρέχειν αὐτοὺς φύλακας, ἰόντι τέ τινι ποθεν ἄλλοθεν εἴτε καὶ * ἐξ αὐτῆς τῆς πόλεως ἑτοίμως ἐπιτυχεῖν, ἄν τε ἀγγέλλειν C

*) ἴσ. δή.

ſe habent ad virtutem et diſciplinam id quod convenit tribuit ex ratione. eſt enim nimirum etiam civile nobis ſemper hoc ipſum iuſtum, quod nunc quoque nos appetentes et hanc aequalitatem, Clinia, ſpectantes nos oportet civitatem nunc naſcentem condere. aliam quoque ſi quando quispiam condat, idem hoc ſpectantem eum oportet leges ſcribere, non paucos tyrannos vel unum vel poteſtatem quampiam populi, ſed iuſtum ſemper. haec autem eſt, quam modo memoravimus, aequalitas ſecundum naturam inaequalibus quandoque tributa. neceſſe tamen eſt cuique civitati etiam his quae inde denominata ſunt aliquando uti ex aliqua parte, aequitas enim et indulgentia perfecti et accurati praeter ius rectum infractiones ſunt, quandocumque contingunt. quocirca ſortis aequalitate neceſſe ei eſt uti multitudinis moroſae cauſa, deum bonamque fortunam tum quoque in precationibus implorantes ut ſortem ad iuſtiſſimum dirigant. ita igitur noceſſario adhibendae ſunt utraeque aequalitates, quam maxime vero in pauciſſimis altera quae fortunae indiget.

Haec ita has ob cauſas, o amici, urbs faciat neceſſe eſt quae ſalutem ſit conſequutura. quoniam vero navis in mari navigans cuſtodiae perpetuae dies et noctes indiget, et urbs ſimiliter in tempeſtate reliquarum urbium verſatur et in periculum venit ne inſidiis omne genus capiatur, oportet eam per diem in noctem et ex nocte ad diem magiſtratus cum magiſtratibus connectere, ut cuſtodes cuſtodibus ſuccedere munusque tradere numquam deſinant; multitudo autem numquam poteſt ſtrenue horum quicquam facere. quocirca neceſſe eſt plurimam ſenatorum partem plurimum tempus ſinere in privatis ſuis rebus verſari et domeſtica adminiſtrare, duodecimam vero eorum partem in duodecim menſes ſingulos diſtribuere, ut cuſtodiam ſuscipiat munusque aliunde vel ex ipſa urbe venientem prompte adeundi, ſive quis nunciare voluerit ſive ſciſcitari aliquid eorum

βούληταί τις ἐάν τ' αὖ πυνθάνεσθαί τι τῶν ὧν προςήκει πό-
λει πρὸς πόλεις ἄλλας ἀποκρίνεσθαί τε καὶ ἐρωτήσασαν ἑτέ-
ρας ἀποδέξασθαι τὰς ἀποκρίσεις, καὶ δὴ καὶ τῶν κατὰ πό-
λιν ἑκάστοτε νεωτερισμῶν ἕνεκα παντοδαπῶν εἰωθότων ἀεὶ
γίγνεσθαι, ὅπως ἂν μάλιστα μὲν μὴ γίγνωνται, * γενομένων D
δὲ ὅτι τάχιστα αἰσθομένης τῆς πόλεως ἰαθῇ τὸ γενόμενον·
διὸ ξυλλόγων τε ἀεὶ δεῖ τοῦτο εἶναι τὸ προκαθήμενον τῆς
πόλεως κύριον καὶ διαλύσεων τῶν τε κατὰ νόμους τῶν τε
ἐξαίφνης προςπιπτουσῶν τῇ πόλει. ταῦτα μὲν οὖν πάντα τὸ
δωδέκατον ἂν μέρος τῆς βουλῆς εἴη τὸ διακοσμοῦν, τὰ ἕν-
δεκα ἀναπαυόμενον τοῦ ἐνιαυτοῦ μέρη. κοινῇ δὲ μετὰ τῶν
ἄλλων ἀρχῶν δεῖ τὰς φυλακὰς ταύτας φυλάττειν κατὰ πόλιν
τοῦτο τὸ μόριον τῆς βουλῆς ἀεί.

Καὶ τὰ μὲν κατὰ πόλιν οὕτως ἔχοντα μετρίως ἂν εἴη
διατεταγμένα· * τῆς δὲ ἄλλης χώρας πάσης τίς ἐπιμέλεια καὶ E
τίς τάξις; ἆρα οὐχ ἡνίκα πᾶσα μὲν ἡ πόλις, ξύμπασα δὲ ἡ
χώρα κατὰ δώδεκα μέρη διανενέμηται, τῆς πόλεως αὐτῆς ὁδῶν
καὶ οἰκήσεων καὶ οἰκοδομιῶν καὶ λιμένων καὶ ἀγορᾶς καὶ κρη-
νῶν καὶ δὴ καὶ τεμενῶν καὶ ἱερῶν καὶ πάντων τῶν τοιούτων
ἐπιμελητὰς δεῖ τινὰς ἀποδεδειγμένους εἶναι;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Λέγωμεν *) * δὴ τοῖς μὲν ἱεροῖς νεωκόρους τε καὶ 759
ἱερέας καὶ ἱερείας δεῖν γίγνεσθαι· ὁδῶν τε καὶ οἰκοδομιῶν καὶ
κόσμου τοῦ περὶ τὰ τοιαῦτα ἀνθρώπων τε, ἵνα μὴ ἀδικῶσι,
καὶ τῶν ἄλλων θηρίων ἐν αὐτῷ τε τῷ τῆς πόλεως περιβόλῳ
καὶ προαστείῳ, ὅπως ἂν τὰ προςήκοντα πόλεσι γίγνηται, ἑλέ-
σθαι δεῖ τρία μὲν ἀρχόντων εἴδη, περὶ μὲν τὸ νῦν δὴ λεχθὲν
ἀστυνόμους ἐπονομάζοντα, τὸ δὲ περὶ ἀγορᾶς κόσμον ἀγορα-
νόμους, ἱερῶν δὲ ἱερέας. οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ
* αἷς, μὴ κινεῖν· εἰ δὲ, οἷον τὸ πρῶτον κατοικιζομένοις εἰ- B
κὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα, ἢ μηδενὶ ἤ τισιν ὀλίγοις,
οἷς μὴ καθεστήκοι **), καταστατέον ἱερέας τε καὶ ἱερείας νεω-
κόρους γίγνεσθαι τοῖς θεοῖς. Τούτων δὴ πάντων τὰ μὲν αἱ-

---

*) ἴσ. Λέγομεν.
**) ἴσ. ὀλίγοις ἱερωσύνη καθεστήκοι.

quae convenit civitati aliis civitatibus respondere et alteras roganti responsa auferre, atque etiam rerum novarum causa quae varii generis in urbe semper solent quaeri, ut maxime quidem nullae fiant, sin autem fiant, quam celerrime civitas sentiat emendetque quod factum fuerit; quapropter et conventus potestatem habere debet haec quae rei publicae praesidet pars et dimissionum tam legitimarum quam earum quae subito civitati accidunt. et haec quidem omnia duodecima senatus pars ordinabit, per undecim anni partes quietura. communiter vero cum reliquis magistratibus hanc senatus partem oportet semper in urbe ad has custodias advigilare.

Ac res quidem urbanae sic se habentes probe erunt constitutae; reliquae autem regionis totius quaenam cura erit et quis ordo? nonne quum universa urbs et tota regio in duodecim partes divisa fuerit, ipsius urbis viarum et habitationum et aedificationum et portuum et fori et fontium atque etiam agrorum consecratorum et templorum et omnium huiusmodi rerum curatores oportebit designatos esse?

Cl. Quidni?

Ath. Dicimus igitur templis praeficiendos esse aedituos et sacerdotes utriusque sexus; propter vias autem aedificationes et ordinem in huiusmodi rebus conservandum, ne homines vel etiam bestiae quicquam laedant in ipso urbis ambitu et suburbio, sed civitatibus convenientia fiant, eligenda sunt tria magistratuum genera, et qui rerum modo dictarum procurationem habent appellantor rerum urbanarum curatores, qui fori ordinem conservant rerum venalium praefecti, qui templis praesunt sacerdotes. quibus patria sunt sacerdotia, ne mutantor; si vero, quod primum constitutis consentaneum est accidere, vel nulli vel paucis quibusdam sacerdotium constitutum fuerit, constituendi sunt sacerdotes utriusque generis ut aeditui exsistant diis. Et horum quidem omnium alia creatione, alia sorte con-

ρετὰ χρή, τὰ δὲ κληρωτὰ ἐν ταῖς καταστάσεσι γίγνεσθαι, μιγνύντας πρὸς φιλίαν ἀλλήλοις δῆμον καὶ μὴ δῆμον ἐν ἑκάστῃ χώρᾳ καὶ πόλει, ὅπως ἂν μάλιστα ὁμονοῶν εἴη *). τὰ μὲν οὖν τῶν ἱερῶν τῷ θεῷ ἐπιτρέποντα αὐτῷ τὸ κεχαρισμένον * γίγνεσθαι, κληροῦν οὕτω τῇ θείᾳ τύχῃ ἀποδιδόν- C
τα, δοκιμάζειν δὲ τὸν ἀεὶ λαγχάνοντα πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅτι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα ἁμαρτανομένων αὐτόν τε καὶ πατέρα καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ Δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα **) κομισαμένους καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητὰς τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ * εἶναι καὶ μὴ μα- D
κρότερον τὴν ἱερωσύνην ἑκάστῳ ***), ἔτη δὲ μὴ ἔλαττον ἑξήκοντα ἡμῖν εἴη γεγονὼς ὁ μέλλων καθ' ἱεροὺς νόμους περὶ τὰ θεῖα ἱκανῶς ἁγιστεύσειν †)· ταῦτα δὲ καὶ περὶ τῶν ἱερειῶν ἔστω τὰ νόμιμα. τοὺς δὲ ἐξηγητὰς τρὶς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ τέτταρας ††) ἕκαστον ἐξ αὐτῶν, τρεῖς δέ, οἷς ἂν πλείστη γένηται ψῆφος, δοκιμάσαντες ἐννέα (*) πέμπειν εἰς Δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα· τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ * χρόνου τὴν ἡλικίαν εἶναι, κα- E
θάπερ τῶν ἱερέων. οὗτοι δὲ ἔστων ἐξηγηταὶ διὰ βίου· τὸν δέ γε λιπόντα προαιρείσθωσαν αἱ τέτταρες φυλαί (**), ὅθεν ἂν ἐκλίπῃ. Ταμίας δὲ δεῖ (***) τῶν τε ἱερῶν χρημάτων ἑκάστοις τοῖς ἱεροῖς καὶ τεμενῶν καρπῶν τούτων καὶ μισθώσεων κυρίους αἱρεῖσθαι * μὲν ἐκ τῶν μεγίστων τιμημάτων τρεῖς 760
εἰς τὰ μέγιστα ἱερά, δύο δ' εἰς τὰ σμικρότερα, πρὸς δὲ τὰ ἐμμελέστατα ἕνα· τὴν δ' αἵρεσιν τούτων καὶ τὴν δοκιμασίαν γίγνεσθαι, καθάπερ ἡ τῶν στρατηγῶν ἐγίγνετο. Καὶ τὰ μὲν αὖ περὶ τὰ ἱερὰ ταῦτα γιγνέσθω.

Ἀφρούρητον δὲ δὴ μηδὲν εἰς δύναμιν ἔστω. πόλεως μὲν οὖν αἱ φρουραὶ πέρι ταύτῃ γιγνέσθωσαν, στρατηγῶν ἐπιμε-

---

*) ἴσ. ἤ. **) ἄλλ. τὰ θεῖα πάντα.
***) ἄλλ. ἑκάστην. †) γρ. ἁγιστεύειν.
††) ἴσ. φυλαὶ ἕκαστον. (*) γρ. τοὺς ἐννέα.
(**) ἴσ. αἱ φυλαί. (***) ἄλλ. δή.

ſtituenda ſunt, mutua amicitia inter ſe copulatis populo et eis qui non ſunt de populo in quaque regione et urbe, ut quam maxime inter ſe conſpirent. iam quod ad res divinas attinet, deo ſunt permittendae et divinae fortunae ut, quod ipſi gratum ſit, ſorte conſtituat, examinandus vero quisque ſorte electus primum, integerne ſit legitimoque ortu generatus, deinde e domo quam maxime pura, et a caede aliisque huiusmodi quae in divina committuntur caſtus et ipſe ſit et pater materque ita vixerint. Delphis autem leges ad divina ſpectantes petendae et interpretes ad has conſtituti adhibendi ſunt, annuum vero eſto, non longius cuique ſacerdotium, nec minus quam ſexaginta annos nobis natus erit ſecundum ſanctas leges res divinas iuſte tractaturus; haec vero etiam de mulieribus ſacris lege conſtituta erunt. religionum interpretes creanto ter quattuor tribus, e ſuis ſingulos tribulibus, tres vero qui plurimis ſuffragiis probati fuerint, examinandi et novem Delphos mittendi, ut unus e ſingulis ternionibus oraculo deſignetur; probatio eorum et aetas eadem eſto quae ſacerdotum. hi vero per totam vitam ſunto interpretes; et in locum deficientis tribus, e quibus ille lectus erat, alium creanto. Procuratores vero ſacrae pecuniae in quoque templo et agrorum conſecratorum et fructuum inde percipiendorum et conductionum poteſtatem habentes eligi oportet e maximis cenſibus tres maximis templis, duo minoribus maximeque modicis unum; creatio vero horum atque probatio eadem eſto, quae ducum erat. Et quae ad ſacra ſpectant haec ſunto.

Cuſtodiae autem quoad eius fieri poteſt nihil expers eſto. et urbis quidem cuſtodia ita agitator, ut duces

λουμένων καὶ ταξιαρχῶν καὶ ἱππάρχων καὶ φυλάρχων καὶ πρυτανέων, * καὶ δὴ καὶ ἀστυνόμων καὶ ἀγορανόμων, ὁπόσαν αἱρεθέντες ἡμῖν καταστῶσί τινες ἱκανῶς· τὴν δὲ ἄλλην χώραν φυλάττειν πᾶσαν κατὰ τάδε. δώδεκα μὲν ἡμῖν ἡ χώρα πᾶσα εἰς δύναμιν ἴσα μόρια νενέμηται, φυλὴ δὲ μία τῷ μορίῳ ἑκάστῳ ἐπικληρωθεῖσα κατ' ἐνιαυτὸν παρεχέτω πέντε οἷον ἀγρονόμους τε καὶ φυλάρχους, τούτοις δ' ἔστω καταλέξασθαι τῆς αὐτῶν φυλῆς ἑκάστῳ δώδεκα τῶν πέντε ἐκ τῶν * νέων, μὴ ἔλαττον ἢ πέντε καὶ εἴκοσιν ἔτη γεγονότας, μὴ πλεῖον δὲ ἢ τριάκοντα· τούτοις δὲ διακληρωθήτω τὰ μόρια τῆς χώρας κατὰ μῆνα ἕκαστα ἑκάστοις, ὅπως ἂν πάσης τῆς χώρας ἔμπειροί τε καὶ ἐπιστήμονες γίγνωνται πάντες· δύο δ' ἔτη τὴν ἀρχὴν καὶ τὴν φρουρὰν γίγνεσθαι φρουροῖς τε καὶ ἄρχουσιν. ὅπως δ' ἂν τὸ πρῶτον λάχωσι τὰ μέρη, τοὺς τῆς χώρας τόπους μεταλλάττοντας ἀεὶ τὸν ἑξῆς τόπον *) ἑκάστου μηνὸς ἡγεῖσθαι * τοὺς φρουράρχους ἐπὶ δεξιὰ κύκλῳ· τὸ δ' ἐπὶ δεξιὰ γιγνέσθω τὸ πρὸς ἕω. περιελθόντος δὲ τοῦ ἐνιαυτοῦ τῷ δευτέρῳ ἔτει, ἵνα ὡς πλεῖστοι τῶν φρουρῶν μὴ μόνον ἔμπειροι τῆς χώρας γίγνωνται κατὰ μίαν ὥραν τοῦ ἐνιαυτοῦ, πρὸς τῇ χώρᾳ δὲ ἅμα καὶ τῆς ὥρας ἑκάστης περὶ ἕκαστον τὸν τόπον τὸ γιγνόμενον ὡς πλεῖστοι καταμάθωσιν, οἱ τότε ἡγούμενοι πάλιν ἀφηγείσθωσαν εἰς τὸν εὐώνυμον ἀεὶ μεταβάλλοντες τόπον, ἕως ἂν τὸ * δεύτερον διεξέλθωσιν ἔτος. τῷ τρίτῳ δὲ ἄλλους ἀγρονόμους αἱρεῖσθαι καὶ φρουράρχους τοὺς πέντε τῶν δώδεκα ἐπιμελητάς. ἐν δὲ δὴ ταῖς διατριβαῖς τῷ τόπῳ ἑκάστῳ τὴν ἐπιμέλειαν εἶναι τοιάνδε τινά, πρῶτον μὲν ὅπως εὐερκὴς ἡ χώρα πρὸς τοὺς πολεμίους ὅτι μάλιστα ἔσται, ταφρεύοντάς τε ὅσα ἂν τούτου δέῃ καὶ ἀποσκάπτοντας καὶ ἐν οἰκοδομήμασιν εἰς δύναμιν εἴργοντας τοὺς ἐπιχειροῦντας ὁτιοῦν τὴν χώραν καὶ τὰ κτήματα κακουργεῖν, χρωμένους δ' ὑποζυγίοις καὶ τοῖς οἰκέταις * τοῖς ἐν τῷ τόπῳ ἑκάστῳ πρὸς ταῦτα, δι' ἐκείνων ποιοῦντας, ἐκείνοις ἐπιστατοῦντας, τῶν οἰκείων ἔργων αὐτῶν ἀργίας ὅτι μάλιστα ἐκλεγομένους. δύσβατα δὲ δὴ πάντα ποιεῖν τοῖς ἐχθροῖς, τοῖς

B C D E 761

*) γρ. τῶν ἑξῆς τόπων.

curent et centuriones et magiſtri equitum et equitibus unius tribus praefecti et conſilii publici principes, atque etiam aediles rerumque venalium curatores. quando ſatis nobis electi fuerint conſtituti; reliqua vero univerſa regio ita cuſtodienda. in duodecim nobis univerſa regio pro viribus aequales partes diviſa eſt, tribus vero una parti cuique attributa quotannis exhibeto quinque velut procuratores agrarios et equitibus unius tribus praefectos; his autem liceat e ſua cuique illorum quinque tribu duodecim eligere ex iuvenibus non minus quam quinque et viginti annos natos nec plus quam triginta; atque his ſortito aſſignantor regionis partes per menſem ſingulae ſingulis, ut totius regionis periti et ſcientes exſiſtant omnes; duos autem per annos imperium et cuſtodiam gerent cuſtodes et imperantes. quomodocumque vero primum partes inter ſe ſortiti fuerint, regionis locos cum proximo quoque ita permutanto quoque menſe ut cuſtodiae praefecti ad dextram in orbem eos ducant; ad dextram vero eſto ad orientem. circumacto autem anno, ſecundo iam anno, ut plurimi cuſtodum non ſolum periti regionis evadant uno annis tempore, ſed etiam praeter regionem ſimul quicquid ſingulis anni temporibus ſingulis locis contingat quam plurimi cognoſcant, qui tunc duxerunt rurſus ducunto ad ſiniſtram permutantes ſemper locum, donec ſecundum traduxerint annum, tertio dein anno alii procuratores agrarii creantor cuſtodiaeque praefecti quinque, duodecim illorum curatores. dum vero commorantur quoque loco, hoc fere curanto, primum ut ſepta ſit regio quam maxime adverſus hoſtes, foſſis munientes quaecumque eis indigent et fodientes et turribus quoad eius fieri poteſt arcentes eos qui conentur quocumque modo regionem et poſſeſſiones laedere, adhibentes ad haec iumenta et ſervos quoque loco, per hos facientes, his praecipientes, propriis operibus qui maxime vacant eligentes, invia omnia reddenda hoſtibus, amicis vero quam maxime pervia homi-

δὲ φίλοις ὅτι μάλιστα εὔβατα ἀνθρώποις τε καὶ ὑποζυγίοις καὶ βοσκήμασιν, ὁδῶν τε ἐπιμελουμένους, ὅπως ὡς ἡμερώταται ἕκασται γίγνωνται, καὶ τῶν ἐκ Διὸς ὑδάτων, ἵνα τὴν χώραν μὴ κακουργῇ, μᾶλλον δ' ὠφελῇ ῥέοντα ἐκ * τῶν B ὑψηλῶν εἰς τὰς ἐν τοῖς ὄρεσι νάπας ὅσαι κοῖλαι, τὰς ἐκροὰς αὐτῶν εἴργοντας οἰκοδομήμασί τε καὶ ταφρεύμασιν, ὅπως ἂν τὰ παρὰ τοῦ Διὸς ὕδατα καταδεχόμεναι καὶ πίνουσαι, τοῖς ὑποκάτωθεν ἀγροῖς τε καὶ τόποις πᾶσι νάματα καὶ κρήνας ποιοῦσαι, καὶ τοὺς αὐχμηροτάτους τόπους πολυύδρους τε καὶ εὐύδρους ἀπεργάζωνται· τά τε πηγαῖα ὕδατα, ἐάν τέ τις ποταμὸς ἐάν τε καὶ κρήνη ᾖ, κοσμοῦντες φυτεύμασί τε καὶ οἰκοδομήμασιν * εὐπρεπέστερα καὶ ξυνάγοντες μεταλλείαις C νάματα πάντα ἄφθονα ποιῶσιν ὑδρείας τε καθ' ἑκάστας τὰς ὥρας, εἴ τί που ἄλσος ἢ τέμενος περὶ ταῦτα ἀνειμένον *) ᾖ **), τὰ ῥεύματα ἀφιέντες εἰς αὐτὰ τὰ τῶν θεῶν ἱερὰ κοσμῶσι. πανταχῇ δὲ ἐν τοῖς τοιούτοις γυμνάσια χρὴ κατασκευάζειν τοὺς νέους αὐτοῖς τε καὶ τοῖς γέρουσι γεροντικὰ λουτρὰ θερμὰ παρέχοντας, ὕλην παρατιθέντας αὔην καὶ ξηρὰν ἄφθονον, ἐπ' ὀνήσει καμνόντων * τε νόσοις καὶ πόνοις τε- D τρυμένα γεωργικοῖς σώματα δεχομένους εὐμενῶς, ἰατροῦ δ' ἕξιν ***) μὴ πάνυ σοφοῦ βελτίονα συχνῷ. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πάντα κόσμος τε καὶ ὠφέλεια τοῖς τόποις γίγνοιτ' ἂν μετὰ παιδιᾶς οὐδαμῇ ἀχαρίστου· σπουδὴ δὲ περὶ ταῦτα ἥδε ἔστω. τοὺς ἑξήκοντα ἑκάστους τὸν αὑτῶν τόπον φυλάττειν μὴ μόνον πολεμίων ἕνεκα, ἀλλὰ καὶ τῶν φίλων φασκόντων εἶναι· γειτόνων τε καὶ τῶν ἄλλων πολιτῶν ἢν ἄλλος * ἄλλον ἀδικῇ, δοῦλος ἢ ἐλεύθερος, δικάζοντας τῷ E ἀδικεῖσθαι φάσκοντι, τὰ μὲν σμικρὰ αὐτοὺς τοὺς πέντε ἄρχοντας, τὰ δὲ μείζονα μετὰ τῶν δώδεκα τοὺς ἑπτακαίδεκα δικάζειν μέχρι τριῶν μνῶν, ὅσα ἂν ἕτερος ἑτέρῳ ἐπικαλῇ. δικαστὴν δὲ καὶ ἄρχοντα ἀνυπεύθυνον οὐδένα δικάζειν καὶ ἄρχειν δεῖ πλὴν τῶν τὸ τέλος ἐπιτιθέντων οἷον βασιλέων. καὶ δὴ καὶ τοὺς ἀγρονόμους τούτους, ἐὰν ὑβρίζωσί τι περὶ

*) γρ. ἀφειμένον. **) ἴσ. ἦν.
***) ἴσ. ἰατροῦ ἕξιν.

nibus et iumentis et pecudibus, et de viis cura adhibenda est ut quam maxime stratae sint, et de aqua pluvia, ne regioni noceat. sed potius prosit ex alto se effundens in cavas mentium convalles, quarum effluvia molibus et fossis prohibenda sunt ut aquas caelestes suscipientes ac bibentes agris et locis inferioribus rivos et fontes efficiant et locos etiam horridissimos humore affluentes bonaque aqua plenos reddant; fontanae autem aquae, sive fluvius est sive fons arboribus et molibus exornandae et per canales conductis rivis omnia copiosa sunt reddenda irrigationibus quoque anni tempore, et si qui lucus vel ager ibi consecratus est, rivi in ipsa deorum templa immittendi sunt ut exornentur. ubique vero talibus in locis gymnasia iuvenes oportet exstruere tam sibimet ipsis quam senibus senilia calida balnea constituentes, ligno apposito arido et sicco copioso ad iuvanda aegrotantium et corpora laboribus agriculturae defessa benivole excipienda, quae quidem balnea medico non satis prudente longe meliora sunt. Haec igitur et huiusmodi omnia decori et utilitati locis erunt cum oblectatione minime iniucunda; serium vero studium ad haec ita conferendum. sexaginta illi suum quisque locum custodiant non solum hostium causa, verum etiam ob eos qui se amicos esse profitentur; vicinorum autem et reliquorum civium si alter alteri iniuriam facit, servus aut liber, iudicanto, si quis iniuria se affectum esse indicaverit, de minutis quidem causis ipsi quinque principes, de maioribus vero cum duodecim illis iudicanto septemdecim viri usque ad tres minas, de quacumque re alter alterum accusaverit. iudex vero et princeps a ratione reddenda immunis nullus iudicare nec imperare debet eis exceptis qui finem constituunt velut reges. atque etiam procuratores agrarii, si qua contumelia

τοὺς ὧν ἐπιμελοῦνται, προστάξεις τε προστάττοντες ἀνίσους * καὶ ἐπιχειροῦντες λαμβάνειν τε καὶ φέρειν τῶν ἐν ταῖς 762 γεωργίαις μὴ πείσαντες, καὶ ἐὰν δέχωνταί τι κολακείας ἕνεκα διδόντων ἢ καὶ δίκας ἀδίκως διανέμωσι, ταῖς μὲν θωπείαις ὑπείκοντες ὀνείδη φερέσθωσαν ἐν πάσῃ τῇ πόλει, τῶν δὲ ἄλλων ἀδικημάτων ὅ τι ἂν ἀδικῶσι τοὺς ἐν τῷ τόπῳ, τῶν μέχρι μνᾶς ἐν τοῖς κωμήταις καὶ γείτοσιν ὑπεχέτωσαν ἑκόντες δίκας, τῶν δὲ μειζόνων ἑκάστοτε ἀδικημάτων ἢ καὶ τῶν ἐλαττόνων, * ἐὰν μὴ θέλωσιν ὑπέχειν πιστεύοντες τῷ B μεθίστασθαι κατὰ μῆνας εἰς ἕτερον ἀεὶ τόπον φεύγοντες ἀποφευξεῖσθαι, τούτων πέρι λαγχάνειν μὲν ἐν ταῖς κοιναῖς δίκαις τὸν ἀδικούμενον, ἐὰν δ' ἕλῃ, τὴν διπλασίαν πραττέσθω τὸν ὑποφεύγοντα καὶ μὴ ἐθελήσαντα ὑποσχεῖν ἑκόντα τιμωρίαν. διαιτάσθων δὲ οἵ τε ἄρχοντες οἵ τε ἀγρονόμοι τὰ δύο ἔτη τοιόνδε τινὰ τρόπον. πρῶτον μὲν δὴ καθ' ἑκάστους τοὺς τρόπους εἶναι * ξυσσίτια, ἐν οἷς κοινῇ τὴν δίαιταν C ποιητέον ἅπασιν· ὁ δὲ ἀποσυσσιτήσας κἂν ἡντιναοῦν ἡμέραν ἢ νύκτα ἀποκοιμηθεὶς μὴ τῶν ἀρχόντων ταξάντων ἤ πάσης τινὸς ἀνάγκης ἐπιπεσούσης, ἐὰν ἀποφήνωσιν αὐτὸν οἱ πέντε καὶ γράψαντες θῶσιν ἐν ἀγορᾷ καταλελυκότα τὴν φρουράν, ὀνείδη τε ἐχέτω τὴν πολιτείαν ὡς προδιδοὺς τὸ ἑαυτοῦ μέρος, κολαζέσθω τε πληγαῖς ὑπὸ τοῦ * ξυντυγχάνοντος καὶ ἐθέλοντος κολάζειν ἀτιμωρήτως. τῶν δὲ ἀρχόντων D αὐτῶν ἐάν τίς τι δρᾷ τοιοῦτον αὐτός, ἐπιμελεῖσθαι μὲν τοῦ τοιούτου πάντας τοὺς ἑξήκοντα χρεών, ὁ δὲ αἰσθόμενός τε καὶ πυθόμενος μὴ ἐπεξιὼν ἐν τοῖς αὐτοῖς ἐνεχέσθω νόμοις καὶ πλείονι τῶν νέων ζημιούσθω· περὶ τὰς τῶν νέων ἀρχὰς ἠτιμάσθω πάσας. τούτων δὲ οἱ νομοφύλακες ἐπίσκοποι ἀκριβεῖς ἔστωσαν, ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν ἢ γιγνόμενα τῆς ἀξίας δίκης τυγχάνῃ. δεῖ δὲ *) * πάντ' ἄνδρα διανοεῖσθαι περὶ ἁπάντων ἀνθρώπων ὡς ὁ μὴ δουλεύσας οὐδ' ἂν E δεσπότης γένοιτο ἄξιος ἐπαίνου, καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον, ἢ τῷ καλῶς ἄρξαι, πρῶτον μὲν

---

*) γρ. δή.

vexant eos qui ipforum curationi commiffi funt, mandata eis dantes inaequalia et conantes rapere et auferre quid agricolis invitis, et fi quid accipiunt ab eis qui adulationis caufa largiuntur, vel etiam iudicia iniufte distribuunt, adulationibus cedentes, probris vexantor tota in urbe, reliquarum vero iniuriarum quibuscumque afficiunt loci incolas, earum quae minam non excedunt apud pagi incolas et vicinos ultro poenas pendunto, maiorum autem iniuriarum omnium vel etiam minorum, fi noluerint poenas folvere fperantes fore ut fingulis in menfibus in aliam femper locum migrando ac fugiendo elabantur, de his litem intendito in communibus iudiciis qui iniuriam accepit, et fi reum peregerit, alterum tantum exigito ab eo qui fugit nec ultro poenas pendere voluit. utuntor autem principes et agrarii curatores duos per annos hac victus ratione. primum videlicet quoque loco funto convivia publica, in quibus communiter omnes victum habeant; qui a fodalitio abeft vel unum quicumque eft diem aut noctem feorfum cubat neque principibus iubentibus neque neceffitate aliqua ingruente fi quinque illi eum indicant et confignatum proponunt in foro quod cuftodiam deferuerit, et probrum obiectator tamquam qui civitatem pro fua parte prodiderit, et verberibus caftigator a quolibet occurente et caftigare volente impune. principum ipforum fi quis tale quid committit ipfe, curare id oportet omnes fexaginta viros, et qui animadvertit et comperit nec accufat, eisdem tenetor legibus et maiore quam iuvenes poena mulctator, ita ut in omnibus iuvenum magiftratibus reiiciatur. horum autem fpeculatores exacti legum cuftodes funto ut omnino non fiant et, fi fiant, digno afficiantur supplicio. oportet autem quemque virum cogitare de omnibus hominibus, eum qui non paruerit nec imperaturum effe ita ut laude dignus fit, et gloriari oportet magis in eo quod bene paruerit, quam in eo quod bene imperaverit, primum quidem legibus, quibus

τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν, ἔπειτα τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους. μετὰ *) δὲ ταῦτα τῆς καθ' ἡμέραν διαίτης δεῖ τῆς ταπεινῆς καὶ ἀπόρου γεγευμένον εἶναι τὰ δύο ἔτη ταῦτα τὸν τῶν ἀγρονόμων γεγονότα. ἐπειδὰν γὰρ δὴ καταλεγῶσιν οἱ δώδεκα, ξυνελθόντες μετὰ τῶν πέντε βουλευέσθωσαν * ὡς, οἷόνπερ 763
οἰκέται, οὐχ ἕξουσιν αὐτοῖς ἄλλους οἰκέτας τε καὶ δούλους, οὐδ' ἐκ τῶν ἄλλων γεωργῶν τε καὶ κωμητῶν τοῖς ἐκείνων ἐπὶ τὰ ἴδια χρήσονται ὑπηρετήματα διακόνοις, ἀλλὰ μόνον ὅσα εἰς τὰ δημόσια· τὰ δ' ἄλλα αὐτοὶ δι' αὐτῶν διανοηθήτωσαν ὡς βιωσόμενοι διακονοῦντές τε καὶ διακονούμενοι ἑαυτοῖς, πρὸς δὲ τούτοις πᾶσαν τὴν χώραν διεξερευνώμενοι θέρους καὶ χειμῶνος σὺν τοῖς ὅπλοις φυλακῆς τε * καὶ γνω- B
ρίσεως ἕνεκα πάντων ἀεὶ τῶν τόπων· κινδυνεύει γὰρ οὐδενὸς ἔλαττον μάθημα εἶναι δι' ἀκριβείας ἐπίστασθαι πάντας τὴν αὐτῶν χώραν· οὗ δὴ χάριν κυνηγέσια καὶ τὴν ἄλλην θήραν οὐχ ἧττον ἐπιτηδεύειν δεῖ τὸν ἡβῶντα ἢ τῆς ἄλλης ἡδονῆς ἅμα καὶ ὠφελείας τῆς περὶ τὰ τοιαῦτα γιγνομένης πᾶσι. τούτους οὖν αὐτούς τε καὶ τὸ ἐπιτήδευμα εἴτε τις κρυπτοὺς εἴτε ἀγρονόμους εἴθ' ὅ τι καλῶν χαίρει τοῦτο προσαγορεύων, προθύμως * πᾶς ἀνὴρ εἰς δύναμιν ἐπιτηδευέτω, C
ὅσοι μέλλουσι τὴν αὑτῶν πόλιν ἱκανῶς σώζειν.

Τὸ δὲ μετὰ τοῦτο ἀρχόντων αἱρέσεως ἀγορανόμων πέρι καὶ ἀστυνόμων ἦν ἡμῖν ἑπόμενον. ἕποιντο δ' ἂν ἀγρονόμοις γε **) ἀστυνόμοι τρεῖς ἑξήκοντα οὖσι, τριχῇ δώδεκα μέρη τῆς πόλεως διαλαβόντες, μιμούμενοι ἐκείνους, τῶν τε ὁδῶν ἐπιμελούμενοι τῶν κατὰ τὸ ἄστυ καὶ τῶν ἐκ τῆς χώρας λεωφόρων εἰς τὴν πόλιν ἀεὶ τεταμένων ***) καὶ τῶν οἰκοδομιῶν, * ἵνα κατὰ νόμους γίγνωνται πᾶσαι, καὶ δὴ καὶ τῶν ὑδά- D
των, ὁπόσ' ἂν αὐτοῖς πέμπωσι καὶ παραδιδῶσιν οἱ φρουροῦντες τεθεραπευμένα, ὅπως εἰς τὰς κρήνας ἱκανὰ καὶ καθαρὰ πορευόμενα κοσμῇ τε ἅμα καὶ ὠφελῇ τὴν πόλιν. δεῖ δὴ καὶ τούτους δυνατούς τε εἶναι καὶ σχολάζοντας τῶν κοι-

*) ἴσ. βεβιωκόσι. μετά.
) γρ. τε. *) γρ. τεταγμένων.

qui paret diis paret, deinde fenioribus et eis qui in honore et auctoritate vitam degerunt. praeterea quotidianum victum vilem ac tenuem per biennium guftaverit necesse eft quisque curatorum agrariorum. quum enim electi fuerint duodecim viri, congreffi cum quinque illis ftatuunto fe, velut fervos, non alios fibi habituros fervos ac miniftros, nec reliquorum agricolarum pagique incolarum fervis ad privata ufuros effe minifteria, fed ad publica tantummodo; quod ad cetera attinet, ipfi per fe cogitanto fe victuros effe fibimet ipfis miniftrantes. praeterea uuiverfam regionem perfcrutantor aeftate et hieme armati cuftodiae et locorum omnium cognofcendorum caufa; etenim non minor fere quam ulla alia haec cognitio eft fi accurate omnes regionem fuam notam habent; quam quidem ob caufam venationi univerfae non minus ftudere oportet adolefcentem quam reliquae voluptati fimul, et utilitati omnibus ex his redundanti, horum igitur ipforum, five quis cuftodes five agrarios curatores five alio nomine nuncupare voluerit, quisque pro viribus prompto animo ftudium illud exerceto, quicumque civitatem fuam fatis fervatam cupit.

Deinde in magiftratuum creatione fequitur ut de rerum venalium et urbanarum curatoribus exponamus. fequentur autem agrorum curatores fexaginta rerum urbanarum curatores tres, tripartito duodecim urbis partes adminiftrantes, illorum fequentes exemplum, viarum procurationem habentes tam in urbe ftratarum quam publicarum quaecumque e regione in urbem patent et aedificationum, ut e legibus omnes fiant, atque etiam aquarum, quascumque eis mittunt et tradunt cuftodientes curatas, ut in fontes fatis copiofae et purae labentes ornent fimul et iuvent civitatem. oportet vero hos quoque potentes effe et otio frui ut rerum publica-

νῶν ἐπιμελεῖσθαι· διὸ προβαλλέσθω μὲν πᾶς ἀνὴρ ἐκ τῶν μεγίστων τιμημάτων ἀστυνόμον ὃν ἂν βούληται, διαχειροτονηθέντων δὲ καὶ ἀφικομένων * εἰς ἓξ *) οἷς ἂν πλεῖσται E
γίγνωνται, τοὺς τρεῖς ἀποκληρωσάντων οἷς τούτων ἐπιμελές· δοκιμασθέντες δὲ ἀρχόντων κατὰ τοὺς τεθέντας αὐτοῖς νόμους. Ἀγορανόμους δ' ἑξῆς τούτοις αἱρεῖσθαι μὲν ἐκ τῶν δευτέρων καὶ πρώτων τιμημάτων πέντε, τὰ δ' ἄλλα αὐτῶν γίγνεσθαι τὴν αἵρεσιν, καθάπερ ἡ τῶν ἀστυνόμων, δέκα ἐκ τῶν ἄλλων χειροτονηθέντας τοὺς πέντε ἀποκληρῶσαι, καὶ δοκιμασθέντας αὐτοὺς ἄρχοντας ἀποφῆναι. χειροτονείτω δὲ πᾶς πάντα· ὁ δὲ μὴ θέλων, ἐὰν εἰςαγγελθῇ * πρὸς τοὺς 764
ἄρχοντας, ζημιούσθω πεντήκοντα δραχμαῖς πρὸς τῷ κακὸς εἶναι δοκεῖν· ἴτω δ' εἰς ἐκκλησίαν καὶ τὸν κοινὸν ξύλλογον ὁ βουλόμενος, ἐπάναγκες δ' ἔστω τῷ τῶν δευτέρων καὶ πρώτων τιμημάτων, δέκα δραχμαῖς ζημιουμένῳ ἐὰν μὴ παρὼν ἐξετάζηται τοῖς ξυλλόγοις, τρίτῳ δὲ τιμήματι καὶ τετάρτῳ μὴ ἐπάναγκες, ἀλλὰ ἀζήμιος ἀφείσθω, ἐὰν μή τι παραγγείλωσιν οἱ ἄρχοντες πᾶσιν ἔκ τινος ἀνάγκης ξυνιέναι. * τοὺς δὲ δὴ B
ἀγορανόμους τὸν περὶ τὴν ἀγορὰν κόσμον διαταχθέντα ὑπὸ νόμων φυλάττειν καὶ ἱερῶν καὶ κρηνῶν ἐπιμελεῖσθαι τῶν κατ' ἀγοράν, ὅπως μηδὲν ἀδικῇ μηδείς, τὸν ἀδικοῦντα δὲ κολάζειν, πληγαῖς μὲν καὶ δεσμοῖς δοῦλον καὶ ξένον, ἐὰν δ' ἐπιχώριος ὤν τις περὶ τὰ τοιαῦτα ἀκοσμῇ, μέχρι μὲν ἑκατὸν δραχμῶν νομίσματος αὐτοὺς εἶναι κυρίους διαδικάζοντας, μέχρι δὲ διπλασίου τούτου κοινῇ μετὰ ἀστυνόμων * ζημιοῦν C
δικάζοντας τῷ ἀδικοῦντι. τὰ αὐτὰ δὲ καὶ ἀστυνόμοις ἔστω ζημιώματά τε καὶ κολάσεις ἐν τῇ ἑαυτῶν ἀρχῇ, μέχρι μὲν μνᾶς αὐτοὺς ζημιοῦντας, τὴν διπλασίαν δὲ μετὰ ἀγορανόμων.

Μουσικῆς δὲ τὸ μετὰ τοῦτο καὶ γυμναστικῆς ἄρχοντας καθίστασθαι πρέπον ἂν εἴη, διττοὺς ἑκατέρων, τοὺς μὲν παιδείας αὐτῆς **) ἕνεκα, τοὺς δὲ ἀγωνιστικῆς. παιδείας μὲν βούλεται λέγειν ὁ νόμος γυμνασίων καὶ διδασκαλείων ***) ἐπι-

---

*) ἴσ. εἰς κρίσιν ἕξ. **) ἄλλ. αὐτῶν.
***) γρ. διδασκαλιῶν.

rum curationem possint suscipere, quocirca designato quisque e maximo censu rerum urbanarum curatorem quemcumque voluerit, de electis vero et iudicatis sex, qui plurima tulerunt suffragia, tres sorte ducunto ii qui haec curant; et probati imperanto secundum leges eis scriptas. Rerum autem venalium curatores post illos eligi oportet e secundo et primo censu quinqne, ceterum eorum creatio eodem modo instituenda quo rerum urbanarum curatorum, ut decem e reliquis per suffragia creati sorte ducant quinque viros eosque examinatos magistratus declarent. creato autem quisque quemque; qui noluerit, si indicatus fuerit magistratibus, mulctator quinquaginta drachmis pravusque existimator; ingreditor in concionem communeque concilium quicumque volt, necessitas vero imposita esto secundi et primi census viris, qui decem drachmis mulctandi sunt si in conciliis non comparuerint, tertius vero census et quartus nulla adstrictus esto necessitate, sed impunitus dimittitor, nisi forte magistratus praeceperint omnibus ex necessitate aliqua ut conveniant. curatores agrarii fori ordinem a legibus constitutum conservanto et templa fontesque in foro curanto, ne quis quid laedat, laedentem vero castiganto, verberibus et vinculis servum et peregrinum, si vero indigena quispiam tale quid violat, potestatem habento usque ad centum drachmas eum condemnandi, usque ad poenam dupli vero communiter cum rerum urbanarum curatoribus condemnanto laedentem. eaedem sunto etiam rerum urbanarum curatoribus mulctae et castigationes in suo magistratu, usque ad minam ipsis mulctantibus, poena vero dupli cum curatoribus agrariis.

Musicae deinde et gymnasticae artis praefectos constituere decet, duplices utriusque, et illos quidem institutionis, hos vero artis concertatoriae causa. et institutionem quidem dicere volt lex gymnasiorum et schola-

μελητὰς * κόσμου καὶ παιδεύσεως ἅμα καὶ τῆς περὶ ταῦτα D ἐπιμελείας τῶν φοιτήσεών τε πέρι καὶ οἰκήσεων ἀῤῥένων καὶ θηλειῶν κορῶν, ἀγωνίας δὲ ἔν τε τοῖς γυμνικοῖς καὶ περὶ τὴν μουσικὴν ἀθλοθέτας ἀθληταῖς, διττοὺς αὖ τούτους, περὶ μουσικὴν μὲν ἑτέρους, περὶ ἀγωνίαν δ' ἄλλους· ἀγωνιστικῆς μὲν οὖν ἀνθρώπων τε καὶ ἵππων τοὺς αὐτούς, μουσικῆς δὲ ἑτέρους μὲν τοὺς περὶ μονῳδίαν τε καὶ μιμητικήν, οἷον ῥαψῳδῶν καὶ κιθαρῳδῶν καὶ * αὐλητῶν καὶ πάντων τῶν τοιού- E των ἀθλοθέτας ἑτέρους πρέπον ἂν εἴη γίγνεσθαι, τῶν δὲ περὶ χορῳδίαν ἄλλους. πρῶτον δὴ περὶ τὴν τῶν χορῶν παιδιὰν παίδων τε καὶ ἀνδρῶν καὶ θηλειῶν κορῶν ἐν ὀρχήσεσι καὶ τῇ τάξει τῇ ἁπάσῃ γιγνομένῃ μουσικῇ τοὺς ἄρχοντας αἱρεῖσθαί που χρεών· ἱκανὸς δὲ εἷς ἄρχων αὐτοῖς, μὴ ἔλαττον τετταράκοντα γεγονὼς ἐτῶν. * ἱκανὸς δὲ καὶ περὶ μονῳδίαν 765 εἷς, μὴ ἔλαττον ἢ τριάκοντα γεγονὼς ἐτῶν, εἰςαγωγεύς τε εἶναι καὶ τοῖς ἁμιλλωμένοις τὴν διάκρισιν ἱκανῶς ἀποδιδούς. τὸν δὴ χορῶν ἄρχοντα καὶ διαθετῆρα αἱρεῖσθαι χρὴ τοιόνδε τινὰ τρόπον. ὅσοι μὲν φιλοφρόνως ἐσχήκασι περὶ τὰ τοιαῦτα, εἰς τὸν ξύλλογον ἴτωσαν, ἐπιζήμιοι ἐὰν μὴ ἴωσι· τούτου δὲ οἱ νομοφύλακες κριταί· τοῖς δ' ἄλλοις, ἐὰν μὴ βούλωνται, μηδὲν ἐπάναγκες ἔστω. καὶ τὴν προβολὴν * δὴ τὸν αἱρού- B μενον ἐκ τῶν ἐμπείρων ποιητέον, ἔν τε τῇ δοκιμασίᾳ κατηγόρημα ἓν τοῦτ' ἔστω καὶ ἀπηγόρημα, τῶν μὲν ὡς ἄπειρος ὁ λαχών, τῶν δ' ὡς ἔμπειρος. ὃς δ' ἂν εἷς ἐκ προχειροτονηθέντων δέκα λάχῃ, δοκιμασθεὶς τὸν ἐνιαυτὸν τῶν χορῶν ἀρχέτω κατὰ νόμον. κατὰ ταὐτὰ δὲ τούτοις καὶ ταύτῃ ὁ λαχὼν τὸν ἐνιαυτὸν ἐκεῖνον τῶν ἀφικομένων εἰς κρίσιν μονῳδιῶν τε καὶ συναυλιῶν ἀρχέτω, εἰς τοὺς κριτὰς ἀποδιδοὺς ὁ λαχὼν * τὴν κρίσιν *). Μετὰ δὲ ταῦτα χρεὼν ἀγωνίας C ἀθλοθέτας αἱρεῖσθαι τῆς περὶ τὰ γυμνάσια ἵππων τε καὶ ἀνθρώπων ἐκ τῶν τρίτων τε καὶ ἔτι τῶν δευτέρων τιμημάτων· εἰς δὲ τὴν αἵρεσιν ἔστω μὲν ἐπάναγκες τοῖς τρισὶ πορεύεσθαι τιμήμασι, τὸ σμικρότατον δὲ ἀζήμιον ἀφείσθω. τρεῖς δ' ἔστω-

*) ἴσ. ἀποδιδοὺς τὴν κρίσιν.

rum, qui ordini et disciplinae prospiciant rebusque ad haec pertinentibus, ut pueri et puellae decenter ventitent et commorentur, concertationem vero dicit significans esse debere qui in gymnicis et musicis ludis certantibus praemia decernant, duplices etiam hos, in musica alios, alios in concertatione, et in certamine quidem gymnico iidem sunto qui hominibus et qui equis praemia decernant, in musico autem alios oportet esse singularis cantionis et imitationis iudices, veluti carminum recitatorum et citharoedorum, et tibicinum omniumque eiusdem generis alios decet esse iudices, et in chori cantu alios. primum igitur quod ad chori ludum attinet, in puerorum, virorum et puellarum saltationibus et universo ordine musico praefectos eligi oportet; unus vero praefectus satis erit, non minus quam quadraginta annos natus. satis vero etiam in singulari cantu unus erit, non minus quam triginta annos natus, qui introducat certantes satisque diiudicet. chori igitur praefectum ac moderatorem creari oportet hoc fere modo. quicumque comiter ad haec affecti sunt, in concilium ingrediuntor poena mulctandi nisi ingrediuntur; de qua quidem re legis custodes iudicanto, ceteri, si noluerint, nulla adstricti sunto necessitate. designationem facere oportet eligentem e numero peritorum, et in probatione una haec esto accusatio et defensio, alterorum, quod imperitus sit sorte lectus, alterorum, quod peritus. qui vero unus e decem prae ceteris designatis sorte lectus fuerit, is examinatus per annum chororum praefectus esto ex lege. eodem hoc modo qui sortem nactus est inter eos qui in iudicium venerunt per annum illum praefectus esto cantus singularis et instrumentorum musicorum concentus, postquam apud iudices probationi se subiecit. Deinde oportet certaminum gymnicorum praefectos qui praemia decernant equis et hominibus eligi e tertio praetereaque secundo censu; et ad creationem venire coguntor tres census, minimus vero impu-

σαν οἱ λαχόντες, τῶν προχειροτονηθέντων μὲν εἴκοσι, λα-
χόντων δὲ ἐκ τῶν εἴκοσι τριῶν, οὓς ἂν καὶ ψῆφος ἡ τῶν
δοκιμαζόντων δοκιμάσῃ. ἐὰν δέ τις ἀποδοκιμασθῇ * καθ' D
ἡντιναοῦν ἀρχῆς λῆξιν καὶ κρίσιν, ἄλλους ἀνθαιρεῖσθαι
κατὰ ταὐτὰ καὶ τὴν δοκιμασίαν ὡσαύτως αὐτῶν πέρι ποι-
εῖσθαι.

Λοιπὸς δὲ ἄρχων περὶ τὰ προειρημένα ἡμῖν ὁ τῆς παι-
δείας ἐπιμελητὴς πάσης θηλειῶν τε καὶ ἀῤῥένων. εἷς μὲν δὴ
καὶ ὁ τούτων ἄρξων ἔστω κατὰ νόμους, ἐτῶν μὲν γεγονὼς
μὴ ἔλαττον ἢ πεντήκοντα, παίδων δὲ γνησίων πατὴρ, μάλι-
στα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μὴ, θάτερα· διανοη-
θήτω δὲ * αὐτός τε ὁ προκριθεὶς καὶ ὁ προκρίνων ὡς οὖ- E
σαν ταύτην τὴν ἀρχὴν τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν
πολὺ μεγίστην. παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη καλῶς
ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὐτοῦ φύσεως κυριωτάτη τέλος
ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζώων
ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων. ἄνθρωπος δέ, ὥς φαμεν,
* ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως 766
εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ,
μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα *)
φύει γῆ. ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παί-
δων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι, πρῶτον δὲ ἄρ-
ξασθαι χρεὼν τὸν μέλλοντα αὐτῶν ἐπιμελήσεσθαι **) καλῶς
αἱρεθῆναι τῶν ἐν τῇ πόλει ὃς ἂν ἄριστος εἰς πάντα ᾖ· τοῦ-
τον κατὰ δύναμιν ὅτι μάλιστα αὐτοῖς * καθιστάντα προστά- B
την καὶ ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν βουλῆς καὶ
πρυτάνεων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι φερόντων
ψῆφον κρύβδην, τῶν νομοφυλάκων ὅντιν' ἂν ἕκαστος ἡγῆ-
ται κάλλιστ' ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων· ᾧ δ'
ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων
ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἔτη

*) γρ. ἐπιμελεῖσθαι.
**) ἴσ. τῶν ὁπόσα.

nitus dimittitor. tres autem ſunto ſorte lecti, deſignatis quidem viginti, tribus vero e viginti deſignatis ſorte legendis, quos etiam ſuffragium probantium probaverit. ſi quis reprobatus fuerit in quacumque magiſtratus ſortitione et iudicio, alios eius loco creari oportet eadem ratione et probatio eorum ſimiliter inſtituenda.

Reliquus eſt magiſtratus in rebus a nobis ante prolatis qui inſtitutionis univerſae tam feminarum quam maſculorum procurationem habeat. unus igitur hic quoque erit praefectus ſecundum leges, annos natus non minus quam quinquaginta, liberorum legitimorum pater, maxime quidem filiorum et filiarum, ſin minus, alterutrum; exiſtimato autem ipſe ceteris antelatus et anteferens hunc magiſtratum ſummorum in urbe magiſtratuum longe praeſtantiſſimum eſſe. cuiusque enim quod viget prima germinatio pulchre tendens ad naturae ſuae bonitatem maximam affert vim ad finem ei imponendum accommodatum, quum ceterorum quae vigent tum animantium manſuetorum ferorumque et hominum. etenim homo, ut dicimus, manſuetum eſt animal, diſciplinam tamen rectam nactus naturamque felicem diviniſſimum manſuetiſſimumque animal fieri ſolet, non ſatis vero vel non recte educatus ſaeviſſimum omnium quae terra procreat. quocirca non ſecundo loco neque ſubſicivis operis legis latorem oportet puerorum educationem ſinere inſtitui, ſed primum qui recte hoc curaturus eſt inſtituto ut e civibus eligatur qui optimus ſit ad omnia; hic pro viribus quam maxime eis conſtituendus eſt praefectus et curator. omnes igitur magiſtratus exceptis ſenatu principibusque conſilii publici in Apollinis templum convenientes clam ferunto ſuffragium; legum cuſtodum quemcumque quisque exiſtimaverit optime curaturum eſſe res ad diſciplinam pertinentes; cui vero plurima obtigerint ſuffragia, is probatus a reliquis magiſtratibus qui crearunt, exceptis

πέντε, ἕκτῳ δὲ κατὰ ταὐτὰ ἄλλον ἐπὶ ταύτην * τὴν ἀρχὴν C αἱρεῖσθαι.

Ἐὰν δέ τις δημοσίαν ἀρχὴν ἄρχων ἀποθάνῃ πρὶν ἐξήκειν αὐτῷ τὴν ἀρχὴν πλεῖον ἢ τριάκοντα ἐπιδεομένην ἡμερῶν, τὸν αὐτὸν τρόπον ἐπὶ τὴν ἀρχὴν ἄλλον καθιστάναι οἷς ἦν προσηκόντως τοῦτο μέλον· καὶ ἐὰν ὀρφανῶν ἐπίτροπος τελευτήσῃ τις, οἱ προσήκοντες καὶ ἐπιδημοῦντες πρὸς πατρὸς καὶ μητρὸς μέχρι ἀνεψιῶν παίδων ἄλλον καθιστάντων ἐντὸς δέκα ἡμερῶν, ἢ ζημιούσθων ἕκαστος δραχμῇ * τῆς ἡμέρας, D μέχριπερ ἂν καταστήσωσι τὸν ἐπίτροπον.

Πᾶσα δὲ δήπου πόλις ἄπολις ἂν γίγνοιτο ἐν ᾗ δικαστήρια μὴ καθεστῶτα εἴη κατὰ τρόπον· ἄφωνος δ' αὖ δικαστὴς ἡμῖν καὶ μὴ πλείω τῶν ἀντιδίκων ἐν ταῖς ἀνακρίσεσι φθεγγόμενος, καθάπερ ἐν ταῖς διαίταις, οὐκ ἄν ποτε ἱκανὸς γένοιτο περὶ τὴν τῶν δικαίων κρίσιν· ὧν ἕνεκα οὔτε πολλοὺς ὄντας ῥάδιον εὖ δικάζειν οὔτε ὀλίγους φαύλους. σαφὲς δὲ δή τό γε *) ἀμφισβητούμενον χρεὼν γίγνεσθαι * παρ' E ἑκατέρων, ὁ δὲ χρόνος ἅμα καὶ τὸ βραδὺ τό τε πολλάκις ἀνακρίνειν πρὸς τὸ φανερὰν γίγνεσθαι τὴν ἀμφισβήτησιν ξύμφορον· ὧν ἕνεκα πρῶτον μὲν εἰς γείτονας ἰέναι χρὴ τοὺς ἐπικαλοῦντας ἀλλήλοις καὶ τοὺς φίλους τε καὶ ξυνειδότας ὅτι μάλιστα τὰς ἀμφισβητουμένας πράξεις· ἐὰν δ' ἄρα μὴ * ἐν 767 τούτοις τις ἱκανὴν κρίσιν λαμβάνῃ, πρὸς ἄλλο δικαστήριον ἴτω· τὸ δὲ τρίτον, ἂν τὰ δύο δικαστήρια μὴ δύνηται διαλλάξαι, τέλος ἐπιθέτω τῇ δίκῃ. Τρόπον δή τινα καὶ τῶν δικαστηρίων αἱ καταστάσεις ἀρχόντων εἰσὶν αἱρέσεις· πάντα μὲν γὰρ ἄρχοντα ἀναγκαῖον καὶ δικαστὴν εἶναί τινων, δικαστὴς δὲ οὐκ ἄρχων, καί τινα τρόπον ἄρχων οὐ πάνυ φαῦλος γίγνεται τὴν τόθ' ἡμέραν ἥπερ ἂν κρίνων τὴν δίκην ἀποτελῇ. Θέντες δὴ καὶ τοὺς δικαστὰς ὡς ἄρχοντας * λέγω- B μεν τίνες ἂν εἶεν πρέποντες καὶ τίνων ἄρα δικασταὶ καὶ πόσοι ἐφ' ἕκαστον. κυριώτατον μὲν τοίνυν ἔστω δικαστήριον ὅπερ ἂν αὐτοὶ ἑαυτοῖς ἀποφήνωσιν ἕκαστοι, κοινῇ τινὰς ἑλόμενοι· δύο δὴ **) τῶν λοιπῶν ἔστω κριτήρια, τὸ μὲν ὅταν

---

*) γρ. δὲ ἀεὶ τό. **) ἴσ. δέ.

legum custodibus, imperato quinquennium, sexto autem anno eadem ratione alius ad hunc magistratum creator.

Si quis publicum magistratum gerens moritur antequam munus suum explevit, maiore quam triginta dierum spatio deficiente, eodem modo ad magistratum alium constituunto quibus haec cura convenit; et si quis pupillorum tutor mortuus est, cognati et praesentes a patre et matre usque ad consobrinos alium constituunto intra decem dies, alioquin mulctantor quisque drachma quotidie, dum elegerint tutorem.

Universa autem civitas non erit civitas nisi iudicia rite constituta fuerint; mutus vero iudex nec plura quam adversarii in quaestionibus loquens, quemadmodum in arbitriis, numquam satis faciet in iusti disquisitione; quocirca neque multi facile poterunt bene ius dicere neque pauci viles. declarari autem oportet ab utrisque id quod in controversiam vocatur, tempus vero simul et tarditas frequensque inquisitio ad declarandam controversiam conducunt; quocirca primum ad vicinos se convertere debent qui inter se accusant et ad amicos scientesque quam maxime rerum controversarum; quodsi apud hos iustam diiudicationem non accepit, ad aliud iudicium accedito; tertium autem, si duo iudicia non potuerunt controversiam dirimere, finem imponito liti. Quodammodo igitur etiam iudiciorum constitutiones magistratuum sunt creationes; quisque enim magistratus etiam iudex fit quorundam necesse est, iudex vero non est magistratus, etsi quodammodo magistratus haud sane vilis est eo die quo iudicans litem absolvit. ponentes igitur iudices pro magistratibus dicamus quinam sint convenientes, quarum rerum iudices et quot in quaque. maxime vero ratum erit iudicium quod sibi ipsi statuent litigantes, communiter aliquos eligentes; duo reliqua sunto iudicia, unum, si quis quem pri-

Z 2

τίς τινα ἰδιώτην ἰδιώτης, ἐπαιτιώμενος ἀδικεῖν αὐτόν, ἄγων
εἰς τὴν δίκην βούληται διακριθῆναι, τὸ δ' ὁπόταν τὸ δημό-
σιον ὑπό τινος τῶν πολιτῶν ἡγῆταί τις ἀδικεῖσθαι καὶ βου-
ληθῇ τῷ κοινῷ βοηθεῖν. * λεκτέον δ' ὁποῖοί τ' εἰσὶ καὶ C
τίνες οἱ κριταί. πρῶτον δὴ δικαστήριον γιγνέσθω κοινὸν ἅπα-
σι τοῖς τὸ τρίτον ἀμφισβητοῦσιν ἰδιώταις πρὸς ἀλλήλους,
γενόμενον τῇδέ πῃ. πάσας δὴ τὰς ἀρχάς, ὁπόσαι τε κατ'
ἐνιαυτὸν καὶ ὁπόσαι πλείω χρόνον ἄρχουσιν, ἐπειδὰν μέλλῃ
νέος ἐνιαυτὸς μετὰ θερινὰς τροπὰς τῷ ἐπιόντι μηνὶ γίγνε-
σθαι, ταύτης τῆς ἡμέρας τῇ πρόσθεν πάντας χρὴ τοὺς ἄρ-
χοντας ξυνελθεῖν εἰς ἓν ἱερὸν καὶ τὸν θεὸν ὀμόσαντας οἷον
ἀπάρξασθαι * πάσης ἀρχῆς ἕνα δικαστήν, ὃς ἂν ἐν ἀρχῇ ἑκά- D
στῃ ἄριστός τε εἶναι δόξῃ καὶ ἄριστ' ἂν καὶ ὁσιώτατα τὰς
δίκας τοῖς πολίταις αὐτῷ τὸν ἐπιόντα ἐνιαυτὸν φαίνηται
διακρίνειν. τούτων δὲ αἱρεθέντων γίγνεσθαι μὲν δοκιμασίαν
ἐν τοῖς ἑλομένοις *), ἐὰν δὲ ἀποδοκιμασθῇ τις, ἕτερον ἀν-
θαιρεῖσθαι κατὰ ταὐτά. τοὺς δὲ δοκιμασθέντας δικάζειν μὲν
τοῖς τἆλλα δικαστήρια φυγοῦσι, τὴν δὲ ψῆφον φανερὰν φέ-
ρειν. ἐπηκόους δ' εἶναι καὶ θεατὰς τούτων τῶν * δικῶν ἐξ E
ἀνάγκης μὲν βουλευτὰς καὶ τοὺς ἄλλους ἄρχοντας τοὺς ἑλο-
μένους αὐτούς, τῶν δὲ ἄλλων τὸν βουλόμενον. ἐὰν δέ τις
ἐπαιτιᾶταί τινα ἑκόντα ἀδίκως κρῖναι τὴν δίκην, εἰς τοὺς
νομοφύλακας ἰὼν κατηγορείτω· ὁ δὲ ὄφλων τὴν τοιαύτην
δίκην ὑπεχέτω μὲν τοῦ βλάβους τῷ βλαφθέντι τὸ ἥμισυ τί-
νειν, ἐὰν δὲ μείζονος ἄξιος εἶναι δόξῃ ζημίας, προστιμᾶν
τοὺς κρίναντας τὴν δίκην ὅ τι χρὴ πρὸς τούτῳ παθεῖν αὐτὸν
ἢ ἀποτίνειν τῷ κοινῷ καὶ τῷ τὴν δίκην δικασαμένῳ. περὶ
δὲ τῶν δημοσίων ἐγκλημάτων ἀναγκαῖον πρῶτον μὲν τῷ
* πλήθει μεταδιδόναι τῆς κρίσεως· οἱ γὰρ ἀδικούμενοι πάν- 768
τες εἰσίν, ὁπόταν τις τὴν πόλιν ἀδικῇ, καὶ χαλεπῶς ἂν ἐν
δίκῃ φέροιεν ἄμοιροι γιγνόμενοι τῶν τοιούτων διακρίσεων,
ἀλλ' ἀρχήν τε εἶναι χρὴ τῆς τοιαύτης δίκης καὶ τελευτὴν εἰς
τὸν δῆμον ἀποδιδομένην, τὴν δὲ βάσανον ἐν ταῖς μεγίσταις
ἀρχαῖς τρισίν, ἃς ἂν ὅ τε φεύγων καὶ ὁ διώκων ξυνομολο-

*) ἄλλ. ἑλομένοις αὐτοῖς.

vatum privatus, accusans iniuriae, in iudicium adducit remque volt diiudicari, alterum, quando rem publicam a civium quopiam arbitratur aliquis violari et commune volt auxilio iuvare. dicendum vero quales sint et quinam iudices. primum igitur iudicium esto commune omnibus tertio disceptantibus inter se privatis, hoc fere modo instituendum. omnes videlicet magistratus, quicumque per annum et quicumque longius per tempus in imperio sunt, quando novus annus post aestivum solstitium sequenti mense incepturus est, pridie eius diei igitur omnes oportet magistratus convenire unum in templum et iure iurando per deum dato quasi primitias offerentes ex quoque magistratu unum deligere iudicem, qui in magistratu quoque gesto optimus repertus fuerit et optime sanctissimeque causas civibus suis per sequentem annum videatur iudicaturus esse. his vero electis instituitor probatio apud eligentes, et si quis reiectus fuerit, alius eius loco eadem ratione eligendus, probati vero ius dicunto eis qui reliqua iudicia fugerunt, et suffragium apertum ferunto. auditores esse atque spectatores horum iudiciorum coguntor senatores et reliqui magistratus qui illos elegerunt, e ceteris quicumque volet. quodsi quis quem in eo accuset quod ultro iniuste rem iudicavit, ad legum custodes accedens accusato; qui reus peractus est poenam hanc subito ut damni dimidium ei qui damnum fecit persolvat, si vero maiore dignus esse videatur multa, qui causam iudicarunt aestimanto quid praeterea eum oporteat pati vel persolvere communi et accusatori. de publicis vero accusationibus necesse est primum multitudinem iudicii participem facere; iniuria enim affecti omnes sunt, si quis civitati iniuriam infert, et merito moleste ferent si nullam harum diiudicationum partem habebunt; imo initium huiusmodi iudicii et finem ad populum deferri oportet, exploratio autem apud summos tres magistratus instituenda, de quibus accusator et is qui litem intendit convenerint;

γῆτον· ἐὰν δὲ μὴ δύνησθον κοινωνῆσαι τῆς ὁμολογίας αὐ-
τοί, τὴν βουλὴν ἐπικρίνειν αὐτῶν τὴν αἵρεσιν ἑκατέρου.
* δεῖ δὲ καὶ δὴ τῶν ἰδίων δικῶν κοινωνεῖν κατὰ δύναμιν B
ἅπαντας· ὁ γὰρ ἀκοινώνητος ὢν ἐξουσίας τοῦ ξυνδικάζειν
ἡγεῖται τὸ παράπαν τῆς πόλεως οὐ μέτοχος εἶναι. διὰ ταῦτ'
οὖν δὴ καὶ κατὰ φυλὰς ἀναγκαῖον δικαστήριά τε γίγνεσθαι,
καὶ κλήρῳ δικαστὰς ἐκ τοῦ παραχρῆμα ἀδιαφθόρους ταῖς
δεήσεσι δικάζειν· τὸ δὲ τέλος κρίνειν πάντων τῶν τοιούτων
ἐκεῖνο τὸ δικαστήριον ὅ φαμεν εἴς γε ἀνθρωπίνην δύναμιν
ὡς οἷόν τε ἀδιαφθορώτατα παρεσκευάσθαι * τοῖς μὴ δυνα- C
μένοις μήτε ἐν τοῖς γείτοσι μήτε ἐν τοῖς φυλετικοῖς δικαστη-
ρίοις ἀπαλλάττεσθαι.

Νῦν δὴ περὶ μὲν δικαστήρια ἡμῖν, ἃ δή φαμεν οὔθ'
ὡς ἀρχὰς οὔθ' ὡς μὴ ῥᾴδιον εἰπόντα ἀναμφισβητήτως εἰ-
ρηκέναι, περὶ μὲν ταῦτα οἷον περιγραφή τις ἔξωθεν περιγε-
γραμμένη τὰ μὲν εἴρηκε, τὰ δ' ἀπολείπει σχεδόν· πρὸς γὰρ
τέλει νομοθεσίας ἡ δικῶν ἀκριβὴς νόμων θέσις ἅμα καὶ διαί-
ρεσις ὀρθότατα γίγνοιτ' ἂν μακρῷ. ταύταις μὲν * οὖν εἰρή- D
σθω πρὸς τῷ τέλει περιμένειν ἡμᾶς, αἱ δὲ περὶ τὰς ἄλλας
ἀρχὰς καταστάσεις σχεδὸν τὴν πλείστην εἰλήφασι νομοθεσίαν.
τὸ δὲ ὅλον καὶ ἀκριβὲς περὶ ἑνός τε καὶ πάντων τῶν κατὰ
πόλιν καὶ πολιτικὴν πᾶσαν διοικήσεων οὐκ ἔστι γενέσθαι σα-
φές, πρὶν ἂν ἡ διέξοδος ἀπ' ἀρχῆς τά τε δεύτερα καὶ τὰ
μέσα καὶ πάντα μέρη τὰ ἑαυτῆς ἀπολαβοῦσα πρὸς τέλος ἀφί-
κηται. νῦν μὴν ἐν τῷ παρόντι μέχρι τῆς τῶν ἀρχόντων αἱ-
ρέσεως * γενομένης τελευτὴ μὲν τῶν ἔμπροσθεν αὕτη γίγνοιτ' E
ἂν ἱκανή, νόμων δὲ θέσεως ἀρχὴ καὶ ἀναβολῶν ἅμα καὶ
ὄκνων οὐδὲν ἔτι δεομένη.

ΚΛ. Πάντως μοι κατὰ νοῦν, ὦ ξένε, τὰ ἔμπροσθεν
εἰρηκώς, τὴν ἀρχὴν νῦν τελευτῇ *) προσάψας περὶ τῶν τε
εἰρημένων καὶ τῶν μελλόντων ῥηθήσεσθαι, ταῦτα ἔτι μᾶλλον
ἐκείνων εἴρηκας φιλίως.

ΑΘ. * Καλῶς τοίνυν ἂν ἡμῖν ἡ πρεσβυτῶν ἔμφρων 769
παιδιὰ μέχρι δεῦρ' εἴη τὰ νῦν διαπεπαισμένη.

---

*) γρ. ἀρχὴν, τελευτῇ.

quodſi de re conſentire ipſi nequeant, ſenatus decernito utriusque eorum electionem. oportet vero etiam privatarum cauſarum participes fieri pro viribus omnes; cui enim adimitur poteſtas cum aliis iudicandi, is cenſet omnino civitatis ſe non eſſe participem. quocirca etiam per tribus neceſſe eſt iudicia fieri et ſorte iudices e veſtigio precibus incorruptos iudicare; tandem vero iudicato de omnibus his illud iudicium quod dicimus quam poſſint vires humanae incorruptiſſime conſtitutum eſſe eis quorum lites neque in vicinis neque in tribuariis iudiciis poſſint componi.

Nunc igitur de iudiciis, quae quidem magiſtratus eſſe neque affirmare neque negare facile quisquam ſine controverſia poterit, tamquam adumbratio quaedam extrinſecus deſcripta alia retulit, alia praetermiſit fere; ad finem enim legum lationis accurata legum iudicialium expoſitio ſimul et diſtinctio longe ſe habebit rectiſſime. his igitur dictum eſto ut ad finem nos exſpectent, reliquorum vero magiſtratuum conſtitutiones plurimam fere acceperunt legum lationem. tota autem et accurata unius et omnium quae ad civitatem civilemque adminiſtrationem ſpectant expoſitio non poteſt prius manifeſta fieri, quam explicatio ab initio ſecundas et medias et omnes ſuas partes complexa ad finem pervenit. nunc ſane in praeſentia usque ad magiſtratuum creationem finis ſuperiorum hic ſatis faciet, et legum ſcribendarum principium dilatione cunctationeque nihil indigebit.

Cl. Prorſus mihi ex animi ſententia, hoſpes, quum ſuperiora dixeris, initium nunc cum fine coniungens de rebus iam memoratis et porro memorandis, haec magis etiam quam illa protuliſti amice.

Ath. Praeclare igitur nobis ſenum prudens ludus adhuc erit nunc commiſſus.

ΚΛ. Καλὴν τὴν σπουδὴν ἔοικας δηλοῦν τῶν ἀνδρῶν.

ΑΘ. Εἰκός γε· τόδε δ' ἐννοήσωμεν, εἰ σοὶ δοκεῖ καθάπερ ἐμοί.

ΚΛ. Τὸ ποῖον δή; καὶ περὶ τίνων;

ΑΘ. Οἶσθ' ὅτι καθάπερ ζωγράφων *) οὐδὲν πέρας ἔχειν ἡ πραγματεία δοκεῖ περὶ ἑκάστων τῶν ζώων, ἀλλ' ἢ τοῦ χραίνειν ἢ ἀποχραίνειν, ἢ ὅ τι δή ποτε καλοῦσι * τὸ B τοιοῦτον οἱ ζωγράφων παῖδες, οὐκ ἄν ποτε δοκεῖ παύσασθαι κοσμοῦσα, ἐπίδοσιν μηκέτ' ἔχειν εἰς τὸ καλλίω τε καὶ φανερώτερα γίγνεσθαι τὰ γεγραμμένα.

ΚΛ. Σχεδὸν ἐννοῶ ἀκούων καὶ αὐτὸς ταῦτα ἃ λέγεις, ἐπεὶ ἐντριβής γε οὐδαμῶς γέγονα τῇ τοιαύτῃ τέχνῃ.

ΑΘ. Καὶ οὐδέν γε ἐβλάβης· χρησώμεθά γε μὴν τῷ νῦν παρατυχόντι περὶ αὐτῆς ἡμῖν λόγῳ τὸ τοιόνδε, ὡς, εἴ ποτέ τις ἐπινοήσειε γράψαι τε ὡς κάλλιστον * ζῶον καὶ τοῦτ' C αὖ μηδέποτε ἐπὶ τὸ φαυλότερον, ἀλλ' ἐπὶ τὸ βέλτιον ἴσχειν τοῦ ἐπιόντος ἀεὶ χρόνου, ξυννοεῖς ὅτι θνητὸς ὤν, εἰ μή τινα καταλείψει διάδοχον τοῦ ἐπανορθοῦν τε, ἐάν τι σφάλληται τὸ ζῶον ὑπὸ χρόνων, καὶ τὸ παραλειφθὲν ὑπὸ τῆς ἀσθενείας τῆς ἑαυτοῦ πρὸς τὴν τέχνην οἷός τε εἰς τὸ πρόσθεν ἔσται φαιδρύνων ποιεῖν ἐπιδιδόναι, σμικρόν τινα χρόνον αὐτῷ πόνος παραμενεῖ πάμπολυς;

ΚΛ. Ἀληθῆ.

ΑΘ. Τί * οὖν; ἆρ' οὐ τοιοῦτον δοκεῖ σοι τὸ τοῦ νομοθέτου βούλημα εἶναι; πρῶτον μὲν γράψαι τοὺς νόμους πρὸς τὴν ἀκρίβειαν κατὰ δύναμιν ἱκανῶς, ἔπειτα προϊόντος τοῦ χρόνου καὶ τῶν δοξάντων ἔργῳ πειρώμενον ἆρ' οἴει τινὰ οὕτως ἄφρονα γεγονέναι νομοθέτην, ὥστ' ἀγνοεῖν ὅτι πάμπολλα ἀνάγκη παραλείπεσθαι τοιαῦτα, ἃ δεῖ τινὰ ξυνεπόμενον ἐπανορθοῦν, ἵνα μηδαμῇ χείρων, βελτίων δὲ ἡ πολιτεία καὶ ὁ κόσμος ἀεὶ γίγνηται περὶ * τὴν ᾠκισμένην αὐτῷ E πόλιν;

ΚΛ. Εἰκός, πῶς γὰρ οὔ; βούλεσθαι πάντα ὁντινοῦν τὸ τοιοῦτον.

---

*) ἴσ. ὅτι ζωγράφων.

Cl. Praeclarum ſane virorum ſtudium videris declarare.

Ath. Conſentaneum vero; hoc autem perſpiciamus an tibi videatur, quemadmodum mihi.

Cl. Quidnam? et quanam de re?

Ath. Scis pictorum operam non videri finem habere in quaque pictura, ſed vel colorare vel lumen umbra temperare vel quomodocumque pictorum liberi nomine utuntur, numquam videri deſiſtere exornantem, ut incrementum iam non habeat quo pulchriores et expreſſiores fiant imagines.

Cl. Fere cognoſco quum ipſe quoque audiverim haec quae dicis, quamquam nullo equidem modo verſatus ſum in hac arte.

Ath. Nihil vero damni contraxiſti; utemur autem ſermone de ea nunc oblato ita: ſi quis aliquando cogitaverit quam pulcherrimam imaginem pingere, quae numquam deterius, ſed melius ſe habitura ſit ſequente quoque tempore, intelligisne, quum mortalis ſit, niſi quem relinquat ſucceſſorem qui emendet, ſi quid detrimenti accipiat pictura per tempora, et praetermiſſum ab imbecillitate artis ſuae ſupplens exornansque poſſit efficere ut ultra progrediatur, breve quoddam tempus ei opus duraturum eſſe admodum laborioſum?

Cl. Vero.

Ath. Quid igitur? nonne talis videtur tibi legum latoris voluntas eſſe? primum quidem ut ſcribat leges pro viribus ſatis accurate, deinde procedente tempore, ſi quae viſa ſibi fuerint, reapſe experiatur, num opinaris tam imprudentem quemquam eſſe legum latorem ut neſciat permulta huiusmodi neceſſario relinqui, quae oporteat aliquem ſequentem emendare, ut nequaquam deterior. ſed melior ſemper civitas et ordo ornatusque urbis ab ipſo conſtitutae evadat?

Cl. Conſentaneum, quidni? velle hoc unumquemque.

ΑΘ. Οὐκοῦν, εἴ τίς τινα μηχανὴν ἔχοι πρὸς τοῦτο ἔργῳ καὶ λόγοις, τίνα τρόπον διδάξειεν ἂν ἕτερον εἴτε μείζονα εἴτε ἐλάττω περὶ τοῦτ' ἔχειν ἔννοιαν, ὅπως χρὴ φυλάττειν καὶ ἐπανορθοῦν νόμους, οὐκ ἄν ποτε λέγων ἀπείποι τὸ τοιοῦτον πρὶν ἐπὶ τέλος ἐλθεῖν;

ΚΛ. * Πῶς γὰρ ἄν; 770

ΑΘ. Οὐκοῦν ἐν τῷ νῦν παρόντι ποιητέον ἐμοὶ καὶ σφῷν τοῦτο.

ΚΛ. Τὸ ποῖον δὴ λέγεις;

ΑΘ. Ἐπειδὴ νομοθετεῖν μὲν μέλλομεν, ᾕρηνται δὲ ἡμῖν νομοφύλακες, ἡμεῖς δ' ἐν δυσμαῖς τοῦ βίου, οἱ δ' ὡς πρὸς ἡμᾶς νέοι, ἅμα μέν, ὥς φαμεν, δεῖ νομοθετεῖν ἡμᾶς, ἅμα δὲ πειρᾶσθαι ποιεῖν καὶ τούτους αὐτοὺς νομοθέτας τε καὶ νομοφύλακας εἰς τὸ δυνατόν.

ΚΛ. Τί μήν, εἴπερ οἷοί τέ γ' ἐσμὲν * ἱκανῶς; B

ΑΘ. Ἀλλ' οὖν πειρατέα γε καὶ προθυμητέα.

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Λέγωμεν δὴ πρὸς αὐτούς· Ὦ φίλοι σωτῆρες νόμων,
ἡμεῖς περὶ ἑκάστων ὧν τίθεμεν τοὺς νόμους πάμπολλα πα-
ραλείψομεν· ἀνάγκη γάρ *)· οὐ μὴν ἀλλ' ὅσα γε μὴ σμι-
κρὰ καὶ τὸ ὅλον εἰς δύναμιν οὐκ ἀνήσομεν ἀπεριήγητον κα-
θάπερ τινὶ περιγραφῇ. τοῦτο δὲ δεήσει ξυμπληροῦν ὑμᾶς τὸ
περιηγηθέν. ὅποι δὲ βλέποντες δράσετε * τὸ τοιοῦτον, ἀκού- C
ειν χρή. Μέγιλλος μὲν γὰρ καὶ ἐγὼ καὶ Κλεινίας εἰρήκαμέν
τε αὐτὰ ἀλλήλοις οὐκ ὀλιγάκις ὁμολογοῦμέν τε λέγεσθαι
καλῶς· ὑμᾶς τε ἡμῖν βουλόμεθα ξυγγνώμονάς τε ἅμα καὶ
μαθητὰς γίγνεσθαι, βλέποντας πρὸς ταῦτα εἰς ἅπερ ἡμεῖς
ξυνεχωρήσαμεν ἀλλήλοις τὸν νομοφύλακά τε καὶ νομοθέτην
δεῖν βλέπειν. ἦν δὲ ἡ ξυγχώρησις ἓν ἔχουσα κεφάλαιον, ὅπως
ποτὲ ἀνὴρ ἀγαθὸς γίγνοιτ' ἂν τὴν ἀνθρώπῳ * προσήκουσαν D
ἀρετὴν τῆς ψυχῆς ἔχων ἔκ τινος ἐπιτηδεύματος ἤ τινος ἤθους
ἢ ποίας κτήσεως ἢ ἐπιθυμίας ἢ δόξης ἢ μαθημάτων ποτέ
τινων, εἴτε ἄρρην τις τῶν ξυνοικούντων οὖσα ἡ φύσις εἴτε

*) γρ. ΚΛ. Ἀνάγκη γάρ.

Ath. Nonne, si quis machinationem quandam haberet vel in re vel in verbis positam qua alterum docere posset sive maiorem sive minorem hoc cogitare quomodo conservari et emendari oporteat leges, numquam lassitudine confectus desineret hoc dicere priusquam ad finem perveniret?

Cl. Quî enim desineret?

Ath. Nonne in praesentia hoc faciundum mihi et vobis?

Cl. Quidnam dicis?

Ath. Quoniam leges ferre volumus, creati nobis sunt legum custodes, nos porro in occasum vitae vergimus, illi vero ad nos iuvenes sunt, simul, ut dicimus, oportet nos leges ferre, et simul conari hos quoque ipsos legum latores est custodes pro viribus efficere.

Cl. Quidni, si satis ad id valemus?

Ath. At vero conandum et studendum.

Cl. Quippini?

Ath. Dicamus igitur eos alloquentes O cari custodes legum, nos de quacumque re leges scribimus permulta praetermittemus, idque necessario; verumtamen quaecumque non levia sunt et rem universam pro viribus non mittemus nulla quasi adumbratione circumscriptam. hanc vero vos oportebit explere descriptionem; et quorsum spectantes hoc facturi sitis, audire debetis. Megillus enim et ego et Clinias haud raro inter nos de his disseruimus et confessi sumus bene dici; vos autem nobis volumus ut indulgeatis simulque ut discipuli obediatis, spectantes ea quae inter nos concessimus legum et custodi et latori spectanda esse. continebatur autem concessio una hac summa, quomodocumque vir bonus fieri posset. virtutem homini convenientem nacto vel e studio aliquo vel e consuetudine vel possessione qualiscumque esset vel cupiditate vel opinione vel disciplinis cuiuscumque essent generis, sive mascula quaedam ex una habitantibus natura sive feminea esset,

θήλεια, νέων ἢ γερόντων, ὅπως εἰς ταὐτὸν τοῦτο ὃ λέγο-
μεν τεταμένη *) σπουδὴ πᾶσα ἔσται διὰ παντὸς τοῦ βίου,
τῶν δ' ἄλλων ὁπόσα ἐμπόδια τούτοις μηδὲν προτιμῶν φα-
νεῖται μηδ' ὁντινοῦν, τελευτῶν δὲ καὶ πόλεως, ἐὰν * ἀνά- E
στατον ἀνάγκη φαίνηται γίγνεσθαι **) πρὶν ἐθέλειν δούλειον
ὑπομείνασα ***) ζυγὸν ἄρχεσθαι ὑπὸ χειρόνων, ἢ λείπειν
φυγῇ τὴν πόλιν· ὡς πάντα τὰ τοιαῦτ' ἄρ' ἔσθ' ὑπομενετέον
πάσχοντας πρὶν ἀλλάξασθαι πολιτείαν ἣ χείρους ἀνθρώπους
πέφυκε ποιεῖν. ταῦτα ἡμεῖς τε ἔμπροσθεν ξυνωμολογησάμεθα,
καὶ νῦν ὑμεῖς ἡμῶν εἰς ταῦτα ἑκάτερα βλέποντες ἐπαινεῖτε
καὶ ψέγετε τοὺς νόμους, * ψέγετε μὲν ὅσοι μὴ ταῦτα δυνα- 771
τοί, τοὺς δὲ δυνατοὺς ἀσπάζεσθέ τε καὶ φιλοφρόνως δεχό-
μενοι ζῆτε ἐν αὐτοῖς· τὰ δ' ἄλλα ἐπιτηδεύματα καὶ πρὸς
ἄλλα τείνοντα τῶν ἀγαθῶν λεγομένων χαίρειν χρὴ προσαγο-
ρεύειν.

Ἀρχὴ δὲ ἔστω τῶν μετὰ ταῦτα ἡμῖν νόμων ἥδε τις, ἀφ'
ἱερῶν ἠργμένη. τὸν ἀριθμὸν γὰρ δὴ δεῖ πρῶτον ἀναλαβεῖν
ἡμᾶς τὸν τῶν πεντακισχιλίων καὶ τετταράκοντα, ὅσας εἶχέ τε
καὶ ἔχει τομὰς προσφόρους ὅ τε ὅλος * ἅμα καὶ ὁ κατὰ φυ- B
λάς, ὃ δὴ τοῦ παντὸς ἔθεμεν δωδεκατημόριον, ἓν καὶ εἴκο-
σιν εἰκοσάκις ὀρθότατα φύν. ἔχει δὲ διανομὰς †) δώδεκα μὲν
ὁ πᾶς ἀριθμὸς ἡμῖν, δώδεκα δὲ καὶ ὁ τῆς φυλῆς. ἑκάστην
δὴ τὴν μοῖραν διανοεῖσθαι χρεὼν ὡς οὖσαν ἱερὸν θεοῦ δῶ-
ρον, ἑπομένην τοῖς μησὶ καὶ τῇ τοῦ παντὸς περιόδῳ. διὸ καὶ
πᾶσαν πόλιν ἄγει μὲν τὸ ξύμφυτον ἱεροῦν αὐτάς, ἄλλοι δὲ
ἄλλων ἴσως ὀρθότερον ἐνείμαντό τε καὶ εὐτυχέστερον ἐθείω-
σαν * τὴν διανομήν. ἡμεῖς δὲ οὖν νῦν φαμὲν ὀρθότατα προη- C
ρῆσθαι τὸν τῶν πεντακισχιλίων καὶ τετταράκοντα ἀριθμόν,
ὃς πάσας τὰς διανομὰς ἔχει μέχρι τῶν δώδεκα ἀπὸ μιᾶς ἀρ-
ξάμενος πλὴν ἑνδεκάδος· αὕτη δ' ἔχει σμικρότατον ἴαμα· ἐπὶ
θάτερα γὰρ ὑγιὴς γίγνεται δυοῖν ἑστίαιν ἀπονεμηθείσαιν ††)·
ὡς δ' ἐστὶ ταῦτα ἀληθῶς ὄντα, κατὰ σχολὴν οὐκ ἂν πολὺς

*) γρ. τεταγμένη.
) ἴσ. τελευτῶν δὲ καὶ πόλεως ἀνάστατος, ἐὰν ἀνάγκη φαίνηται, γίγνεσθαι. *) ἴσ. ὑπομείνας.
†) ἴσ. φύν, ἔχει διανομάς. ††) ἴσ. ἀποτμηθείσαιν.

iuvenum aut ſenum, ad idem hoc quod dicimus omne ſtudium omnem per vitam intendendum eſſe, reliquorum vero quaecumque his impedimento eſſent nihil quemquam oportere anteponere, et tandem quemque debere etiam expulſionem ex urbe ſustinere ſi neceſſarium videretur, priusquam vellet ſervile iugum ſubire et a deterioribus regi, vel fuga relinquere urbem; nam omnia haec ſunt ſustinenda et patienda potius quam civitas mutanda eaque toleranda quae deteriores efficere ſolet homines. haec et antea inter nos convenerunt et nunc vos haec utraque ſpectantes laudate et vituperate leges noſtras, vituperate quidem quaecumque ad hoc efficiendum non valent, eas vero quae id valent amplectimini et comiter accipientes vivite in eis; reliqua vero ſtudia et ad alia quae bona dicuntur ſpectantia miſſa ſunt faciunda.

Initium earum legum quae deinde nobis ſcribendae ſunt hoc fere eſto a ſacris ductum. numerum videlicet oportet primum repeti nos quinque millium et quadraginta quot habuerit et habeat diviſiones accommodatas univerſus ſimul et ſecundum tribus; etenim quod ad duodecimam totius partem quam poſuimus attinet, quae eſt accuratiſſime unum et viginti, vicies multiplicatum, et univerſus numerus et tribus numerus eam habet. quamque igitur partem cogitari oportet ſacrum eſſe dei munus, ſequentem menſes et univerſi circuitum. quapropter etiam univerſam civitatem ducit quidem innatum eam conſecrans, alii vero aliis fortaſſe rectius distribuerunt feliciusque conſecrarunt distributionem. ac nos quidem nunc dicimus rectiſſime elegiſſe quinque millium et quadraginta numerum, qui omnes habet diviſiones a prima ad duodecimam, undecima excepta; haec autem habet leviſſimam medelam; in alteram enim partem ſana redditur duobus focis ſublatis. quae quidem vere ſe ſic habere, ſermo per otium collatus haud longus oſtendet. confidentes igitur nunc

ἐπιδείξειε μῦθος. πιστεύσαντες δὴ τὰ νῦν τῇ παρούσῃ φήμῃ
* καὶ λόγῳ νείμωμέν τε ταύτην *), καὶ ἑκάστῃ μοίρᾳ θεὸν D
ἢ θεῶν παῖδα ἐπιφημίσαντες, βωμούς τε καὶ τὰ τούτοις προς-
ήκοντα ἀποδόντες, θυσιῶν πέρι ξυνόδους ἐπ' αὐτοῖς ποιώ-
μεθα δύο τοῦ μηνός, δώδεκα μὲν τῇ τῆς φυλῆς διανομῇ,
δώδεκα δὲ αὐτῷ τῷ τῆς πόλεως διαμερισμῷ, θεῶν μὲν δὴ
πρῶτον χάριτος ἕνεκα καὶ τῶν περὶ θεούς, δεύτερον δὲ ἡμῶν
αὐτῶν οἰκειότητός τε πέρι καὶ γνωρίσεως ἀλλήλων, ὥς φαῖ-
μεν ἄν, καὶ ὁμιλίας * ἕνεκα πάσης. πρὸς γὰρ δὴ τὴν τῶν E
γάμων κοινωνίαν καὶ ξύμμιξιν ἀναγκαίως ἔχει τὴν ἄγνοιαν
ἐξαιρεῖν, παρ' ὧν τέ τις ἄγεται καὶ ἃ **) καὶ οἷς ἐκδίδωσι,
περὶ παντὸς ποιούμενον ὅτι μάλιστα τὸ μὴ σφάλλεσθαι μη-
δαμῶς ἐν τοῖς τοιούτοις κατὰ τὸ δυνατόν. τῆς οὖν τοιαύτης
σπουδῆς ἕνεκα χρὴ καὶ τὰς παιδιὰς ποιεῖσθαι χορεύοντάς τε
καὶ χορευούσας κόρους καὶ κόρας, * καὶ ἅμα δὴ θεωροῦν- 772a
τάς τε καὶ θεωρουμένους μετὰ λόγου τε καὶ ἡλικίας τινὸς
ἐχούσης εἰκυίας προφάσεις, γυμνοὺς καὶ γυμνὰς μέχριπερ αἰ-
δοῦς σώφρονος ἑκάστων. τούτων δ' ἐπιμελητὰς πάντων καὶ
κοσμητὰς τοὺς τῶν χορῶν ἄρχοντας γίγνεσθαι καὶ νομοθέτας
μετὰ τῶν νομοφυλάκων, ὅσον ἂν ἡμεῖς ἐκλείπωμεν τάττον-
τας. ἀναγκαῖον δέ, ὅπερ εἴπομεν, περὶ τὰ τοιαῦτα ***) ὅσα
σμικρὰ καὶ πολλὰ νομοθέτην * μὲν ἐκλείπειν, τοὺς δ' ἐμ- B
πείρους ἀεὶ κατ' ἐνιαυτὸν γιγνομένους αὐτῶν ἀπὸ τῆς χρείας
μανθάνοντας τάττεσθαι καὶ ἐπανορθουμένους κινεῖν κατ' ἐνιαυ-
τόν, ἕως ἂν ὅρος ἱκανὸς δόξῃ τῶν τοιούτων νομίμων καὶ
ἐπιτηδευμάτων γεγονέναι. χρόνος μὲν οὖν μέτριος ἅμα καὶ
ἱκανὸς γίγνοιτ' ἂν τῆς ἐμπειρίας δεκαέτηρος θυσιῶν τε καὶ
χορειῶν, ἐπὶ πάντα καὶ ἕκαστα ταχθείς· ζῶντος μὲν τοῦ τά-
ξαντος νομοθέτου κοινῇ, τέλος * δὲ σχόντος αὐτὰς ἑκάστας C
τὰς ἀρχὰς εἰς τοὺς νομοφύλακας εἰςφερούσας τὸ παραλειπό-
μενον τῆς αὐτῶν ἀρχῆς ἐπανορθοῦσθαι, μέχριπερ ἂν τέλος
ἔχειν ἕκαστον δόξῃ τοῦ καλῶς ἐξειργάσθαι· τότε τε ἀκίνητα
θεμένους ἤδη χρῆσθαι μετὰ τῶν ἄλλων νόμων, οὓς ἔταξε

---

*) ἴσ. αὐτήν. **) ἴσ. ἦν.
***) γρ. περὶ πάντα τὰ τοιαῦτα. ἄλλ. περὶ τὰ τοιαῦτα πάντα.

praesenti famae et orationi dividamus eam, et quamque partem deo vel deorum filio consecrantes arasque et cetera his convenientia dicantes sacrificiorum causa conventus eis constituamus duos quoque mense, duodecim tribus divisioni et duodecim ipsi civitatis distributioni, iique primum ob deorum rerumque ad deos spectantium gratiam peragantur, secundo propter nostram ipsorum consuetudinem mutuamque cognitionem, ut dixerimus, et commercii universi causa. nam ad nuptiarum communitatem et coniunctionem necessarium est nosse a quibus quis uxorem ducat et quam vel quibus nuptum det, et ante omnia id agendum, quoad eius fieri potest ne ullo modo in his fallamur. huius igitur rei seriae causa oportet etiam ludos instituere saltantes pueros et puellas, simulque spectatos, ratione adstipulante et aetate fere consentaneas praebente excusationes, nudos et nudas usque ad moderatum cuiusque pudorem. horum curatores omnium et moderatores chororum praefecti sunto et legum latores cum legum custodibus, quantum nos reliquimus, constituentes. necesse autem est, quod diximus, his in rebus quaecumque levia et multa legis latorem quidem praetermittere, peritos vero quotannis ex usu discentes constituere et emendando mutare, dum terminus iustus videatur huiusmodi legum et studiorum pactus esse. tempus autem moderatum et iustum erit experientiae decenne, quod ad sacrificia et choreas attinet, ad omnia et singula statutum; ac vivente quidem legum latore qui hoc constituit communiter, finito autem illo ipsos magistratus singulos ad legum custodes oportet referre de magistratus sui defectione eamque corrigere, donec ad suam quodque perfectionem videatur adductum esse; tum immutata haec ponenda et cum reliquis legibus adhibenda, quas posuit ab initio

κατ' ἀρχὰς ὁ θεὶς αὐτοῖς νομοθέτης, ὧν πέρι κινεῖν μὲν
ἑκόντας μηδέποτε μηδέν. εἰ δέ τις ἀνάγκη δόξειέ ποτε κα-
ταλαβεῖν, πάσας μὲν τὰς * ἀρχὰς χρὴ ξυμβούλους, πάντα D
δὲ τὸν δῆμον καὶ πάσας θεῶν μαντείας ἐπελθόντας, ἐὰν
ξυμφωνῶσι πάντες, οὕτω κινεῖν, ἄλλως δὲ μηδέποτε μηδα-
μῶς, ἀλλὰ τὸν κωλύοντα ἀεὶ κατὰ νόμον κρατεῖν. Ὁπόθεν *)
τις οὖν καὶ ὁπηνίκα τῶν πέντε καὶ εἴκοσι γεγονότων ἔτη
σκοπῶν καὶ σκοπούμενος ὑπ' ἄλλων κατὰ νοῦν ἑαυτῷ καὶ
πρέποντα εἰς παίδων κοινωνίαν καὶ γένεσιν ἐξευρηκέναι πι-
στεύει, γαμείτω μὲν πᾶς ἐντὸς τῶν πέντε * καὶ τριάκοντα E
ἐτῶν, τὸ δὲ πρέπον καὶ τὸ ἁρμόττον ὡς χρὴ ζητεῖν, πρῶτον
ἐπακουσάτω· δεῖ γάρ, ὥς φησι Κλεινίας, ἔμπροσθεν τοῦ νό-
μου προοίμιον οἰκεῖον ἑκάστῳ προτιθέναι.

ΚΛ. Κάλλιστα, ὦ ξένε, διεμνημόνευσας, ἔλαβές τε τοῦ
λόγου καιρὸν καὶ μάλ' ἐμοὶ δοκοῦντ' εἶναι ξύμμετρον.

ΑΘ. Εὖ λέγεις. Ὦ παῖ τοίνυν, φῶμεν ἀγαθῶν πατέ-
ρων φύντι, * τοὺς παρὰ τοῖς ἔμφροσιν εὐδόξους γάμους 773
χρὴ γαμεῖν, οἵ σοι **) παραινοῖεν ἂν μὴ φεύγειν τὸν τῶν
πενήτων μηδὲ τὸν τῶν πλουσίων διώκειν διαφερόντως γά-
μον, ἀλλ' ἐὰν τἄλλα ἰσάζῃ, τὸν ὑποδεέστερον ἀεὶ τιμῶντα
εἰς τὴν κοινωνίαν ξυνιέναι· τῇ τε γὰρ πόλει ξύμφορον ἂν
εἴη ταύτῃ ταῖς τε ξυνιούσαις ἑστίαις· τὸ γὰρ ὁμαλὸν καὶ
ξύμμετρον ἀκράτου μυρίῳ διαφέρει πρὸς ἀρετήν. κοσμίων
τε ***) πατέρων χρὴ προθυμεῖσθαι γίγνεσθαι * κηδεστὴν τὸν B
αὑτῷ ξυνειδότα ἰταμώτερον ἅμα καὶ θᾶττον τοῦ δέοντος πρὸς
πάσας τὰς πράξεις φερόμενον· τὸν δ' ἐναντίως πεφυκότα
ἐπὶ τἀναντία χρὴ κηδεύματα πορεύεσθαι. καὶ κατὰ παντὸς
εἷς ἔστω μῦθος γάμου· τὸν γὰρ τῇ πόλει δεῖ ξυμφέροντα
μνηστεύειν γάμον ἕκαστον, οὐ τὸν ἥδιστον αὑτῷ· φέρεται
δέ πως πᾶς ἀεὶ κατὰ φύσιν πρὸς τὸν ὁμοιότατον αὑτῷ,
ὅθεν ἀνώμαλος ἡ πόλις ὅλη γίγνηται χρήμασί τε καὶ τρόπων
ἤθεσιν· * ἐξ ὧν ἃ μὴ βουλόμεθα ξυμβαίνειν ἡμῖν, καὶ μά- C
λιστα ξυμβαίνει ταῖς πλείσταις πόλεσι. ταῦτα δὴ †) διὰ λό-

*) ἄλλ. Ὁπότε. **) γρ. ὅσοι.
***) ἴσ. δή. †) ἴσ. δέ.

qui eas constituit legum lator, de quibus nemini ultro quicquam mutandum; sin autem necessitas videatur aliquando incidisse, omnes oportet magistratus hac de re consultare totumque populum et ad omnia deorum oracula accedentes, si consenserint omnia, tum mutare, aliter vero nullo umquam modo, sed impediens quisque ex lege vincito. Undecumque vero quispiam et quando quinque et viginti annos natus spectans et spectatus ab aliis ex animi sententia sibi convenientem credit puellam reperisse ad liberorum communitatem et procreationem, uxorem ducito quisque intra quinque et triginta annos, convenientem vero et accommodatam quomodo oporteat quaeri, primum audito; par est enim, ut ait Clinias, legi cuique prooemium consentaneum praeponere.

Cl. Optime, hospes, commemorasti et sermonis opportunitatem arripuisti quae admodum mihi videtur accommodata esse.

Ath. Bene dicis. O puer (ita enim alloquamur bonis parentibus natum), nuptias te coniungere oportet prudentibus probatas, qui tibi suadebunt ne fugias pauperum neque divitum secteris praecipue matrimonium, sed, ut, si cetera aequalia sint, egentiorem semper praeferas ad nuptias conciliandas; civitati enim hoc conducet et focis conciliatis; nam aequale et moderatum immoderato mirum quam praestat ad virtutem. modestorum igitur parentum generum fieri studebit qui sibi conscius est se magis temere et celerius quam par est ad omnia suscipienda ferri; contrario autem modo comparatum contrarias inire oportet affinitates. et de omnibus nuptiis unus esto sermo: quemque oportere nuptias coniungere civitati utiles, non sibi iucundissimas; fertur enim quodammodo quisque per se ad simillimum sibi, unde inaequalis civitas universa exsistit opibus ac moribus; ex quo quae nolumus nobis accidere, ea maxime accidunt plurimis urbibus. haec vero oratione pro lege

γου μὲν νόμῳ προςτάττειν, μὴ γαμεῖν πλούσιον πλουσίου μηδὲ πολλὰ δυνάμενον πράττειν ἄλλου τοιούτου, θάττους δὲ ἤθεσι πρὸς βραδυτέρους καὶ βραδυτέρους πρὸς θάττους ἀναγκάζειν τῇ τῶν γάμων κοινωνίᾳ πορεύεσθαι, πρὸς τῷ γελοῖα εἶναι καὶ θυμὸν ἂν ἐγεῖραι *) πολλοῖς· οὐ γὰρ ῥᾴδιον ἐννοεῖν ὅτι πόλιν εἶναι δεῖ δίκην * κρατῆρος κεκραμένην, οὗ D
μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, κολαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ καλὴν κοινωνίαν λαβὼν ἀγαθὸν πῶμα καὶ μέτριον ἀπεργάζεται. τοῦτ' οὖν γιγνόμενον ἐν τῇ τῶν παίδων μίξει διορᾶν, ὡς ἔπος εἰπεῖν, δυνατὸς οὐδείς. τούτων δὴ χάριν ἐᾶν μὲν νόμῳ τὰ τοιαῦτα ἀναγκαῖον, ἐπᾴδοντα δὲ πείθειν πειρᾶσθαι τὴν τῶν παίδων ὁμαλότητα αὐτῶν αὐτοῖς τῆς τῶν γάμων ἰσότητος * ἀπλήστου χρημάτων οὔσης E
περὶ πλείονος ἕκαστον ποιεῖσθαι, καὶ δι' ὀνείδους ἀποτρέπειν τὸν περὶ τὰ χρήματα ἐν τοῖς γάμοις ἐσπουδακότα, ἀλλὰ μὴ γραπτῷ νόμῳ βιαζόμενον. Περὶ γάμων δὴ ταῦτ' ἔστω παραμύθια λεγόμενα, καὶ δὴ καὶ τὰ ἔμπροσθεν τούτων ῥηθέντα, ὡς χρὴ τῆς ἀειγενοῦς φύσεως ἀντέχεσθαι τῷ παῖδας παίδων καταλείποντα ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι. * πάντα οὖν ταῦτα καὶ ἔτι πλείω τις ἂν εἴποι περὶ 774
γάμων, ὡς χρὴ γαμεῖν, προοιμιαζόμενος ὀρθῶς. ἂν δ' ἄρα τις μὴ πείθηται ἑκών, ἀλλότριον δὲ αὑτὸν καὶ ἀκοινώνητον ἐν τῇ πόλει ἔχῃ καὶ ἄγαμος ὢν γένηται πεντεκαιτριακοντούτης, ζημιούσθω κατ' ἐνιαυτὸν ἕκαστον, ὁ μέγιστον μὲν τίμημα κεκτημένος ἑκατὸν δραχμαῖς, ὁ δὲ τὸ δεύτερον ἑβδομήκοντα, τρίτον δὲ ἑξήκοντα, ὁ δὲ τὸ τέταρτον τριάκοντα· τοῦτο δ' ἔστω τῆς Ἥρας ἱερόν· * ὁ δὲ μὴ ἐκτίνων κατ' ἐνιαυ- B
τὸν δεκαπλάσιον ὀφειλέτω· πραττέσθω δὲ ὁ ταμίας τῆς θεοῦ, μὴ ἐκπράξας δὲ αὐτὸς ὀφειλέτω, καὶ ἐν ταῖς εὐθύναις τοῦ τοιούτου λόγον ὑπεχέτω πᾶς. εἰς μὲν οὖν χρήματα ὁ μὴ θέλων γαμεῖν ταῦτα ζημιούσθω, τιμῆς δὲ παρὰ τῶν νεωτέρων ἄτιμος πάσης ἔστω, καὶ μηδεὶς ὑπακουέτω μηδὲν αὐτῷ ἑκὼν τῶν νέων· ἐὰν δὲ κολάζειν τινὰ ἐπιχειρῇ, πᾶς τῷ ἀδικουμένῳ βοηθείτω καὶ ἀμυνέτω, μὴ βοηθῶν * δὲ ὁ παραγενό- C

*) γρ. ἀνεγεῖραι. ἄλλ. εἶναι θυμὸν ἂν ἀνεγκ εἶρι.

praescribere, ne dives divitis filiam in matrimonium ducat neque potens alius potentis, et celeriores ad animum cogere cum tardioribus et tardiores cum celerioribus nuptias coniungere, non solum ridiculum erit, verum etiam iram multis concitabit; neque enim facile est ad perspiciendum civitatem esse debere instar crateris temperatam, in quo furens quidem vinum infusum fervet, castigatum vero a sobrio alio deo pulchramque societatem nactum bonus potus atque moderatus efficitur. hoc autem quomodo in permixtione fiat ad liberos procreandos spectante nemo fere perspicere potest. hanc ob causam talia lex omittat necesse est, cantione vero quasi adhibita persuadere conabitur ut liberorum suorum inter se aequalitatem pluris quisque faciat quam nuptiarum aequalitatem pecuniarum insatiabilem, et opprobrio avertere, si quis in nuptiis coniungendis pecuniam sectetur, non scripta lege cogere. Ac de nuptiis quidem hae sunto adhortationes dictae atque etiam supra prolata, oportere nos sempiternam naturam sequi eo quod natos natorum relinquentes semper deo ministros pro nobis tradamus. haec igitur omnia et plura etiam dicere quis potuerit de nuptiis quomodo sint coniungendae, prooemio recte utens. si quis autem non paret sua sponte, sed alienum se gerit et societatis in urbe expertem coelebsque manet annum agens quintum tricesimum, mulctator quoque anno, qui maximum habet censum, centum drachmis, qui secundum, septuaginta, qui tertium, sexaginta, qui quartum, triginta; quae quidem pecunia Iunoni esto sacra; qui non persolvit quotannis, decuplum debeto; exigito vero procurator deae, qui non exigens ipse debeto, et in disquisitione rationem huius rei quisque reddito. ac pecunia quidem qui uxorem noluerit ducere hac mulctator, honore autem a iunioribus nullo afficitor, nec quisquam iuvenum ultro ei esto dicto audiens; si quem castigare conetur, quisque iniuria affecto auxiliator eum-

μενος δειλός τε ἅμα καὶ κακὸς ὑπὸ τοῦ νόμου πολίτης εἶναι
λεγέσθω. Περὶ δὲ προικὸς εἴρηται μὲν καὶ πρότερον, εἰρή-
σθω δὲ πάλιν, ὡς ἴσα ἀντὶ ἴσων ἐστὶ τῷ μήτε λαμβάνοντι
μήτ' ἐκδιδόντι διὰ χρημάτων ἀπορίαν διδάσκειν *) τοὺς πέ-
νητας· τὰ γὰρ ἀναγκαῖα ὑπάρχοντά ἐστι πᾶσι τῶν ἐν ταύτῃ
τῇ πόλει, ὕβρις δὲ ἥττων **) γυναιξὶ καὶ δουλεία ταπεινὴ καὶ
ἀνελεύθερος διὰ χρήματα τοῖς γήμασι * γίγνοιτο ἄν. καὶ ὁ D
μὲν πειθόμενος ἓν τῶν καλῶν δρῴη τοῦτ' ἄν, ὁ δὲ μὴ πει-
θόμενος, ἀλλ' ἢ διδοὺς ἢ λαμβάνων πλέον ἢ πεντήκοντα
ἄξια δραχμῶν ἐσθῆτος χάριν, ὁ μὲν μνᾶς, ὁ δὲ τριῶν ἡμι-
μναίων, ὁ δὲ δυεῖν μναῖν ***), ὁ τὸ μέγιστον τίμημα κεκτη-
μένος, ὀφειλέτω μὲν τῷ δημοσίῳ τοσοῦτον ἕτερον, τὸ δὲ
δοθὲν ἢ ληφθὲν ἱερὸν ἔστω τῆς Ἥρας τε καὶ τοῦ Διός·
πραττόντων δὲ οἱ ταμίαι τούτοιν τοῖν θεοῖν, καθάπερ ἐῤ-
ῥήθη * τῶν μὴ γαμούντων πέρι τοὺς ταμίας ἐκπράττειν ἑκά- E
στοτε τοὺς τῆς Ἥρας ἢ παρ' αὐτῶν ἑκάστους τὴν ζημίαν
ἐκτίνειν. Ἐγγύην δὲ εἶναι κυρίαν πατρὸς μὲν πρῶτον ****),
δευτέραν πάππου, τρίτην δὲ ἀδελφῶν ὁμοπατρίων· ἐὰν δὲ
μηδὲ εἷς ᾖ τούτων, τὴν πρὸς μητρὸς μετὰ τοῦτο εἶναι κυ-
ρίαν ὡσαύτως· ἐὰν δ' ἄρα τύχη τις ἀήθης ξυμβαίνῃ, τοὺς
ἐγγύτατα γένους ἀεὶ κυρίους εἶναι μετὰ τῶν ἐπιτρόπων.
Ὅσα δὲ προτέλεια γάμων ἤ τις ἄλλη περὶ τὰ τοιαῦτα ἱε-
ρουργία μελλόντων ἢ * γιγνομένων ἢ γεγονότων προσήκου- 775
σά ἐστι τελεῖσθαι, τοὺς ἐξηγητὰς ἐρωτῶντα χρὴ καὶ πειθό-
μενον ἐκείνοις ἕκαστον ἡγεῖσθαι πάντα ἑαυτῷ μετρίως γίγνε-
σθαι. Περὶ δὲ τῶν ἑστιάσεων, φίλους μὲν χρὴ καὶ φίλας
μὴ πλείους πέντε ἑκατέρων ξυγκαλεῖν, ξυγγενῶν δὲ καὶ οἰ-
κείων ὡσαύτως τοσούτους ἄλλους ἑκατέρων· ἀνάλωμα δὲ μὴ
γίγνεσθαι πλέον ἢ κατὰ τὴν οὐσίαν μηδενί, τῷ μὲν εἰς χρή-
ματα μεγίστῳ μνᾶν, τῷ δ' ἥμισυ τοῦ τοσούτου, τῷ * δ' B
ἐφεξῆς οὕτω, καθάπερ ὑποβέβηκεν ἑκάστῳ τὸ τίμημα· καὶ
τὸν μὲν πειθόμενον τῷ νόμῳ ἐπαινεῖν χρὴ πάντας, τὸν δὲ

*) ἄλλ. γηράσκειν. **) ἄλλ. ἧττον.
***) ἴσ. ἄξια δραχμῶν, ὁ τὸ μέγιστον κτλ.
****) ἴσ. πρώτην.

que defendito, praesens qui non auxiliatur ignavus simul et pravus a lege cives esse dicitor. De dote dictum est iam ante, dicitor autem rursus, pauperes esse docendos aequali pro aequali esse neque sumere neque dare dotem propter pecuniae inopiam; necessaria enim suppetunt omnibus qui in urbe vivunt, insolentia vero minor erit mulieribus et servitus humilis illiberalisque propter pecuniam viris. et qui paret unum hoc faciet de pulchris, qui non paret, sed vel dat vel accipit quod quinquaginta drachmas excedit [vestitus causa, minam, tria dimidia minae vel duas minas], si maximum habet censum, debeto publico alterum tantum, datum vero vel sumptum sacrum esto Iunoni et Iovi; et exigunto procuratores horum deorum, quemadmodum de eis qui uxorem non ducant dictum est Iunonis procuratores semper exigere aut de suo poenam solvere. Filiam rite despondebit primum pater, deinde avus, tertio fratres germani; si nullus horum superstes est, mater deinde similiter habeto ius et potestatem despondendi, sin vero casus quis insolitus incidit, genere proximi cum tutoribus hanc habento potestatem. De sacrificiis vero ante nuptias fieri solitis et quaecumque alia sacra nuptiarum causa futurarum vel praesentium vel praeteritarum convenit facere, religionum interpretes interrogare quemque oportet hisque obedientem existimare omnia sibi recte peragi. De epulis, amicos et amicas oportet non plures quam quinque utrosque convocari, et de cognatis familiaribusque similiter totidem utrosque; sumptum vero non ampliorem quisquam facito quam pro re familiari, qui maximam habet minam impendito, secundus dimidium minae, et sic porro prout cuiusque census decrescit; et qui legi paret eum omnes laudanto, non parentem vero

ἀπειθοῦντα κολαζόντων οἱ νομοφύλακες ὡς ἀπειρόκαλόν τε ὄντα καὶ ἀπαίδευτον τῶν περὶ τὰς νυμφικὰς Μούσας νόμων. πίνειν δὲ εἰς μέθην οὔτε ἄλλοθί που πρέπει, πλὴν ἐν ταῖς τοῦ τὸν οἶνον δόντος θεοῦ ἑορταῖς, οὐδ' ἀσφαλές, οὔτ' οὖν δὴ περὶ γάμους ἐσπουδακότα, ἐν οἷς ἔμφρονα μάλιστα εἶναι πρέπει νύμφην καὶ * νυμφίον μεταβολὴν οὐ σμικρὰν C βίου μεταλλάττοντας, ἅμα δὲ καὶ τὸ γεννώμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων ἀεὶ γίγνηται· σχεδὸν γὰρ ἄδηλον ὁποία νὺξ ἢ φῶς αὐτὸ γεννήσει μετὰ θεοῦ. καὶ πρὸς τούτοις δεῖ μὴ τῶν σωμάτων διακεχυμένων ὑπὸ μέθης γίγνεσθαι τὴν παιδουργίαν, ἀλλ' εὐπαγές, ἀπλανὲς ἡσυχαῖόν τε ἐν μοίρᾳ ξυνίστασθαι τὸ φυόμενον· ὁ δὲ διῳνωμένος *) αὐτός τε φέρεται πάντῃ καὶ φέρει, λυττῶν κατά τε σῶμα καὶ * ψυχήν· D σπείρειν οὖν παράφορος ἅμα καὶ κακὸς ὁ μεθύων, ὥστ' ἀνώμαλα μὲν καὶ ἄπιστα καὶ οὐδὲν εὐθύπορον ἦθος οὐδὲ σῶμα ἐκ τῶν εἰκότων γεννῴη ποτ' ἄν. διὸ μᾶλλον μὲν ὅλον τὸν ἐνιαυτὸν καὶ βίον χρή, μάλιστα δὲ ὁπόσον ἂν γεννᾷ χρόνον, εὐλαβεῖσθαι καὶ μὴ πράττειν μήτε ὅσα νοσώδη ἑκόντα εἶναι μήτε ὅσα ὕβρεως ἢ ἀδικίας ἐχόμενα· εἰς γὰρ τὰς τῶν γεννωμένων ψυχὰς καὶ σώματα ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι καὶ τίκτειν * πάντῃ φαυλότερα· διαφερόν- E τως δὲ ἐκείνην τὴν ἡμέραν καὶ νύκτα ἀπέχεσθαι τῶν περὶ τὰ τοιαῦτα· ἀρχὴ γὰρ καὶ θεὸς ἐν ἀνθρώποις ἱδρυμένη σώζει πάντα, τιμῆς ἐὰν τῆς προσηκούσης αὐτῇ παρ' ἑκάστου τῶν χρωμένων λαγχάνῃ. Νομίσαντα δ' εἶναι χρὴ τὸν γαμοῦντα ταῖν οἰκίαιν ταῖν ἐν τῷ κλήρῳ τὴν ἑτέραν * οἷον 776 νεοττῶν γέννησιν καὶ τροφήν, χωρισθέντα ἀπὸ πατρὸς καὶ μητρὸς τὸν γάμον ἐκεῖ ποιεῖσθαι καὶ τὴν οἴκησιν καὶ τὴν τροφὴν αὑτοῦ καὶ τῶν τέκνων· ἐν γὰρ ταῖς φιλίαις ἐὰν μὲν πόθος ἐνῇ τις, κολλᾷ καὶ ξυνδεῖ πάντα ἤθη· κατακορὴς δὲ ξυνουσία καὶ οὐκ ἴσχουσα τὸν διὰ χρόνου πόθον ἀποῤῥεῖν ἀλλήλων ποιεῖ ὑπερβολαῖς πλησμονῆς· ὧν δὴ χάριν μητρὶ καὶ πατρὶ καὶ τοῖς τῆς γυναικὸς οἰκείοις παρέντας χρὴ τὰς αὐ-

*) γρ. διοινωμένος.

castiganto legum custodes ut insipientem et legum ad Musas sponsales spectantium rudem. bibere autem ad ebrietatem neque usquam alibi decet, praeterquam diebus festis dei qui vinum dedit, neque tutum, neque sane nuptias tractanti licet, in quibus maxime suae mentis esse debent sponsa et sponsus mutationem haud levem vitae facientes, simulque id curantes ut quod procreatur ex hominibus semper generetur quam maxime mentis compotibus; fere enim incertum est qualis nox vel dies id cum deo generatura sit. praeterea oportet non corporibus ebrietate dissolutis liberos procreari, sed solidum, stabile quietumque convenit conflari id quod procreandum est; vino autem repletus et ipse fertur quoquoversus et fert, furens tam corpore quam animo; ad ferendum igitur inutilis est ebrius quippe titubans, ut inaequalia et mutabilia nec ad mores nec ad animum recta probabile sit eum gignere. quocirca magnopere totum per annum ac vitam, maxime vero quamdiu procreat quemque oportet cavere nec facere quicquam ultro quod morbum afferat nec quod cum petulantia et iniuria coniunctum sit; fieri enim non potest quin in eorum qui procreantur animis et corporibus insculpantur illa atque exprimantur, et omnino deteriora procreentur; praesertim vero illo die et nocte ab his abstinendum; principium enim et deus in hominibus collocati servant omnia, honorem si convenientem a quoque utentium nanciscuntur. Existimare autem oportet eum qui uxorem ducat alteram domorum forte datarum quasi pullorum esse procreationem et educationem, et separatum a patre et matre ibi nuptias facere et habitare seque et liberos alere; in amicitiis enim si desiderium inest, conglutinat et connectit omnes mores; satiata vero consuetudo nec desiderium ullum per intervalla habens nimia satietate efficit ut alter ab altero disiungatur; quamobrem matri et patri et uxoris cognatis domus oportet relinqui et velut in coloniam profectos

τῶν οἰκήσεις, οἷον εἰς ἀποικίαν * ἀφικομένους *) αὐτούς, B
ἐπισκοποῦντάς τε ἅμα καὶ ἐπισκοπουμένους οἰκεῖν, γεννῶν-
τάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον
παραδιδόντας ἄλλοις ἐξ ἄλλων, θεραπεύοντας ἀεὶ θεοὺς κατὰ
νόμους.

Κτήματα δὲ τὸ μετὰ τοῦτο ποῖα ἄν τις κεκτημένος ἐμ-
μελεστάτην οὐσίαν κεκτῇτο; τὰ μὲν οὖν πολλὰ οὔτε νοῆσαι
χαλεπὸν οὔτε κτήσασθαι, τὰ δὲ δὴ τῶν οἰκετῶν χαλεπὰ πάν-
τῃ. τὸ δ' αἴνιον οὐκ **) ὀρθῶς πως καί τινα * τρόπον ὀρ- C
θῶς περὶ αὐτῶν λέγομεν· ἐναντία γὰρ ταῖς χρείαις καὶ κατὰ
τὰς χρείας αὖ ποιούμεθα περὶ δούλων καὶ τὰ λέγομενα.

ΜΕ. Πῶς δ' αὖ τοῦτο λέγομεν; οὐ γάρ πω μανθάνο-
μεν, ὦ ξένε, ὅ τι τὰ νῦν φράζεις.

ΑΘ. Καὶ μάλα γε, ὦ Μέγιλλε, εἰκότως· σχεδὸν γὰρ
πάντων τῶν Ἑλλήνων ἡ Λακεδαιμονίων εἱλωτεία πλείστην
ἀπορίαν παράσχοιτ' ἂν καὶ ἔριν τοῖς μὲν ὡς εὖ, τοῖς δ' ὡς
οὐκ εὖ γεγονυῖά ἐστιν· ἐλάττω δὲ ἥ τε Ἡρακλεωτῶν δου-
λεία τῆς τῶν * Μαριανδυνῶν καταδουλώσεως ἔριν ἂν ἔχοι, D
τὸ Θετταλῶν τ' αὖ πενεστικὸν ἔθνος. εἰς ἃ καὶ πάντα τὰ
τοιαῦτα βλέψαντας ἡμᾶς τί χρὴ ποιεῖν περὶ κτήσεως οἰκε-
τῶν; ὃ δὴ παριὼν τῷ λόγῳ ἔτυχον εἰπών, καὶ σύ με εἰκό-
τως τί ποτε φράζοιμι ἠρώτησας, τόδ' ἐστίν· ἴσμεν ὅτι που
πάντες εἴποιμεν ἂν ὡς χρὴ δούλους ὡς εὐμενεστάτους ἐκτῆ-
σθαι καὶ ἀρίστους· πολλοὶ γὰρ ἀδελφῶν ἤδη δοῦλοι καὶ
υἱέων τισὶ κρείττους πρὸς ἀρετὴν πᾶσαν γενόμενοι σεσώκασι
δεσπότας καὶ κτήματα τάς τε οἰκήσεις * αὐτῶν ὅλας· ταῦτα E
γὰρ ἴσμεν που περὶ δούλων λεγόμενα.

ΜΕ. Τί μήν;

ΑΘ. Οὐκοῦν καὶ τοὐναντίον ὡς ὑγιὲς οὐδὲν ψυχῆς δού-
λης οὐδὲ πιστεύειν οὐδέποτ' οὐδὲν τῷ γένει δεῖ τὸν νοῦν
κεκτημένον; ὃ δὴ ***) σοφώτατος ἡμῖν τῶν ποιητῶν καὶ ἀπε-
φήνατο, ὑπὲρ τοῦ Διὸς ἀγορεύων, * ὡς 777

---

*) γρ. ἀφικνουμένους.
**) ἴσ. αἴτιον, οὐκ.
***) γρ. ὁ δὲ.

ipsos habitare ita ut simul invisant et invisantur, procreantes et educantes liberos, tamquam facem vitam tradentes aliis post alios, colentes semper deos secundum leges.

Opes deinde quales quis possidens convenientissimum habuerit censum? plurima quidem neque cognitu neque comparatu difficilia sunt, servorum autem omnino difficilia. cuius quidem rei causa haec est quod non recte fere et quodammodo recte de eis loquimur; etenim contra usum et secundum usum de servis verba facimus.

Me. Quomodo rursus hoc dicimus? nam nondum intelligimus, o hospes, quid nunc significes.

Ath. Nec mirum sane, Megille; ferme enim ex omnibus Graecis Lacedaemoniorum in Helotes imperium maximam afferat dubitationem et controversiam benene an secus institutum sit, minus vero habeat controversiae quum Heracleotarum in subiectos Mariandynos tum Thessalorum in Penestas. quae quidem omnia considerantes quid facere nos oportet quod ad servorum possessionem attinet? quod quidem praetermisi in oratione praegressa et tu me recte rogasti quid tandem significarem hoc est: scimus omnes fere nos dicturos esse servos quam benivolentissimos oportere atque optimos habere; multi enim iam servi, qui fratribus ac filiis praestantiores fuerunt ad virtutem omnem, servarunt dominos et rem familiarem et domos eorum universas; haec enim scimus fere de servis dici.

Me. Quidni?

Ath. Nonne etiam contrarium, nihil sani in animo servili esse neque virum mente praeditum fidere umquam debere huic generi? quod quidem etiam sapientissimus nobis poëtarum declaravit de Iove ita loquens: *Dimi-*

Ἥμισυ γάρ τε νόου, φησὶν, ἀπαμείρεται εὐρύοπα Ζεὺς
Ἀνδρῶν οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι.

ταῦτα δὴ διαλαβόντες ἕκαστοι τοῖς διανοήμασιν οἱ μὲν πιστεύουσί τε οὐδὲν γένει οἰκετῶν, κατὰ δὲ θηρίων φύσιν κέντροις καὶ μάστιξιν οὐ τρὶς μόνον, ἀλλὰ πολλάκις ἀπεργάζονται δούλας τὰς ψυχὰς τῶν οἰκετῶν, οἱ δ' αὖ τἀναντία τούτων δρῶσι πάντα.

ΜΕ. Τί μήν;

ΚΛ. * Τί οὖν δὴ *) χρὴ ποιεῖν τούτων, ὦ ξένε, δια- B
φερομένων οὕτω περὶ τῆς ἡμετέρας αὖ χώρας ἡμᾶς, τῆς τε κτήσεως ἅμα καὶ κολάσεως τῶν δούλων πέρι;

ΑΘ. Τί δ', ὦ Κλεινία; δῆλον **) ὡς, ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς τὴν ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλει ***) εἶναί τε καὶ γίγνεσθαι.

ΚΛ. Φαίνεται. †)

ΑΘ. Χαλεπὸν δὴ τὸ κτῆμα· ἔργῳ γὰρ πολλάκις ἐπιδέδεικται * περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις C
γίγνεσθαι, καὶ περί γε τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ ξυμβαίνει, καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων τῶν περὶ τὴν Ἰταλίαν γιγνομένων παντοδαπὰ ††) κλοπῶν ἔργα τε καὶ παθήματα· πρὸς ἅ τις ἅπαντα βλέψας διαπορήσειε τί χρὴ δρᾶν περὶ ἁπάντων τῶν τοιούτων. δύο δὴ λείπεσθον μόνω μηχανά, * μήτε πατριώ- D
τας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύσειν, ἀξυμφώνους τε εἰς δύναμιν ὅτι μάλιστα, τρέφειν δ' αὐτοὺς ὀρθῶς μὴ μόνον ἐκείνων ἕνεκα, πλέον δὲ αὑτῶν προτιμῶντας. ἡ δὲ τροφὴ τῶν τοιούτων μήτε τινα ὕβριν ὑβρίζειν εἰς τοὺς οἰκέτας, ἧττον δέ, εἰ δυνατόν, ἀδικεῖν ἢ τοὺς ἐξ ἴσου· διάδηλος γὰρ ὁ φύσει καὶ μὴ πλαστῶς σέβων τὴν δίκην, μισῶν δὲ ὄντως τὸ ἄδικον ἐν τούτοις τῶν ἀνθρώπων ἐν οἷς

*) γρ. ΚΛ. Τί μήν; τί οὖν δή.
**) ἴσ. Τόδ', ὦ Κλεινία, δῆλον κτλ.
***) γρ. ἐθέλειν.
†) γρ. γίγνεσθαι φαίνεται. ††) ἴσ. παντοδαπῶν.

dium enim mentis, ait, *aufert late spectans Iuppiter viris quos dies servitutis opprimit.* haec igitur distinguentes quique sententiis alii nullam fidem habent generi servorum, sed secundum bestiarum naturam stimulis et flagellis non ter modo, sed saepius efficiunt serviles animos ministrorum; alii vero contraria horum omnia faciunt.

Me. Quippini?

Cl. Quid igitur oportet nos facere, o hospes, in regione nostra his ita dissentientibus, de servorum possessione et castigatione?

Ath. Hoc, o Clinia, patet, quum difficilis sit natura homo, etiam ad necessariam distinctionem, qua servus re discernitur a libero et domino, nequaquam eum velle commodum et esse et fieri.

Cl. Liquet vero.

Ath. Difficilis igitur est possessio; re enim saepenumero ostenderunt Messeniorum defectiones crebro fieri solitae et eorum civitates qui multos servos eiusdem linguae habent, quot mala eveniant, praetereaque piratarum qui dicuntur circa Italiam vagantium furta et calamitates quas inferunt; quae omnia si quis reputet sane dubitet quid faciundum sit de his omnibus. duae igitur solae restant hae viae, ut neque eiusdem patriae sint qui facile sint servituri et quam maxime lingua discrepent, et recte eos educemus non solum illorum causa, sed magis etiam nobismet ipsis prospicientes. educatio vero eorum haec est ut neque contumelia aliqua servos afficiamus et minus, si fieri potest, iniuriae his inferamus quam eis qui pari sunt loco et conditione; manifestus est enim qui vere, non simulate colit iustitiam et revera iniustitiam respuit in his hominibus in quibus fa-

αὐτῷ ῥᾴδιον ἀδικεῖν· ὁ περὶ τὰ * τῶν δούλων οὖν ἤθη E
καὶ πράξεις γιγνόμενός τις ἀμίαντος τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου σπείρειν εἰς ἀρετῆς ἔκφυσιν ἱκανώτατος ἂν εἴη. ταὐτὸν δ' ἔστ' εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους δεῖ *), καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ * μηδαμῶς οἰκέταις, μήτ' 778
οὖν θηλείαις μήτε ἄῤῥεσιν· ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ σφόδρα ἀνοήτως θρύπτοντες χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι καὶ ἑαυτοῖς ἄρχειν.

ΚΛ. Ὀρθῶς λέγεις.

ΑΘ. Οὐκοῦν, ὅτε τις οἰκέταις κατεσκευασμένος εἰς δύναμιν εἴη πλήθει καὶ ἐπιτηδειότητι πρὸς ἑκάστας τὰς τῶν ἔργων παραβοηθείας, τὸ δὴ μετὰ τοῦτο οἰκήσεις χρὴ διαγράφειν τῷ λόγῳ;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. * Καὶ ξυμπάσης γε, ὡς ἔπος εἰπεῖν, ἔοικε τῆς B
οἰκοδομικῆς πέρι τήν γε δὴ νέαν καὶ ἀοίκητον ἐν τῷ πρόσθεν πόλιν ἐπιμελητέον εἶναι, τίνα τρόπον ἕκαστα ἕξει τούτων περί τε ἱερὰ καὶ τείχη. γάμων δ' ἦν ἔμπροσθεν ταῦτα, ὦ Κλεινία· νῦν δ' ἐπείπερ λόγῳ γίγνεται, καὶ μάλ' ἐγχωρεῖ ταύτῃ γίγνεσθαι τὰ νῦν· ἔργῳ μὴν ὅταν γίγνηται, ταῦτ' ἔμπροσθεν τῶν γάμων, ἐὰν θεὸς ἐθέλῃ, ποιήσαντες ἐκεῖνα ἤδη τότε ἐπὶ πᾶσι τοῖς τοιούτοις * ἀποτελοῦμεν. νῦν δὲ C
μόνον ὅσον τινὰ τύπον αὐτῶν δι' ὀλίγων ἐπεξέλθωμεν.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Τὰ μὲν τοίνυν ἱερὰ πᾶσαν πέριξ τήν τε ἀγορὰν χρὴ κατασκευάζειν, καὶ τὴν πόλιν ὅλην ἐν κύκλῳ πρὸς τοῖς ὑψηλοῖς τῶν τόπων, εὐερκίας **) τε καὶ καθαρότητος χάριν· πρὸς δὲ αὐτοῖς οἰκήσεις τε ἀρχόντων καὶ δικαστηρίων, ἐν οἷς τὰς δίκας ὡς ἱερωτάτοις οὖσι λήψονταί τε καὶ δώσουσι,

---

*) γρ. ἀεί. **) ἄλλ. εὐερκείας.

cile potest iniuste facere; is igitur qui, quod ad servorum mores et actiones attinet, ita se gerit ut neque impietate neque iniustitia se polluat, ad virtutis semina spargenda maxime idoneus erit. idem hoc dici etiam recte potest in domino et tyranno omnibusque qui imperium aliquod habent in hominem ipsis imbecilliorem. castigare iure servos debemus, non admonendo tamquam liberos reddere delicatos. quaevis servi appellatio fere mandatum sit necesse est, ita ut nullo prorsus modo cum servis ludamus, neque feminis neque maribus; quod multi admodum inconsiderate facientes servosque delicatos reddentes vitam tam illis ad obediendum quam sibimet ipsis ad imperandum difficiliorem efficiunt.

Cl. Recte dicis.

Ath. Nonne, quando quis servis pro viribus instructus fuerit satis multis et idoneis ad opera quaeque adiuvanda, deinde habitationes sermone describendae erunt?

Cl. Sane quidem.

Ath. Et in universam fere, ut videtur, aedificandi artem urbs nova nec antea habitata curam conferre debet ut prospiciat quomodo templa murique aedificanda sint. nuptias quidem haec antecedebant, Clinia; nunc autem quoniam oratione fiunt, sane licet ita fieri nunc; re tamen quando fiunt, ante nuptias, si deus voluerit, quum instituerimus, tum demum ea post omnia haec absolvemus. nunc vero paucis tantum ea adumbremus.

Cl. Sane quidem.

Ath. Ac templa quidem totum circum forum exstruenda et civitas universa in orbem ad loca excelsa, bonae munitionis et munditiae causa; ad haec domus magistratuum locaque iudiciorum, in quibus utpote sanctissimis ius et accipient et dabunt, de rebus videlicet

τὰ μὲν ὡς ὁσίων πέρι, τὰ δὲ καὶ * τοιούτων θεῶν ἱδρύ- D
ματα· καὶ ἐν τούτοις δικαστήρια, ἐν οἷς αἵ τε τῶν φόνων
κρίνουσαι δίκαι γίγνοιντ' ἂν καὶ ὅσα θανάτων ἄξια ἀδική-
ματα. περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἔγωγ' ἂν τῇ Σπάρτῃ
ξυμφεροίμην τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ τεί-
χη καὶ μὴ ἐπανιστάναι, τῶνδε εἵνεκα· καλῶς μὲν καὶ ὁ ποιη-
τικὸς ὑπὲρ αὐτῶν λόγος ὑμνεῖται, τὸ χαλκᾶ καὶ σιδηρᾶ δεῖν
εἶναι τὰ τείχη μᾶλλον ἢ γήϊνα· τὸ δ' ἡμέτερον ἔτι πρὸς
* τούτοις γέλωτ' ἂν δικαίως πάμπολυν ὄφλοι, τὸ κατ' ἐνιαυ- E
τὸν μὲν ἐκπέμπειν εἰς τὴν χώραν τοὺς νέους, τὰ μὲν σκά-
ψοντας, τὰ δὲ ταφρεύσοντας, τὰ δὲ καὶ διά τινων οἰκοδο-
μήσεων εἵρξοντας τοὺς πολεμίους, ὡς δὴ τῶν ὅρων τῆς χώ-
ρας οὐκ ἐάσοντας ἐπιβαίνειν· τεῖχος δὲ *) περιβαλοίμεθα,
ὃ πρῶτον μὲν πρὸς ὑγίειαν ταῖς πόλεσιν οὐδαμῶς ξυμφέρει,
πρός δέ τινα μαλθακὴν ἕξιν ταῖς ψυχαῖς τῶν ἐνοικούντων
εἴωθε ποιεῖν, προκαλούμενον εἰς αὐτὸ καταφεύγοντας μὴ
ἀμύνεσθαι * τοὺς πολεμίους, μηδὲ τῷ φρουρεῖν ἀεί τινας ἐν 779
αὐτῇ νύκτωρ καὶ μεθ' ἡμέραν, τούτῳ τῆς σωτηρίας τυγχά-
νειν, τείχεσι δὲ καὶ πύλαις διανοεῖσθαι φραχθέντας τε καὶ **)
καθεύδοντας σωτηρίας ὄντως ἕξειν μηχανάς, ὡς ἐπὶ τὸ μὴ
πονεῖν γεγονότας, ἀγνοοῦντας δ' αὖ ***) τὴν ῥᾳστώνην, ὡς
ὄντως ἐστὶν ἐκ τῶν πόνων· ἐκ ῥᾳστώνης δέ γε, οἶμαι, τῆς
αἰσχρᾶς οἱ πόνοι καὶ ῥᾳθυμίας πεφύκασι †) γίγνεσθαι πάλιν.
ἀλλ' εἰ δὴ τεῖχός γέ τι χρεὼν ἀνθρώποις * εἶναι, τὰς οἰ- B
κοδομίας χρὴ τὰς τῶν ἰδίων οἰκήσεων οὕτως ἐξ ἀρχῆς βάλ-
λεσθαι, ὅπως ἂν ᾖ πᾶσα ἡ πόλις ἓν τεῖχος, ὁμαλότητί τε
καὶ ὁμοιότησιν εἰς τὰς ὁδοὺς πασῶν τῶν οἰκήσεων ἐχουσῶν
εὐέρκειαν· ἰδεῖν τε οὐκ ἀηδὲς μιᾶς οἰκίας σχῆμα ἐχούσης
αὐτῆς, εἴς τε τὴν τῆς φυλακῆς ῥᾳστώνην ὅλῳ καὶ παντὶ
πρὸς σωτηρίαν γίγνοιτ' ἂν διάφορος. τούτων δέ, ἕως ἂν
μὲν ᾖ τὰ κατ' ἀρχὰς οἰκοδομηθέντα, μέλειν μὲν μάλιστα τοῖς
ἐνοικοῦσι πρέπον ἂν * εἴη, τοὺς δὲ ἀστυνόμους ἐπιμελεῖ- C
σθαι καὶ προσαναγκάζοντας τὸν ὀλιγωροῦντα ζημιοῦντας, καὶ

---

*) ἴσ. ἐπιβαίνειν, τεῖχος εἰ.
**) ἴσ. φραχθέντας καί.
***) ἴσ. γ' αὖ. †) ἴσ. πόνοι πεφύκασι.

ſacris in huiusmodi deorum aedibus; et in his etiam iudicia erunt, in quibus de caedibus omnibusque maleficiis capitis poena plectendis, ut par eſt, iudicia agentur. de muris vero, Megille, equidem Spartae aſſentiar, ut dormire ſinantur in terra iacentes muri nec erigantur, hanc ob cauſam; praeclare etiam poëticum de eis dictum celebratur, aeneos et ferreos eſſe debere muros potius quam terrenos; nos praeterea merito magno eſſemus riſui, quotannis emittentes in regionem iuvenes, ut et foſſas faciant et valla ducant et exſtructionibus quibusdam arceant hoſtes, quippe non permiſſuri eis regionis fines ingredi, murum ſi urbi circumdaremus, qui primum ad ſanitatem urbibus nullo modo conducit, et praeterea mollem quendam habitum incolarum animis ſolet iniicere, provocans eos ut ad ipſum fugiant nec hoſtes propulſent, nec cuſtodiis diſpoſitis noctu dieque ſalutem aſſequantur, ſed muris et portis arbitrentur ſe ſeptos etiam dormientes ſalutis revera habituros eſſe adminicula, tamquam ad hoc nati ut laborem nullum ſubeant, quippe qui ignorent veram quietem ex laboribus ſequi; etenim ex quiete, opinor, turpi et ſocordia labores rurſus ſolent exſiſtere. immo ſi murum aliquem oportet hominibus eſſe, privatae domus ita a principio iaciendae et aedificandae ſunt, ut tota urbs unus ſit murus, omnibus domibus aequaliter et ſimiliter in vias excurrentibus bonamque hoc ratione munitionem habentibus; nec iniucundum erit ſpectatu, ſi unius domus ſpeciem urbs habebit, et, quod ad cuſtodiae facilitatem attinet, plane et omnino ad conſervationem erit inſignis. haec vero, dum a principio fuerint aedificata, curare maxime incolas decebit, et rerum urbanarum procuratores id obſervare etiam cogentes negligentemque

πάντων δὴ τῶν κατὰ τὸ ἄστυ καθαρότητός τ' ἐπιμελεῖσθαι, καὶ ὅπως ἰδιώτης μηδεὶς μηδὲν τῶν τῆς πόλεως μήτε οἰκοδομήμασι μήτε οὖν ὀρύγμασιν ἐπιλήψεται· καὶ δὴ καὶ ὑδάτων τῶν ἐκ Διὸς εὐροίας τούτους ἐπιμελεῖσθαι χρεών, καὶ ὅσα ἐντὸς πόλεως ἢ ὁπόσα ἔξω πρέπον ἂν οἰκεῖν εἴη. ταῦτα δὲ πάντα ξυνιδόντες ταῖς χρείαις * οἱ νομοφύλακες ἐπινο- D
μοθετούντων καὶ τῶν ἄλλων ὁπόσα ἂν ὁ νόμος ἐκλείπῃ δι' ἀπορίαν. ὅτε δὲ ταῦτά τε καὶ τὰ περὶ ἀγορὰν οἰκοδομήματα καὶ τὰ περὶ τὰ γυμνάσια καὶ πάντα ὅσα διδασκαλεῖα κατεσκευασμένα περιμένει τοὺς φοιτητὰς καὶ θεατὰς θέατρα, πορευώμεθα ἐπὶ τὰ μετὰ τοὺς γάμους, τῆς νομοθεσίας ἑξῆς ἐχόμενοι;

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Γάμοι μὲν τοίνυν ἡμῖν ἔστωσαν γεγονότες, ὦ Κλεινία· δίαιτα δὲ πρὸ παιδογονίας οὐκ ἐλάττων ἐνιαυσίας
* γίγνοιτ' ἂν τὸ μετὰ τοῦτο, ἣν δὴ τίνα τρόπον χρὴ ζῆν E
νυμφίον τε καὶ νύμφην ἐν πόλει διαφερούσῃ τῶν πολλῶν ἐσομένῃ, τὸ δὴ τῶν νῦν εἰρημένων ἐχόμενον εἰπεῖν, οὐ πάντων εὐκολώτατον, ἀλλά ὄντων οὐκ ὀλίγων τῶν ἔμπροσθεν τοιούτων τοῦτο ἔτι ἐκείνων τῶν πολλῶν δυσχερέστερον ἀποδέχεσθαι τῷ πλήθει· τό γε μὴν δοκοῦν ὀρθὸν καὶ ἀληθὲς εἶναι πάντως ῥητέον, ὦ Κλεινία.

ΚΛ. Πάνυ μὲν οὖν.

ΑΘ. Ὅστις δὴ *) διανοεῖται πόλεσιν ἀποφαίνεσθαι * νό- 780
μους πῇ τὰ δημόσια καὶ κοινὰ αὐτοὺς χρὴ ζῆν πράττοντας **), τῶν δὲ ἰδίων ὅσον ***) ἀνάγκη μηδὲ οἴεται δεῖν, ἐξουσίαν δὲ ἑκάστοις εἶναι τὴν ἡμέραν ζῆν ὅπως ἂν ἐθέλῃ, καὶ μὴ πάντα διὰ τάξεως δεῖν γίγνεσθαι, προέμενος δὲ τὰ ἴδια ἀνομοθέτητα ἡγεῖται τά γε κοινὰ καὶ δημόσια ἐθελήσειν αὐτοὺς ζῆν διὰ νόμων, οὐκ ὀρθῶς διανοεῖται. τίνος δὴ χάριν ταῦτα εἴρηται; τοῦδε, ὅτι φήσομεν δεῖν ἡμῖν τοὺς νυμφίους μηδὲν διαφερόντως μηδὲ ἧττον ἐν * ξυσσιτίοις τὴν B
δίαιταν ποιεῖσθαι τοῦ πρὸ τῶν γάμων χρόνου γενομένου.

*) γρ. Ὅστις.
) ἴσ. πρεπόντως. *) ἴσ. ὅσον μή.

multctantes, praeterea omnibus rebus urbanis et munditiae profpicere et cavere ne quis privatus quicquam urbani vel aedificationibus vel foffis occupet; atque etiam pluvias, ut facile profluant, curae hos habere oportet, et quaecumque intra et extra urbem adminiftrare decebit. haec vero omnia ufu cognita habentes legum cuftodes infuper sanciunto et reliqua quaecumque lex praetermiferit deficiens. quando autem et haec et aedificia forenfia et gymnafia omnesque fcholae exftructa exfpectant difcipulos fpectatoresque theatra, pergamusne ad ea quae poft nuptias fiunt, legum lationem ex ordine fequentes?

Cl. Sane quidem.

Ath. Nuptiae igitur nobis funto conciliatae, Clinia; victus vero ratio deinde liberorum procreationem antecedens non brevior erit quam annua, qua quidem quomodo vivere debeant fponfus et fponfa in urbe plurimis praeftatura, id quod iam expofita excipit, non eft omnium facillimum, fed, quum haud pauca in praegreffis talia fuerint, hoc multis illis etiam difficilius multitudo accipiet; attamen quod rectum ac verum videtur effe omnino dicendum, Clinia.

Cl. Sane quidem.

Ath. Quicumque igitur cogitat civitatibus leges promulgare quomodo in rebus publicis et communibus decenter vivere debeant, de rebus vero privatis, neceffariis exceptis, nec cenfet opus effe legibus, quippe licentiam cuique datam effe per diem vivendi quomodo cumque velit, nec omnia ex praefcripto fieri debere, finens igitur res privatas legibus non conftitutas arbitratur in rebus communibus ac publicis fore ut ipfi velint ex legibus vivere, is non recte cogitat. quamobrem igitur haec dicuntur? ideo quod dicemus fponfos noftros oportere neque magis neque minus quam ante nuptias in conviviis publicis coenare; et hoc quidem inftitutum

καὶ τοῦτο μὲν δὴ θαυμαστὸν ὂν ὅτε κατ' ἀρχὰς πρῶτον ἐγέ-
νετο ἐν τοῖς παρ' ὑμῖν τόποις, πολέμου τινὸς αὐτό, ὥς γ'
εἰκός, νομοθετήσαντος ἤ τινος ἑτέρου τὴν αὐτὴν δύναμιν
ἔχοντος πράγματος ἐν ὀλιγανθρωπίαις ὑπὸ πολλῆς ἀπορίας
ἐχομένοις· γευσαμένοις δὲ καὶ ἀναγκασθεῖσι χρήσασθαι τοῖς
ξυσσιτίοις ἔδοξε μέγα διαφέρειν εἰς σωτηρίαν τὸ νόμιμον,
καὶ κατέστη * δὴ τρόπῳ τινὶ τοιούτῳ τὸ ἐπιτήδευμα ὑμῖν τὸ C
τῶν ξυσσιτίων.

ΚΛ. Ἔοικε γοῦν.

ΑΘ. Ὃ δὴ ἔλεγον, ὅτι θαυμαστὸν ὄν.*) τοῦτό ποτε
καὶ φοβερὸν ἐπιτάξαι τισί, νῦν οὐχ ὁμοίως δυσχερὲς τῷ προσ-
τάττοντι ἂν εἴη νομοθετεῖν αὐτό· τὸ δ' ἑξῆς τούτῳ, πεφυ-
κός τε ὀρθῶς ἂν γίγνεσθαι γιγνόμενον, νῦν τε οὐδαμῇ γι-
γνόμενον, ὀλίγου τε ποιοῦν τὸν νομοθέτην, τὸ τῶν παιζόν-
των, εἰς πῦρ ξαίνειν καὶ μυρία ἕτερα τοιαῦτα * ἀνήνυτα D
ποιοῦντα **) δρᾶν, οὐ ῥᾴδιον οὔτ' εἰπεῖν οὔτ' εἰπόντα ἀπο-
τελεῖν.

ΚΛ. Τί δὴ τοῦτο, ὦ ξένε, ἐπιχειρῶν λέγειν ἔοικας σφό-
δρα ἀποκνεῖν;

ΑΘ. Ἀκούοιτ' ἄν, ἵνα μὴ πολλὴ διατριβὴ γίγνηται περὶ
τοῦτ' αὐτὸ μάτην· πᾶν μὲν γὰρ ὅ τίπερ ἂν τάξεως καὶ νό-
μου μετέχον ἐν πόλει γίγνηται, πάντα ἀγαθὰ ἀπεργάζεται,
τῶν δὲ ἀτάκτων ἢ τῶν κακῶς ταχθέντων λύει τὰ πολλὰ τῶν
εὖ τεταγμένων ἄλλα ἕτερα· οὗ δὴ καὶ νῦν ἐφέστηκε πέρι τὸ
λεγόμενον. * ὑμῖν γάρ, ὦ Κλεινία καὶ Μέγιλλε, τὰ μὲν περὶ E
τοὺς ἄνδρας ξυσσίτια καλῶς ἅμα καί, ὅπερ εἶπον, θαυμα-
στῶς καθέστηκεν ἐκ θείας τινὸς ἀνάγκης, τὸ δὲ περὶ τὰς
γυναῖκας οὐδαμῶς ὀρθῶς * ἀνομοθέτητον μεθεῖται καὶ οὐκ 781
εἰς τὸ φῶς ἦκται τὸ τῆς ξυσσιτίας αὐτῶν ἐπιτήδευμα, ἀλλ'
ὃ καὶ ἄλλως ***) γένος ἡμῶν τῶν ἀνθρώπων λαθραιότερον
μᾶλλον καὶ ἐπικλοπώτερον ἔφυ, τὸ θῆλυ, διὰ τὸ ἀσθενές,
οὐκ ὀρθῶς τοῦτο εἴξαντος τοῦ νομοθέτου δύστακτον ὂν †)
ἀφείθη· διὰ δὲ τούτου μεθειμένου πολλὰ ὑμῖν παραῤῥεῖ ††)

*) ἴσ. θαυμαστόν. **) ἴσ. κονοῦντα.
***) ἴσ. ἄλλων. †) ἴσ. δύστακτον.
††) ἄλλ. παρέῤῥει.

admirabile visum est initio quum primum in regionibus vestris exsisteret, bello quodam, ut videtur, id sanciente vel alia qua re eandem vim habente apud illos qui in hominum paucitate multa inopia premerentur; quum vero gustassent convivia publica, necessitate coacti eis uti, visum est hoc institutum magnopere ad salutem conferre, et hac fere ratione facta est vobis conviviorum publicorum constitutio.

Cl. Videtur sane.

Ath. Quod igitur dixi admirabile illud quondam fuisse nec sine aliquo metu quibusdam praescribendum, id nunc non aeque difficile fuerit mandanti ad sanciendum; hoc vero quod deinceps sequitur et recte fit si fit, nunc autem nusquam fit, quodque propemodum efficit ut legum lator, quod per iocum dicitur, in ignem carminet aliaque innumerabilia eiusdem generis frustra laborans faciat, neque facile est dictu neque quum dixeris peractu.

Cl. Quid igitur hoc, o hospes, dicere instituens admodum videris cunctari?

Ath. Audite, ne multum morae hoc ipsum frustra habeat; etenim quicquid ordinis et legis in urbe particeps est, id omnia bona efficit, pleraque vero ex eis quae non sunt ordinata vel male ordinata, dissolvunt alia bene ordinata; in quo quidem oratio nostra nunc substitit. vobis enim, o Clinia et Megille, virorum quidem concoenationes recte simulque, quod dicebam, admirabiliter constitutae sunt ex divina quadam necessitate, mulierum vero convivia minime recte relinquuntur legibus nullis constituta nec in lucem profertur earum concoenationis institutum, sed sexus muliebris qui aliis nobis hominibus magis clandestinus et dolosus natura est propter imbecillitatem, non recte legum latore concedente omissus est inordinatus; hoc vero quia praetermissum est, multa vobis dilabuntur, quae longe melius se

πολὺ ἄμεινον ἂν ἔχοντα εἰ νόμων ἔτυχεν ἢ τὰ νῦν· οὐ γὰρ ἥμισυ μόνον ἐστὶν, ὡς δόξειεν ἄν, τὸ περὶ τὰς γυναῖκας ἀκοσμήτως *) * περιορώμενον, ὅσῳ δὲ ἡ θήλεια ἡμῖν φύ- B
σις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀῤῥένων, τοσούτῳ διαφέρει πρὸς τὸ πλέον ἢ διπλάσιον εἶναι. τοῦτ' οὖν ἐπαναλαβεῖν καὶ ἐπανορθώσασθαι καὶ πάντα ξυντάξασθαι κοινῇ γυναιξί τε καὶ ἀνδράσιν ἐπιτηδεύματα βέλτιον πρὸς πόλεως εὐδαιμονίαν. νῦν δὲ οὕτως ἦκται τὸ τῶν ἀνθρώπων γένος οὐδαμῶς εἰς τοῦτο εὐτυχῶς, ὥστε οὐδὲ μνησθῆναι περὶ αὐτοῦ ἐν ἄλλοις γ' ἐστὶ τόποις καὶ πόλεσι * νοῦν ἔχοντος, C
ὅπου μηδὲ ξυσσίτια ὑπάρχει τὸ παράπαν δεδογμένα κατὰ πόλιν εἶναι. πόθεν δή τίς γε ἔργῳ μὴ καταγελάστως ἐπιχειρήσει γυναῖκας προσβιάζεσθαι τὴν σίτων καὶ ποτῶν ἀνάλωσιν φανερὰν θεωρεῖσθαι **); τούτου γὰρ οὐκ ἔστιν ὅ τι χαλεπώτερον ἂν ὑπομείνειε τοῦτο τὸ γένος· εἰθισμένον γὰρ δεδυκὸς ***) καὶ σκοτεινὸν ζῆν, ἀγόμενον δ' εἰς ****) φῶς βίᾳ πᾶσαν ἀντίτασιν ἀντιτεῖνον πολὺ κρατήσει τοῦ νομοθέτου. τοῦτ' οὖν ἄλλοθι μὲν, ἧπερ †) εἶπον, * οὐδ' ἂν τὸν λό- D
γον ὑπομείνειε τὸν ὀρθὸν ῥηθέντα ἄνευ πάσης βοῆς, ἐνθάδε δὲ ἴσως ἄν. εἰ δὴ δοκεῖ λόγου γ' ἕνεκα μὴ ἀτυχῆ ††) τὸν περὶ πάσης τῆς πολιτείας γενέσθαι λόγον, ἐθέλω λέγειν ὡς ἀγαθόν ἐστι καὶ πρέπον, εἰ καὶ σφῷν ξυνδοκεῖ ἀκούειν, εἰ δὲ μή, ἐᾶν.

ΚΛ. Ἀλλ', ὦ ξένε, θαυμαστῶς τό γε ἀκοῦσαι νῷν πάντως που ξυνδοκεῖ.

ΑΘ. Ἀκούωμεν δή· θαυμάσητε δὲ μηδὲν ἐὰν ὑμῖν ἄνωθέν ποθεν ἐπιχειρεῖν δόξω· σχολῆς γὰρ ἀπολαύομεν * καὶ E
οὐδὲν ἡμᾶς ἐστὶ τὸ κατεπεῖγον τὸ μὴ πάντῃ πάντως σκοπεῖν τὰ περὶ τοὺς νόμους.

ΚΛ. Ὀρθῶς εἴρηκας.

ΑΘ. Πάλιν τοίνυν ἐπὶ τὰ πρῶτα ἐπαναχωρήσωμεν λεχθέντα. εὖ γὰρ δὴ τό γε τοσοῦτον χρὴ πάντ' ἄνδρα ξυννοεῖν, ὡς ἡ τῶν ἀνθρώπων γένεσις ἢ τὸ παράπαν ἀρχὴν

---

*) ἴσ. ἀκόσμητον. **) ἴσ. θεωρεῖσθαι ποιουμένας;
) γρ. δεδοικός. *) ἴσ. ἀγόμενον εἰς.
†) ἄλλ. ὅπερ. ††) ἴσ. ἀτελῆ.

haberent si leges essent nacta, quam nunc; neque enim dimidium tantum est, ut videri possit, si res muliebres inordinatae manent et negliguntur, sed quo deterior nobis est ad virtutem muliebris natura quam virilis, eo magis excedit, ut plus quam duplum sit. hoc igitur repetere et emendare et omnia mulieribus ac viris communiter instituta ordinare praestat ad civitatis felicitatem. nunc vero tantum abest ut hominum genus feliciter ad hoc pervenerit ut ne mentionem quidem eius rei facere sit prudentis in aliis locis et urbibus, ubi nec convivia publica omnino ut reciperentur civitati placuit. unde igitur aliquis, non ridicule faciens, revera instituet mulieres cogere ut cibos ac potus publice consumentes conspiciantur? nihil est enim quod difficilius hic sexus sustineat quam hoc; nam quum abdite et obscure vivere consueverit, vi in lucem protractus omni modo reluctando legum latorem longe superabit. hic igitur alibi quidem, quemadmodum dixi, orationem recte prolatam non sustineat sine magna vociferatione, hic autem fortasse audiat. quocirca si videtur orationis causa non imperfectum relinquere sermonem de universa civitate susceptum, volo dicere quam bonum sit et decens, si vobis quoque placet audire, sin minus, sinere.

Cl. At, o hospes, mirum in modum nunc omnino nobis placet audire.

Ath. Audiamus igitur; ne autem miremini si vobis alte et a capite quodammodo rem videar repetere; otio enim fruimur nec quicquam est quod urgeat, quominus omni prorsus modo de legibus videamus.

Cl. Recte dixisti.

Ath. Rursus igitur ad ea quae primo loco dicta sunt revertamur. etenim probe hoc quemque virum oportet reputare, hominum ortum aut nullum omnino initium

οὐδεμίαν * εἴληχεν οὐδ' ἕξει ποτέ γε τελευτήν, ἀλλ' ἦν τε 782a
ἀεὶ καὶ ἔσται πάντως, ἢ μῆκός*) τι τῆς ἀρχῆς ἀφ' οὗ γέγονεν ἀμήχανον ἂν χρόνον ὅσον γεγονὸς ἂν εἴη.

ΚΛ. Τί μήν;

ΑΘ. Τί οὖν; πόλεων ξυστάσεις καὶ φθορὰς καὶ ἐπιτηδεύματα παντοῖα τάξεώς τε καὶ ἀταξίας καὶ βρώσεως καὶ **) πωμάτων τε ἅμα καὶ βρωμάτων ἐπιθυμήματα παντοδαπὰ πάντως καὶ περὶ πᾶσαν τὴν γῆν ἆρ' οὐκ οἰόμεθα γεγονέναι, καὶ στροφὰς ὡρῶν παντοίας, ἐν αἷς τὰ ζῶα μεταβάλλειν
* αὐτῶν παμπληθεῖς μεταβολὰς εἰκός; B

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Τί οὖν; πιστεύομεν ἀμπέλους τε φανῆναί πού ποτε πρότερον οὐκ οὔσας, ὡσαύτως δὲ καὶ ἐλάας καὶ τὰ Δήμητρός τε καὶ Κόρης δῶρα, Τριπτόλεμόν τέ τινα τῶν τοιούτων γενέσθαι διάκονον; ἐν ᾧ δὲ μηδὲ ταῦτα ἦν τῷ χρόνῳ, μῶν οὐκ οἰόμεθα τὰ ζῶα, καθάπερ νῦν, ἐπὶ τὴν ἀλλήλων ἐδωδὴν τρέπεσθαι;

ΚΛ. Τί μήν;

ΑΘ. Τὸ δὲ μὴν θύειν ἀνθρώπους * ἀλλήλους ἔτι καὶ C
νῦν παραμένον ὁρῶμεν πολλοῖς· καὶ τοὐναντίον ἀκούομεν ἐν ἄλλοις, ὅτι ***) οὐδὲ βοὸς ἐτολμῶμεν γεύεσθαι θύματά τε οὐκ ἦν τοῖς θεοῖσι ζῶα, πέλανοι δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα, σαρκῶν δ' ἀπείχοντο ὡς οὐχ ὅσιον ὂν ἐσθίειν οὐδὲ τοὺς τῶν θεῶν βωμοὺς αἵματι μιαίνειν, ἀλλὰ Ὀρφικοί τινες λεγόμενοι βίοι ἐγίγνοντο ἡμῶν τοῖς τότε, ἀψύχων μὲν ἐχόμενοι πάντων, ἐμψύχων
δὲ * τοὐναντίον πάντων ἀπεχόμενοι. D

ΚΛ. Καὶ σφόδρα λεγόμενα ἅ γ' εἴρηκας, καὶ πιστεύεσθαι πιθανά.

ΑΘ. Πρὸς οὖν δὴ τί, εἴποι τις ἄν, ὑμῖν πάντ' ἐρρήθη τὰ νῦν;

ΚΛ. Ὀρθῶς ὑπέλαβες, ὦ ξένε.

---

*) ἴσ. ἢ μῆκός τι ἀφ' οὗ γέγονεν ἀμήχανον χρόνου ὅσον γεγονὸς ἂν εἴη.
**) ἴσ. ἀναξίας πλήρη, καὶ πωμάτων.
(***) γρ. ὅτε.

habuisse nec finem umquam habiturum esse, sed fuisse semper omninoque futurum esse, aut temporis spatium ex quo exstiterit immensum quoddam esse.

Cl. Sane quidem.

Ath. Quid igitur? civitatum constitutiones et interitus et studia varia ordinis et confusionis plena simulque potionum et ciborum cupiditates varias omnino tota in terra nonne putamus fuisse, annique temporum conversiones varias, in quibus animantia permultas naturae suae mutationes facere haud mirandum?

Cl. Quidni?

Ath. Iamne credimus vites apparuisse alicubi, quum ante non fuissent, similiter etiam olivas et Cereris Proserpinaeque munera, horumque Triptolemum quendam fuisse ministrum? quo autem tempore haec nondum fuerint, nonne putamus animantia, quemadmodum nunc, ad mutuam se consumptionem convertisse?

Cl. Quidni?

Ath. Morem vero hominum inter se sacrificandi etiam nunc videmus apud multos manentem; et contrarium audimus apud alios, nec bovem nos ausos esse gustare nec sacrificia fuisse diis animalia, sed liba fructusque melle imbutos et alia huiusmodi incruenta sacrificia, carnibus vero se abstinuisse, quippe quod nefas esset eis vesci deorumque aras sanguine contaminare, sed Orphicas quasdam quae dicuntur vitas egisse nostros homines illius temporis, inanimatis quidem fruentes omnibus, animatis contra omnibus se abstinentes.

Cl. Sane quidem narrantur quae dixisti et credibilia sunt.

Ath. Quorsum igitur, dixerit quispiam, vobis omnia nunc disputata sunt?

Cl. Recte, o hospes, hanc quaestionem interposuisti.

ΑΘ. Καὶ τοίνυν, ἐὰν δύνωμαι, τὰ τούτοις ἑξῆς, ὦ Κλεινία, πειράσομαι φράζειν.

ΚΛ. Λέγοις ἄν.

ΑΘ. Ὁρῶ πάντα τοῖς ἀνθρώποις ἐκ τριττῆς χρείας καὶ
ἐπιθυμίας ἠρτημένα, δι' ὧν ἀρετή τε αὐτοῖς ἀγομένοις ὀρ-
θῶς καὶ * τοὐναντίον ἀποβαίνει κακῶς ἀχθεῖσι· ταῦτα δ' E
ἐστὶν ἐδωδὴ μὲν καὶ πόσις εὐθὺς γενομένοις, ἣν περὶ ἅπα-
σαν πᾶν ζῶον ἔμφυτον ἔρωτα ἔχον, μεστὸν οἴστρου τ' ἐστὶ
καὶ ἀνηκουστίας τοῦ λέγοντος ἄλλο τι δεῖν πράττειν πλὴν τὰς
ἡδονὰς καὶ ἐπιθυμίας τὰς περὶ ἅπαντα ταῦτα ἀποπληροῦντα
λύπης τῆς ἁπάσης ἀεὶ δεῖν σφᾶς *) ἀπαλλάττειν· * τρίτη δὲ 783
ἡμῖν καὶ μεγίστη χρεία καὶ ἔρως ὀξύτατος ὕστατος μὲν ὁρ-
μᾶται, διαπυρωτάτους δὲ τοὺς ἀνθρώπους μανίαις ἀπεργά-
ζεται πάντως, ὁ περὶ τὴν τοῦ γένους σπορὰν ὕβρει πλείστῃ
καόμενος. ἃ δὴ δεῖ τρία νοσήματα πρέποντα εἰς τὸ βέλτι-
στον παρὰ τὸ λεγόμενον ἥδιστον **) τρισὶ μὲν τοῖς μεγίστοις
πειρᾶσθαι κατέχειν, φόβῳ καὶ νόμῳ καὶ τῷ ἀληθεῖ λόγῳ,
προςχρωμένους μέντοι Μούσαις τε καὶ ἀγωνίοισι θεοῖς σβεν-
νύναι τὴν αὔξην * τε καὶ ἐπιῤῥοήν. Παίδων δὲ δὴ γένεσιν B
μετὰ τοὺς γάμους θῶμεν, καὶ μετὰ γένεσιν τροφὴν καὶ παι-
δείαν. καὶ τάχ' ἣν οὕτω προϊόντων τῶν λόγων ὅ τε νόμος
ἡμῖν ἕκαστος περαίνοιτο εἰς τοὔμπροσθεν ἐπὶ ξυσσίτια, ἵνα
καὶ ***) ἀφικόμενοι εἰς τὰς τοιαύτας κοινωνίας, εἴτε ἄρα
γυναικῶν εἴτε ἀνδρῶν δεῖ μόνων †) γίγνεσθαι, προςμίξαν-
τες αὐτοῖς ††) ἐγγύθεν ἴσως μᾶλλον κατοψόμεθα, τά τε ἐπί-
προσθεν αὐτῶν, ἔτι νῦν ὄντα ἀνομοθέτητα, τάξαντες αὐτὰ
ἐπίπροσθεν * ποιησόμεθα καί, ὅπερ ἐῤῥήθη νῦν δή, κατο- C
ψόμεθά τε αὐτὰ ἀκριβέστερον μᾶλλόν τε τοὺς προςήκοντας
αὐτοῖς καὶ πρέποντας νόμους ἂν θείημεν.

ΚΛ. Ὀρθότατα λέγεις.

ΑΘ. Φυλάξωμεν τοίνυν τῇ μνήμῃ τὰ νῦν δὴ λεχθέντα· ἴσως γὰρ χρείαν ποτ' αὐτῶν πάντων ἕξομεν.

---

*) ἴσ. ἀεὶ σφᾶς.
**) ἴσ. παρὰ τοῦ λεγομένου ἡδίστου.
***) ἄλλ. ἡνίκα. ἴσ. ἅμα καί.
†) γρ. μόνον, ††) ἴσ. αὐταῖς.

Ath. Iam, si potuero, quae deinceps sequuntur, Clinia, conabor exponere.

Cl. Dic dum.

Ath. Videò omnia hominibus ex triplice indigentia et cupiditate suspensa esse, e quibus si recte homines ducantur virtus, sin male, contrarium exsistat; hi vero sunt cibus et potus, quorum omnium quodque animal statim ut natum est amorem habens insitum stimulo concitatur nec obedit dicenti aliud quid agendum quam voluptates et cupiditates horum omnium explendas omnemque molestiam semper removendam esse; tertia nobis et maxima indigentia acerrimaque cupiditas postrema quidem erumpit, furore autem homines omnino efficit ardentissimos, propter generis propagationem lascivia maxima flagrans. quos quidem tres morbos ad optimum converti oportet a iucundissimo quod dicitur et tribus maximis contineri, metu et lege et vera ratione, adhibitis vero Musis et diis certaminum praesidibus, ut incrementum et affluentia exstinguantur. Liberorum vero procreationem post nuptias ponamus, et post procreationem educationem et disciplinam. et forsitan ita procedente sermone lex nobis quaeque ultra progrediatur ad coenationes, simulque pervenientes ad tales societates, utrum mulierum an virorum oporteat solorum fieri, propius ad eas accedentes magis fortasse videbimus, quae vero illa praecedere debebant, etiamnunc legibus nullis constituta, ita ordinabimus ut praecedant et, quod modo dictum est, videbimus ea accuratius magisque convenientes ac decentes de eis leges constituemus.

Cl. Rectissime loqueris.

Ath. Custodiamus igitur memoria quae modo prolata sunt; fortasse enim aliquando eis omnibus opus habebimus.

ΚΛ. Τὰ ποῖα δὴ διακελεύει;

ΑΘ. Ἃ τοῖς τρισὶ διωριζόμεθα ῥήμασι· βρῶσιν μὲν ἐλέγομέν που καὶ δεύτερον πόσιν καὶ ἀφροδισίων δέ τινα διαπτόησιν * τρίτον. D

ΚΛ. Πάντως, ὦ ξένε, μεμνησόμεθά που ὧν τὰ νῦν διακελεύει.

ΑΘ. Καλῶς· ἔλθωμεν δ' ἐπὶ τὰ νυμφικά, διδάξοντές τε αὐτοὺς πῶς χρὴ καὶ τίνα τρόπον τοὺς παῖδας ποιεῖσθαι, καὶ ἐὰν ἄρα μὴ πείθωμεν, ἀπειλήσοντές τισι νόμοις.

ΚΛ. Πῶς;

ΑΘ. Νύμφην χρὴ διανοεῖσθαι καὶ νυμφίον ὡς ὅτι καλλίστους καὶ ἀρίστους εἰς δύναμιν ἀποδειξομένους παῖδας τῇ πόλει· πάντες δ' ἄνθρωποι κοινωνοὶ * πάσης πράξεως, ἡνίκα μὲν ἂν προσέχωσιν αὐτοῖς τε καὶ τῇ πράξει τὸν νοῦν, E πάντα καλὰ καὶ ἀγαθὰ ἀπεργάζονται, μὴ προσέχοντες δὲ ἢ μὴ ἔχοντες νοῦν τἀναντία. προσεχέτω δὴ καὶ ὁ νυμφίος τῇ τε νύμφῃ καὶ τῇ παιδοποιίᾳ τὸν νοῦν, κατὰ ταὐτὰ δὲ καὶ ἡ νύμφη, τοῦτον τὸν χρόνον διαφερόντως ὃν ἂν μήπω παῖδες αὐτοῖς ὦσι γεγονότες. * ἐπίσκοποι δ' ἔστωσαν τούτων 784 ἃς εἱλόμεθα γυναῖκες, πλείους εἴτ' ἐλάττους, τοῖς ἄρχουσιν ὁπόσας ἂν δοκῇ προστάττειν τε καὶ ὁπόταν, πρὸς τὸ τῆς Εἰλειθυίας ἱερὸν ἑκάστης ἡμέρας ξυλλεγόμενοι μέχρι τρίτου μέρους ὥρας, οἷ δὴ ξυλλεχθεῖσαι διαγγελλόντων ἀλλήλαις εἴ τίς τινα ὁρᾷ πρὸς ἄλλ' ἄττα βλέποντα ἄνδρα ἢ καὶ γυναῖκα τῶν παιδοποιουμένων ἢ πρὸς τὰ τεταγμένα ὑπὸ τῶν ἐν τοῖς γάμοις θυσιῶν τε καὶ * ἱερῶν γενομένων. ἡ δὲ παιδοποιία B καὶ φυλακὴ τῶν παιδοποιουμένων δεκέτις ἔστω, μὴ πλείω δὲ χρόνον, ὅταν εὔροια ᾖ τῆς γενέσεως· ἂν δὲ ἄγονοί τινες εἰς τοῦτον γίγνωνται τὸν χρόνον, μετὰ τῶν οἰκείων καὶ ἀρχουσῶν γυναικῶν διαζεύγνυσθαι κοινῇ βουλευομένους εἰς τὰ πρόσφορα ἑκατέροις· ἐὰν δ' ἀμφισβήτησίς τις γίγνηται περὶ τῶν ἑκατέροις πρεπόντων καὶ προσφόρων, δέκα τῶν νομοφυλάκων ἑλομένους, οἷς * ἂν ἐπιτρέψωσιν οἵδε καὶ τάξωσι, C τούτοις ἐμμένειν· εἰσιοῦσαι δ' εἰς τὰς οἰκίας τῶν νέων αἱ γυναῖκες, τὰ μὲν νουθετοῦσαι, τὰ δὲ καὶ ἀπειλοῦσαι παυόν-

Cl. Quaenam cuſtodiri iubes?

Ath. Quae tribus illis diſtinximus vocabulis; cibum quidem diximus et ſecundum potum et inſanam quandam rerum Venerearum cupiditatem tertiam.

Cl. Omnino, o hoſpes, memoria tenebimus quae nunc iubes.

Ath. Praeclare; pergamus vero ad ſponſalia, docentes quo pacto liberos procreari oporteat, et, ſi forte non perſuadeamus, legibus quibusdam minitantes.

Cl. Quomodo?

Ath. Sponſam oportet ſponſumque curare ut quam pulcherrimos optimosque pro viribus exhibeant civitati liberos; omnes autem homines cuiusque actionis ſocii, ſi ad ſe ipſos et ad actionem animum attendunt, omnia praeclara ac bona efficiunt, non attendentes vero vel inſipientes contraria. attendito igitur et ſponſus ad ſponſam liberorúmque procreationem animum et ſponſa ſimiliter, eo praecipue tempore quo nondum liberos ſusceperunt. ſpeculatrices horum ſunto quas elegimus mulieres, plures ſive pauciores, magiſtratibus quotcumque et quandocumque placuerit praeficere, in Ilithyiae templo quotidie convenientes usque ae tertiam horae partem, quo videlicet quum convenerint nuncianto inter ſe ſi quis quem viderit ad alia quaedam ſpectantem virum vel etiam mulierem ex eorum numero qui liberos procreant quam ad ea quae praeſcripta fuerint a rebus divinis et ſacrificiis in nuptiis factis. liberorum vero procreatio et cuſtodia liberos procreantium decem annos duranto, non longius, ſi fecunda eſt procreatio; ſin autem aliqui usque ad hoc tempus ſteriles fuerint, cum familiaribus mulieribusque praefectis communiter deliberantes, prout utrisque commodum fuerit, divortium faciunto; et ſi utrisque convenientia et commoda in controverſiam vocantur, decem e legum cuſtodibus eligunto et in eis quae hi iuſſerint ac ſtatuerint, acquieſcunto: mulieres vero iuvenum domos ingreſſae partim admonendo, partim

των αὐτοὺς τῆς ἁμαρτίας καὶ ἀμαθίας· ἐὰν δ' ἀδυνατῶσι, πρὸς τοὺς νομοφύλακας ἰοῦσαι φραζόντων, οἱ δ' εἱργόντων· ἂν δὲ καὶ ἐκεῖνοί πως ἀδυνατήσωσι, πρὸς τὸ δημόσιον ἀποφηνάντων, ἀναγράψαντές τε καὶ ὀμόσαντες ἦ μὴν ἀδυνατεῖν τὸν καὶ τὸν βελτίω ποιεῖν· * ὁ δὲ ἀναγραφεὶς ἄτιμος ἔστω, D
μὴ ἑλὼν ἐν δικαστηρίῳ τοὺς ἐγγράψαντας, τῶνδε· μήτε γὰρ εἰς γάμους ἴτω μήτε εἰς τὰς τῶν παίδων ἐπιτελειώσεις, ἂν δὲ ἴῃ, πληγαῖς ὁ βουληθεὶς ἀθῷος αὐτὸν κολαζέτω. τὰ αὐτὰ δὲ καὶ περὶ γυναικὸς ἔστω νόμιμα· τῶν ἐξόδων γὰρ τῶν γυναικείων καὶ τιμῶν καὶ τῶν εἰς τοὺς γάμους καὶ γενέσεις *) παίδων φοιτήσεων μὴ μετεχέτω, ἐὰν ἀκοσμοῦσα ὡσαύτως ἀναγραφῇ καὶ μὴ ἕλῃ * τὴν δίκην. ὅταν δὲ δὴ παῖδας γεν- E
νήσωνται κατὰ νόμους, ἐὰν ἀλλοτρίᾳ τις περὶ τὰ τοιαῦτα κοινωνῇ γυναικὶ ἢ γυνὴ ἀνδρί, ἐὰν μὲν παιδοποιουμένοις ἔτι, τὰ αὐτὰ ἐπιζήμια αὐτοῖς ἔστω καθάπερ τοῖς ἔτι γεννωμένοις εἴρηται· μετὰ δὲ ταῦτα ὁ μὲν σωφρονῶν καὶ σωφρονοῦσα εἰς τὰ τοιαῦτα ἔστω πάντα εὐδόκιμος, ὁ δὲ τοὐναντίον ἐναντίως τιμάσθω, μᾶλλον δὲ ἀτιμαζέσθω. καὶ μετριαζόντων μὲν περὶ τὰ τοιαῦτα τῶν * πλειόνων ἀνομοθέτητα σιγῇ κείσθω, 785
ἀκοσμούντων δὲ νομοθετηθέντα ταύτῃ πραττέσθω κατὰ τοὺς τότε τεθέντας νόμους. βίου μὲν ἀρχὴ τοῦ παντὸς ἑκάστοις ὁ πρῶτος ἐνιαυτός, ὃν γεγράφθαι χρεὼν ἐν ἱεροῖσι πατρῴοις ζωῆς ἀρχὴν κόρῳ καὶ κόρῃ· παραγεγράφθω δ' ἐν τοίχῳ λελευκωμένῳ ἐν πάσῃ φρατρίᾳ τὸν ἀριθμὸν **) τῶν ἀρχόντων τῶν ἐπὶ τοῖς ἔτεσιν ἀριθμουμένων· τῆς δὲ φρατρίας ἀεὶ τοὺς ζῶντας μὲν γεγράφθαι πλησίον, * τοὺς δ' ὑπεκχωροῦντας B
τοῦ βίου ἐξαλείφειν. γάμου δὲ ὅρον εἶναι κόρῃ μὲν ἀπὸ ἑκκαίδεκα ἐτῶν εἰς εἴκοσι, τὸν μακρότατον χρόνον ἀφορισμένον, κόρῳ δὲ ἀπὸ τριάκοντα μέχρι τῶν πέντε καὶ τριάκοντα· εἰς δὲ ἀρχὰς γυναικὶ μὲν τετταράκοντα, ἀνδρὶ δὲ τριά-

*) ἴσ. γενέσια.
**) ἴσ. κατὰ τὸν ἀριθμόν.

etiam minitando eos abducunto a peccato et inscitia; quodsi non potuerint, ad legum custodes accedentes indicanto, et hi prohibento; sin autem nec hi id potuerint efficere, publico declaranto, quum in tabulas publicas retulerint iusque iurandum interposuerint se non posse hunc et hunc meliorem efficere; in tabulas publicas relatus, nisi convicerit in iudicio accusatores, horum expers esto honorum: neque ad nuptias accedito neque ad solennia post infantem natum instituenda, et si accedat, verberibus quicumque voluerit impune eum castigato. eadem etiam de muliere sunto lege sancita: expers sit honorum muliebrium, nec liceat ei exire itareque ad nuptias et solennia infantis nati causa celebrari solita, si, quod non ordine fecerit, in tabulas publicas relata fuerit nec causam obtinuerit. si quis, postquam ex legibus liberos procrearunt, cum aliena muliere rem habet vel mulier cum viro, eisque liberos adhuc procreantibus, eadem poena mulctator qua, ut dictum est ii qui adhuc gignunt; hoc autem tempore praeterito temperatus et temperata his omnibus dignabuntur, qui vero contra se habet, contrario modo censebitur, vel potius nullo honore dignus censebitur. et modeste si plurimi in his se gerunt, legibus nullis constituta silentio ea praetereunda, sin autem immoderati sunt legibus sancita ita peragenda secundum leges tum scriptas. vitae initium universae cuique primus est annus, quem perscribi oportet in sacellis paternis ut vitae initium puero et puellae; adscribendus vero in albo in tota familiarum communione secundum numerum magistratuum prout singulis annis numerantur; e familiarum vero communione qui vivunt prope scribuntur, qui e vita discesserunt, exstinguuntor. nuptiarum autem terminus esto virgini quidem ab anno sexto decimo ad vicesimum, quippe quod longissimum sit tempus definitum, iuveni vero a tricesimo ad quintum tricesimum; ad magistratus mulieri quadraginta et viro triginta anni; ad bellum

κοντα ἔτη· πρὸς πόλεμον δὲ ἀνδρὶ μὲν εἴκοσι μέχρι τῶν ἑξήκοντα ἐτῶν, γυναικὶ δέ, ἣν ἂν δοκῇ χρείαν δεῖν χρῆσθαι πρὸς τὰ πολεμικά, ἐπειδὰν παῖδας γεννήσῃ, τὸ δυνατὸν καὶ πρέπον ἑκάσταις προστάττειν μέχρι τῶν πεντήκοντα ἐτῶν.

viro viginti usque ad ſexaginta annos, mulieri vero, ad quemcumque uſum militarem videatur accommodata eſſe, poſtquam liberos procreavit, id quod poteſt quaeque eique convenit mandandum eſt usque quinquageſimum annum.



